75 *τοῦ ἐπιχειρεῖν ἐφ' ἑκάτερα ὕποπτός τε καὶ ἀληθεύουσα, ἡ δὲ ἀπλανής τε καὶ ἀπαρέγκλιτος. εἰ μή τις αὖθις ῥητορικὸς ἀνὴρ τὴν μὲν ῥητορικὴν τῷ οὐρανῷ ἀπεικάσειεν, ἐν τῷ ἀτελεῖ τῆς κινήσεως τὸ τέλειον ἔχοντι, νομοθετικήν τε καὶ δικαστικὴν ταῖς τῶν ὑπ' ἐκεῖνον στοιχείων ὁλότησι· τούτων γὰρ τὰ μὲν ἐπὶ τὸ μέσον καταλήγει, τουτέστι τὴν*
80 *γῆν, τὰ δὲ τὴν προσωρισμένην ἄνοδον ἵσταται. καὶ ῥητορικὴ μὲν αὐτονομοθεσία τίς ἐστι καὶ δικαστικῆς οὐ δεῖται χειρός, αἱ δὲ τῶν ἐκείνης δυνάμεων πεφύκασιν ἐνδεεῖς· αὕτη γὰρ αὐταῖς ἀποξέει, ὅσα*

50–51 leg. *πλείονα … μερισμόν*? ‖ 54 *συναίρεμον* L: corr. K.-D. ‖ 67 *βεβούληται* L: corr. K.-D. ‖ 69 *τοσούτων* L: corr. K.-D. ‖ 76 *ἀπαράκλιτος* L: corr. O'Meara ‖ 77 *οὐρανῷ* Wk.: *ἀνθρώπῳ* L ‖ 78 *ἔχοντος* L: correxi | *ἐκείνων* L: corr. Wk. ‖ 80 *δὲ*] an *εἰς* vel *πρὸς* addendum?

ἐν προοιμίοις, ὅσα ἐν ἀγῶσιν, ἐν οἷς ἐπιλογίσασθαι καὶ ἀνακεφαλαιώσασθαι δεῖ καὶ ἐπανόδου ἀναμνῆσαι τὰ ἐντεθυμημένα. ἀλλ' αὖθις ἡττᾶται τούτων ἐκείνη· ἡ μὲν γὰρ μέχρι λόγων ἐστὶ καὶ τὸ λυσιτελὲς 85 *τοῖς πράγμασιν οὐ συνεισήνεγκε, τῶν δὲ ἡ μὲν τοὺς νόμους τιθεῖσα, ἡ* 210ʳ *δὲ τούτους κατὰ λόγον | εὐθύνουσα, πλημμελοῦντα τὸν βίον ἐπανορθοῦσα καὶ τὰ τῶν πολλῶν ἤθη ῥυθμίζουσα. μέρη δὲ τυγχάνοντα φιλοσοφίας τὰ ἀτιμότατα, ἐπεὶ μὴ ἐφικνεῖσθαι δύνανται τῆς θείας ἐκείνης δυνάμεως, καὶ ἀντιδιατίθενται πρὸς αὐτήν· ἡ μὲν γὰρ τὸν ἄν-* 90 *θρωπον θεῷ προσαφομοιοῦν πραγματεύεται, αἱ δὲ τοῖς πράγμασιν ἐνασχολεῖσθαι καταναγκάζουσι, φύσει δὲ κάτω πῃ τυγχάνουσαι ἔτι καὶ τῶν ἐφεστηκότων διημαρτήκασιν· οὐδεὶς γὰρ αὐταῖς τῶν φιλοσοφησάντων ἐφιστάνειν ἠξίωσε. διὰ τοῦτο πολὺ περὶ ταύταις τὸ πλάνον καὶ ἄτεχνον· καὶ τὰ μὲν ὀνόματα περιττά, διεσπασμένος δὲ ὁ νοῦς καὶ* 95 *τοῖς καθ' ἕκαστα μεριζόμενος.*

Εἰ γοῦν τις τῶν εἰς ἕξιν ἐπιστήμης ἐληλυθότων τὰ συγκεχυμένα ταῦτ' ἐς ταὐτὸ συνήνεγκεν χρώματα καὶ ἄλλο πρὸς ἄλλο συνήνωσέ τε καὶ συνεκέρασε καὶ τὴν μὲν χεῖρα δακτύλοις διέπλασεν ὑποχύμασί τε καὶ χιτῶσι τὸν ὀφθαλμὸν καὶ τἆλλα κατὰ λόγον συνήρμοσεν, τάχα ἂν 100 *κάλλιστον ζῷον ἐπὶ γῆς ἀπειργάσατο. νῦν δὲ ἔοικεν ὁ νόμος τὸν τοῦ μύθου Ὀσίριδα· διέσπασται γὰρ ὡς ἐκεῖνος, καὶ τὸ μὲν αὐτοῦ τῶν μελῶν ἡ γῆ, τὸ δὲ ἡ θάλασσα ἐκληρώσατο, ἕκαστος δὲ τὸ εὑρεθὲν περιέπει καὶ φροντὶς αὐτῷ παρ' οὐδενὶ τῆς συμπήξεως.*

3

(96ʳ) *Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων*

Οὐ πόρρω τοῦ προτεθέντος σκοποῦ τὸ ἐρώτημα· ἐγώ τε γὰρ ἐμαυτὸν εἰς τὴν τῶν ψαλμῶν καθῆκα ἐξήγησιν ὑμεῖς τέ με τὰ γένη τῶν φιλοσοφουμένων λόγων προσφυῶς ἠρωτήκατε. ὥσπερ γὰρ ἑτέραν τραπομένους ὁδόν, τὴν ἐν τύποις φημὶ καὶ προρρήσεσι, καὶ ἣν οὔπω 5

90–91 cf. e. g. El. Prol. 16, 9–10; Dav. Prol. 34, 16

3 P 96ʳ–97ʳ || **2–10** cf. Simpl. in Cat. 3, 30–4, 9; El. in Cat. 108, 17–113, 4; Olymp. Prol. 3, 8–6, 3

99 *ὑποχύμασί* an sanum? || **101** *ζῷον* K.-D.: *ζωὴν* **L** || **101–102** exspectes *τῷ* … *Ὀσίριδι*, nisi *μιμεῖσθαι* supplendum est

3 2 *τοῦ* iter. **P**

ἐγνώκαμεν, εἰκός ἐστιν ἀπορεῖν, τίς ἐστιν αὕτη καὶ τί παρὰ τὴν συνήθη καὶ λεωφόρον ἔχουσα. ὥσπερ γὰρ ὁ χαλδαΐσας τοῖς λόγοις ἐς τὴν Αἰγυπτίων σοφίαν ἐμβαλὼν καὶ ὁ αἰγυπτιάσας ἐς τὴν Ἑλλήνων μεταθέμενος ἀπορήσαιεν ἂν εἰκότως, τί τὸ γένος τῶν λόγων ἐφ' οὓς μετέ-
10 *θεντο, οὕτω δὴ καὶ ὁ ἀπὸ τῶν ἐκβάσεων εἰς τὰς ἐμφάσεις ἀναδραμὼν ὥσπερ εἰς σκιὰν μεταπεσὼν ἀπὸ τοῦ φωτὸς ζητήσειεν ἄν, τίς ἡ τῶν τοιούτων λόγων οὐσία καὶ ποίων γενῶν ἤρτηται καὶ τί μὲν τὸ προσεχὲς αὐτῶν εἶδος, τί δὲ τὸ πόρρω, καὶ εἰ ἀπὸ τῶν ὑπερκειμένων γενῶν οὐσίωται ἢ τῶν μὲν ἔχεται, τῶν δὲ ἀπολείπεται. διὰ ταῦτα ἱστορικώ-*
15 *τερον ἅμα καὶ φιλοσοφώτερον προῄρημαι περὶ τῶν φιλοσοφουμένων ἡμῖν λόγων διαλεχθῆναι τήμερον πρὸς ὑμᾶς.*

Ἰστέον οὖν ὅτι πέντε ταῦτα πρῶτα μαθήματα ἰσαρίθμοις κατεμερίσθησαν ἔθνεσι· Χαλδαῖοι γὰρ καὶ Αἰγύπτιοι Ἕλληνές τε καὶ Ἰουδαῖοι καὶ τὸ ἡμέτερον γένος, οἷς ἰδιαζόντως ἡ χριστώνυμος κλῆσις ἐπιφημί-
20 *ζεται, τὰ πρῶτα τῶν λόγων γένη διεμερίσαντο. οὐ γὰρ ὥσπερ οἱ πολλοὶ τῶν διελόντων τὰ παρ' ἑκάστοις δοξάσματα τὴν μίαν τῶν Ἑλλήνων δόξαν εἰς πολλὰ κατατέμωμαι, ἀλλ' εἴτε Ἰταλική τίς ἐστι παρ' αὐτοῖς σοφία ἧς ἦρξατο Πυθαγόρας, εἴτε Ἰωνικὴ εἴτε Πλατωνικὴ εἴτε τις ἑτέρα, ἢ ἀπὸ τοῦ εἴδους τῶν λόγων ὀνομαζομένη ὡς ἡ Κυνική, ἢ*
25 *ἀπὸ τοῦ κατάρξαντος καὶ τοῦ τέλους ὡς ἡ Ἡδονική τε καὶ Ἐπικούρειος, ἢ ἀπὸ τῶν τόπων ἐφ' οἷς τὰς διατριβὰς ἐπεποίηντο ὡς ἡ Λύκειος καὶ Στωικὴ καὶ Ἀκαδημαϊκή, ἢ εἴ τις ἀφ' ἑτέρας αἰτίας τὴν προσωνυμίαν εἴληχεν ὡς ἡ Περιπατητικὴ καὶ Ἐφεκτικὴ ἥ τε Δογματικὴ καὶ Ἐξεταστική, ἁπάσας τὰς τοιαύτας σοφίας εἰς ἓν ὄνομα συν-*
30 *αθροίζων τῆς Ἑλληνικῆς κλήσεως ἐξαρτῶ.*

Ἓν μὲν οὖν εἶδος τῶν λόγων – ἢ εἰ βούλοιτό τις γένος καλεῖν – ἡ τῶν Ἑλληνικῶν λόγων παιδεία τε καὶ συνάσκησις, ἧς διαιρεθείσης δόξαις ἑτερογνώμοσι προστάται τῶν παρ' ἑκάστοις δοξῶν ἄλλοι ἄλλως ἐπέστησαν, ὧν πάντων ἐπισημότερος Πυθαγόρας ἐγένετο, Θαλῇ μὲν
35 *συνακμάσας τῷ Μιλησίῳ, πολὺ δὲ τὴν ἐκείνου σοφίαν διενεγκών· οὗτος γὰρ πρῶτος τοῖς Ἕλλησι καὶ μουσι|κὴν εἰσηνέγκατο καὶ ἀθάνατον τὴν ψυχὴν ἐδογμάτισε καὶ τοῖς Αἰγυπτίοις ὡμιληκὼς μετήνεγκέ τι τῆς παρ' ἐκείνοις σπουδαζομένης σοφίας εἰς τὰ Ἑλλήνων ἔθη· καὶ διὰ τοῦτον πρῶτον Ἕλληνες αἰγυπτιάσαντες φαίνονται. οὗτος*
40 *ὁ Πυθαγόρας οὐ πάντα ἀποδεικνύειν εἴωθε, τὰ πλείω δὲ ὥσπερ οἱ* 96v

20–24 cf. Psell. Theol. I 23,28–32

27 *ἀφ' ἑτέρας* Wk.: *ἀμφοτέρας* **P**: ⟨*δι'*⟩ *ἀμφοτέρας* Sathas ‖ **40** *πάντα* K.-D. (cf. 44): *πάντ* et spat. c. 2 litt. **P**: *πάντων* Sathas

χρησμοὶ ἐκ τῶν στηθῶν ἀναπνεῖν, καὶ τῶν αἰτίων οἱ πλείους τῶν ἐκείνου λόγων ἐστέρηνται. Πλάτων δὲ τοὺς ἐκείνου λόγους δεξάμενος τὸ μὲν ἀξίωμα ἠγάσθη, τὸ δὲ θάρρος τῆς ἐπιστήμης ἐθαύμασε, τῶν δὲ δογμάτων ἔστιν ἃ παρεγράψατο· πάντα δὲ ἀποδείκνυσιν ὅσα κατὰ τὸ δοκοῦν τοῖς Ἕλλησι διέξεισιν· ἐν οἷς δὲ τὰ Αἰγυπτίων φρονεῖ, 45 *ἵπποι αὐτόματοι πλάττονται καὶ ὀχήματα θεῶν εὐήνια πτερῶν τε βλάστησις καὶ τούτων αὖθις ἀπορροή, Ἑστία τε μένουσα τῶν ἕνδεκα κινουμένων. Ἀριστοτέλης δέ, ὃν Στάγειρα πόλις ἤνεγκεν, οὐδ' ὁπωστιοῦν τούτοις προσέσχε τὸν νοῦν, ἀλλ' ἀνθρωπικώτερον τῶν λόγων ἁψάμενος σὺν ἀποδείξεσι πάντας ἐξήνεγκε. τί δ' ἂν οὖν λέγοιμι περί τε τῶν πρὸ* 50 *αὐτῶν ἢ μετ' αὐτούς; οὗτοι γὰρ μόνοι τὴν Ἑλληνικὴν παιδείαν ἀρκοῦσι χαρακτηρίσαι.*

Ἀλλ' Ἕλληνες μὲν διττὸν γένος τῶν ὄντων ὑποστησάμενοι, ὑπερφυές τε καὶ φυσικόν, τὴν μὲν περὶ τὸ πρῶτον στρεφομένην παιδείαν τελευταίαν καὶ φυσικήν· τὰ δ' ἐναντία μεσότητι καταδεῖν εἰωθότες, ἀεὶ τὴν 55 *μαθηματικὴν οὐσίαν μεταξὺ τούτων τιθέασι, σωμάτων μὲν ἁπτομένην, ἑστηκυῖαν δὲ κατὰ τὸ ἀσώματον, καὶ τῶν μὲν νοητῶν ὑστεροῦσαν, τῶν δὲ αἰσθητῶν ὑπερτεροῦσαν, μέσον τι οὖσαν τοῦ ταὐτοῦ καὶ θατέρου, καὶ τὰ ὄντα γένη καὶ τὰ γινόμενα συνειληφυῖαν ἑαυτῇ, οὐ πάντῃ πεπερασμένην, τὸ δὲ ἄπειρον περὶ τὸ πέρας ὁρίζουσαν, συνθετήν, ἀλλ'* 60 *ἀχρόνως καὶ ἀιδίως, κλίμακα τοῖς ἀπὸ τῆς φύσεως ἀνιοῦσιν ἐπὶ τὴν πρώτην φιλοσοφίαν· 'ἀγεωμέτρητος' γάρ φησιν ὁ Πλάτων 'μηδεὶς εἰσίτω', διὰ τῆς μιᾶς ταύτης ἐπιστήμης τὴν πᾶσαν μαθηματικὴν οὐσίαν λόγῳ δηλώσας συλληπτικῷ.*

Ἕλληνες μὲν οὖν οὕτω τὴν οἰκείαν σοφίαν κατέτεμον, Χαλδαῖοι δὲ 65 *καὶ Αἰγύπτιοι ἑτέρως, περὶ ὧν αὐτίκα δηλώσω. ἀλλὰ πρῶτόν γε διαλύσομαι τούτοις τὴν ἀμφισβήτησιν· ἀμφότεροι γὰρ πρὸς ἀλλήλους περὶ τῶν ἀπὸ χρόνου πρεσβείων ἐρίζουσι. Χαλδαῖοι μὲν γὰρ ἄνω που ἐς μυριάδας ἐτῶν τεσσαράκοντα τὴν ἑαυτῶν σοφίαν ὑπερεκτείνουσιν, Αἰγύπτιοι δὲ καὶ τοῦτον τὸν ἀριθμὸν μυθευόμενοι ὑπερπαίουσι, καὶ Χαλ-* 70 *δαῖοι μὲν διδασκάλους ἑαυτοὺς τῶν Αἰγυπτίων εἰσάγουσιν, Αἰγύπτιοι δὲ ἐπ' αὐτοῖς μαθητιᾶν τοὺς Χαλδαίους μεγαλαυχοῦσιν ἀκριβέστερόν τε εἰδέναι τὰς τῶν οὐρανίων κινήσεις ἤπερ ἐκεῖνοι.*

45–47 cf. Pl. Phaedr. 246a–247a; 251b, d || **53–60** cf. Procl. in Eucl. 3, 1–6, 15 || **61–62** cf. El. Prol. 28, 14; 121, 16–18 || **62–63** cf. El. Prol. 118, 18–19; Dav. Prol. 5, 13; 57, 19–20

54 lac. statuenda; e.g. post *παιδείαν* suppleas fere *πρώτην φιλοσοφίαν ὠνόμασαν, τὴν δὲ περὶ τὸ δεύτερον* || **72** *ἐπ' αὐτοῖς* suspectum: *ἐφ' αὐτοῖς* coni. Schwyzer: an *ὑπ' αὐτοῖς*?

Ἐγὼ δὲ Χαιρήμονι τῷ σοφῷ ἐντυχών, ἀνδρὶ γενναίῳ καὶ ἐλλογίμῳ
75 *ἱστορίαν συναγαγεῖν, εὗρον προτερεύουσαν τὴν τῶν Χαλδαίων σοφίαν τῆς σπουδαζομένης παρ' Αἰγυπτίοις, διδασκάλους δὲ οὐδένας τῶν ἄλλων, ἀλλ' ἀμφοτέρους προστατῶν ἰδίων τετυχηκότας. καὶ ψεύδονται τοῦτο Χαλδαῖοι ἀπὸ αἰτίας τοιαύτης. ἐπέκλυσέ ποτε τοῖς Αἰγυπτίοις τὴν χώραν ὁ Νεῖλος καὶ τά τε ἄλλα τούτων διέφθειρε καὶ ὁπόσα τῶν*
80 *ἀστρονομουμένων ἐς βιβλία συγγεγραφήκεσαν. εἶτα δεῆσαν αὐτοὺς γνῶναι ἐκλείψεις τε καὶ συνόδους, παρὰ Χαλδαίων τὰς ἀφορμὰς τούτων συνηρανίσαντο. πονηροὶ δὲ οὗτοι περὶ τὴν μετάδοσιν γεγονότες τούς τε χρόνους τοῖς λόγοις μετήλλαξαν καὶ τὰς κινήσεις τῶν τε πλανήτων καὶ ἀπλανῶν παρὰ τὴν φύσιν αὐτῶν ἐκδεδώκασιν. εἶτα πρὸς*
85 *τὰς ὑποθέσεις ἐξαπορουμένους τοὺς Αἰγυπτίους ὁμιλητὰς ἑαυτοὺς ἐκείνων ἐγκαταστήσασθαι καὶ μετενεγκόντας ἐπὶ σφᾶς τὴν ἀληθινὴν γνῶσιν τῶν ὄντων ἐν ὀπταῖς πλίνθοις ταῦτα ἐγγράψασθαι, ἵνα μήτε πῦρ αὐτῶν ἅπτοιτο μήτε ὕδωρ ἐπικλύσαν λυμαίνοι.*

Οὕτω μὲν οὖν Αἰγύπτιοι ἀτυχήσαντες περὶ τὴν ἑαυτῶν σοφίαν παρὰ
90 *Χαλδαίων ἀπατηθέντες αὖθις τοῦ σκοποῦ τετυχήκασιν. ἦρξε δὲ τούτοις τῆς σοφίας ὁ παλαίτατος Νίνος, μεθ' ὃν τεσσαρεσκαιδέκατος Ὠάνης γενόμενος ἐκ τῆς μεσημβρινῆς ζώνης ἀφίκετο, ἰχθύος ἠμφιεσμένος δοράν, ἀφ' Ἑρμοῦ καὶ Ἀπόλλωνος ἑαυτὸν γενεαλογῶν. ὃς δὴ καὶ πρῶτον αὐτῶν βεβασίλευκεν, ἀπάτῃ περιελθὼν καὶ τὴν γενομένην ἐξ*
95 *ἀνάγκης σεληνιακὴν ἐπισκότησιν ὡς ἐσομένην ἐπαπειλήσας, ἐπεὶ μηδὲ βασιλεύεσθαι θέλοιεν. ἀφ' οὗ δὴ πολλοστὸς Πρωτεὺς ἦρξεν αὐτῶν· μεθ' ὃν δὴ Ῥαψίνιτος, ὃν δὴ καὶ ζῶντα ἐς ᾅδην Αἰγυπτίων μῦθοι κατάγουσι καὶ αὖθις ἀνάγουσι, συγκυβεύσαντα τῇ Δήμητρι καὶ νικήσαντα καὶ λαβόντα παρ' αὐτῆς χειρόμακτρον χρύσεον.*

100 *Σοφία δὲ Αἰγυπτίων τὸ πάντα λέγειν συμβολικῶς τά τε τῶν θεῶν εἴδη ἐν κιβωτίοις ἀποκρύπτειν, τὴν Σφίγγα δὲ μόνην ἀπὸ τῶν τειχῶν ἀποκρεμαννύειν. περιττοὶ δὲ διαφερόντως τὴν σοφίαν Αἰγύπτιοι, ὡς καὶ ὁ λόγος φησίν. οὗτοι γὰρ πρῶτοι τὴν ψυχὴν ἀπαθανατίσαντες ἕλξεσι καὶ πλάναις ἀμυθήτοις ἠνάγκασαν καὶ μέχρι πόας καὶ λίθου κατα-*
105 *βιβάσαντες αὖθις εἰς τὴν οἰκείαν ζώνην ἀποκατέστησαν. μίαν δὲ*

74–88 Chaer. fr. 2 (pp. 27–29 Schwyzer) || **89** sqq. cf. Psell. Theol. I 23, 61 sqq. || **92** *ἰχθύος* – **93** *δοράν*] cf. Psell. ibid. 53, 156 || **97–99** cf. Hdt. II 122 || **100–101** cf. Psell. Theol. I 23, 56–57

80 *συγγεγεννήκασιν* **P**: corr. Wk. || **91** *Ὠάνης* O'Meara (cf. Psell. Theol. I 23, 61; 53, 155): *ἰωάννης* **P**

τοῖς πᾶσιν ἀρχὴν ἐπιστήσαντες παίζουσιν ἐν τοῖς μετ' ἐκείνην θεοῖς· Ἴακχος οὖν παρ' αὐτοῖς καὶ Πρίαπος Σάραπίς τε καὶ Σειληνὸς καὶ Σατύρων γένος ἀλλόμορφον ἱεράκων τε μορφαὶ καὶ ἴβεων ἀναπληροῦσιν αὐτοῖς τὸν χορὸν τῶν θεῶν· καὶ ὁ Ἆπις αὐτοῖς μόσχος θεός, ἐπειδὴ τἆλλα μέλας ὢν λευκὸν ἔχει τὸ μέτωπον. τὰς δὲ φύσεις οἶμαι 110
τῶν γιγνομένων μὴ μάλα εἰδότες σκίλλαν τιμῶσι καὶ κρόμυα, ὅτι αὐτομάτως βλαστάνουσι, καὶ τὸν ἄγνον, ὅτι ὑποστρωννύμενος εἰς ἁγνείαν πιστεύεται, καὶ τὴν Ἡράκλειον λίθον, ὅτι ἐφέλκεται τὸ σιδήριον, τήν τε μυῖαν τόν τε κάνθαρον καὶ τὴν μηλολόνθην καὶ τἆλλα τῶν ζῴων ὅσα μὴ ἐκ διαδοχῆς ἔχει τὴν γένεσιν. μάλιστα δὲ θαυμά- 115
97r *ζουσι τὸν κηροδύτην | καὶ τὴν ἔγχελυν καὶ τὸν γῦπα καὶ τὰ μεταμειβόμενα ἀφ' ἑτέρου γένους εἰς ἕτερον. μετροῦσι δὲ τὰς οὐρανίους κινήσεις ὡς ἄριστα καὶ τὸν ἥλιον θεὸν ἥγηνται μέγιστον, ψυχάς τε πᾶσι τοῖς ἄστροις διδόασι. καὶ συμπάθειαν τοῖς οὖσιν εἰσάγουσιν ἄρρητον· οἴον⟨ταί⟩ τε τὰ διῃρημένα, εἰ ἔλθοιεν ἐς ταὐτὸ πρὸς τόνδε ἢ* 120
τόνδε τὸν πλάνητα, συμπαθεῖν, οἷον Κρῆσσαν βοτάνην καὶ πτερὸν Αἰγύπτιον καὶ ὀστέον Ἰβηρικόν. χρησμοῖς τε προσανέχουσι καὶ τὸ Ἀμφιάρεω μαντεῖον μάλιστα ἡγοῦνται πιστότατον. τοιαύτη μὲν καὶ ἡ τῶν Αἰγυπτίων σοφία.

Ἡ δέ γε τῶν Χαλδαίων, γένος οὗτοι εὐσεβεῖν ἀναπεπεισμένοι 125
ἀλλόκοτον καὶ πολύθεον, ἀστρολογίαν δὲ κάλλιον ἁπάντων ἠκριβωκότες. ἔστι δέ τις καὶ θεολογία παρ' αὐτοῖς ἐν ἀπορρήτοις συλλεγομένη, δι' ἐπῶν μὲν ξυγκειμένη, ἄβατον δὲ τοῖς πολλοῖς νοῦν ἔχουσα. φασὶ δὲ καὶ κόσμους ἑπτά, ὧν τὸν ἔσχατον τὸν ὑλαῖον καὶ χθόνιον καὶ μισοφαῆ, πρῶτον δὲ τὸν πύριον καὶ ἀκρότατον. καὶ θεολογοῦσι δὲ 130
*πολλὰ μὲν καὶ ἄλλα ἄτοπα καὶ παράδοξα ⟨***⟩· ἀπὸ γὰρ ταύτης καὶ τὰς ἀρετὰς οὐσιοποιοῦσι καὶ κατάγουσι τὰς ψυχάς, μέσην τε τιθέασι πάντων τῶν θεῶν πληρουμένην μὲν τῶν πρώτων, πληροῦσαν δὲ τὰς δευτέρας. περὶ ἧς τί ἂν πολλὰ λέγοιμι; δέδοικα γάρ, μὴ μᾶλλον ἐντεῦθεν ὑμᾶς βλάψαιμι ἢ ὀνήσαιμι, ἐπεὶ ὁ περὶ ταύτης λόγος ἀπόρρητος.* 135
οὗτοι καὶ τὸ πρὸ τῶν πάντων ἓν δογματίζουσι καὶ τὴν ὕλην εἰσάγου-

109–110 cf. Hdt. III 28 || **128–130** cf. Psell. Phil. min. II 146, 9–11 || **131–134** cf. ibid. 135, 11–16; 149, 19–22 || **136** cf. ibid. 148, 22

107 *πριάππος* **P**: corr. K.-D. || **112** *τὸ ἀγνὸν* **P**: corr. Schwyzer || **116** *ἐγχέλυν* **P**: corr. K.-D. || **120** *οἴονταί* Wk.: *οἷον* **P** || **131** lac. indicavit Drexl: *περὶ τῆς Ἑκάτης* coni. Lewy Chald. Or. 478: *μάλιστα δὲ τὰ κατὰ τὴν Ἑκάτην* coni. Wk. || **133** sq. immo *τοὺς δευτέρους* vel *τὰ δεύτερα* monet Wk.

σιν ὡς κακίας ἐργάτιν. καὶ τὴν ἱερατικὴν τέχνην συνέστησαν καὶ ζῳοθυσίαν εἰσηνέγκαντο καὶ καταχθονίους θεοὺς ἐσεβάσθησαν καὶ τοιῶσδε ἢ τοιῶσδε θύειν ἐθέσπισαν. κατάγουσί τε τοὺς παρ' ἑαυτοῖς
140 θεοὺς θελκτηρίοις ᾠδαῖς καὶ δεσμοῦσι καὶ λύουσιν, ὥσπερ τὸν Ἑπτάκτιν ὁ Ἀπουλήιος ὅρκοις καταναγκάσας μὴ προσομιλῆσαι τῷ θεουργῷ· οὗτος δὲ ἦν Ἰουλιανὸς ὁ συστρατεύσας Μάρκῳ τῷ βασιλεῖ ἐπὶ Δάκας στρατεύοντι, ὃς δὴ ἕτερά τε πολλὰ τῷ βασιλεῖ συγκατώρθωσε καὶ τοὺς Δάκας τῶν Ῥωμαϊκῶν ὁρίων ἀπώσατο. πρόσωπον γὰρ ἀνθρώπου πλα-
145 σάμενος ἐκ πηλοῦ ἔθηκε βλέπειν εἰς τοὺς βαρβάρους· οἱ δὲ ἐπειδὰν αὐτῷ πλησιάσαιεν, κεραυνοῖς ἀφορήτοις ἐκεῖθεν ἐκπεμπομένοις ἠλαύνοντο.

Οὗτοι τὴν ψυχὴν 'ἐπταπόρου σύρουσι κατὰ βαθμίδος' – τοῖς γὰρ ἐκείνων λογίοις χρήσομαι –, παραγγέλλουσί τε τοῖς ἀναγομένοις 'μηδὲ
150 τῷ τῆς γῆς κρημνῷ σκύβαλον καταλείπειν'. μιγνύντες δὲ τὰ μεμερισμένα καὶ διαφόροις ὕλαις ἀνδρείκελα πλάττοντες ἀποτρόπαια νοσημάτων ἐργάζονται. τὸν δὲ τρόπον οὐκ ἂν εἴποιμι ὑμῖν τῆς πλάσεως· οὐ γάρ με ἴσως μιμήσεσθε, ἀλλὰ μαθόντες χρήσεσθε τῇ τέχνῃ, κᾆτα ὑμῖν αὐτὸς τοῦ κακοῦ φανήσομαι αἴτιος. διὰ τοῦτο καὶ τὰ πλείω τῶν
155 ἀπορρήτων τούτων παρῆκα, ἀρκεῖν καὶ ταῦτα ἡγούμενος.

Ἡ δὲ τῶν Ἑβραίων σοφία μετὰ τούτους μὲν τὴν ἀρχὴν εἴληφε. Νίνου γὰρ καὶ τῶν κατ' ἐκεῖνον Ἀβάβκος δεύτερος, Ὠγύγῳ συνακμάσας, ὡς αἱ ἱστορίαι φασίν. ἕλκει δὲ τὸ γένος οὗτος ἀπὸ τοῦ Φάλυκος, ὃς δὴ μόνον ἀπεῖπε τοῖς τὸν πύργον οἰκοδομοῦσιν ἐπὶ τῆς γῆς Σεμα-
160 ράμ· πόλις δὲ αὕτη Βαβυλωνίων· τὸ γὰρ ὄνομα δηλοῖ σύγχυσιν· ἐκεῖ γὰρ πρώτως ὁ τῶν γλωσσῶν γέγονε διαμερισμός. τὴν δὲ τοῦ πατρὸς Θάρρα ἀθετήσας ἀσέβειαν ἀπὸ τῶν ποιητῶν ἔγνωκε τὸν ποιήσαντα, καὶ δι' ἐκεῖνον ἐξελέγη τὸ γένος καὶ σφραγῖδα τῆς ἐκλογῆς τὴν περιτομὴν εἰλήφασι. μεθ' ὃν πολλοστὸς γενόμενος Μωυσῆς, ἐπειδὴ τὸν
165 Ἰσραὴλ ἐξ Αἰγύπτου μετήνεγκεν, ἱκανῶς τῆς θολερᾶς ἐκείνων ἀναπεπλησμένον πηγῆς, καθηγητὴς αὐτοῖς εὐσεβείας καὶ τῆς πρὸς θεὸν

137–139 cf. ibid. 153,9–13 || 142 cf. Psell. Theol. I 23,46 || 148 Or. Chald. 164; cf. infra 36,338 || 149–150 Or. Chald. 158 || 158 *αἱ ἱστορίαι*] fontem non inveni; cf. Georg. Sync. 71,19–20 || 160–161 cf. Gen. 11,2–9

140 *Ἑπτάκτιν* des Places (*Ἕπτακτιν* Bidez): *ἔπακτιν* **P** (cf. Psell. K.-D. I 262, 19 *ἔπτακις*): *Ἑπτάκτινα* Lewy 287 n. 9: *Ἔπακτον* K.-D. (corr. Drexl BZ 37 [1937] 301) || 148 *ἐπ' ἀπόρου* **P**: corr. K.-D. || 150 *γῆς*] *ὕλης* test. Or. Chald. || 154 *τοῦτο* scripsi: comp. **P**: *ταῦτα* Sathas, K.-D. || 155 *τούτων* des Places: *τούτοις* **P**

ἀναγωγῆς γίνεται. ἱερὰ γοῦν αὐτοῖς καὶ τεμένη δειμάμενος, ἐπειδὴ τὴν ἐν τριάδι θεολογίαν οὐχ οἷοί τε ἦσαν δέξασθαι, ταύτην μὲν ἐν συμβόλοις εἰσηγεῖτο, μίαν δὲ τοῖς πᾶσιν ἐφίστα ἀρχήν, ἀφ' οὗ δὴ πάντα γεγενῆσθαι οὐρανόν τε παρῆχθαι καὶ γῆν καὶ τῆς τῶν ἀνθρώπων γενέσεως ἀρχηγὸν ἐκ γῆς πλασθῆναι τὸν Ἀδὰμ καὶ μιᾶς τῶν πλευρῶν αὐτοῦ ἀφαιρεθείσης ἐντεῦθεν δημιουργηθῆναι τὴν Εὔαν· ἀφ' ὧν δὴ πολλοὺς μὲν γεννηθῆναι παῖδας ἄρρενάς τε καὶ θηλείας, ἐπισημοτέρους δὲ τόν τε Κάιν καὶ τὸν Σήθ, τὸν μὲν εἰς κακίαν, τὸν δὲ εἰς ἀρετήν. καὶ τὸ μὲν ἀπὸ τοῦ Κάιν σπέρμα ἐς ἑβδόμην προχωρῆσαι γενεάν, τὸ δὲ ἀπὸ τοῦ Σὴθ ἐς αὐτὸ τὸ γένος διαρκέσαι τοῦ Ἰσραήλ – τό τοι γένος τῶν Ἑβραίων φημί –. τοῦτο διαφερόντως ἠγαπήθη τῷ θεῷ· ὠπτάνετο γοῦν τοῖς λογάσιν αὐτῶν, τοῖς μὲν ἐν αἰνίγμασι, τοῖς δὲ κατὰ πρόσωπον. πρὸς δὲ τὰ μείζω διὰ τῶν συμβολαίων δημαγωγούμενον δυσανάγωγον ἦν καὶ τῶν πρὸς τὸ τέλος ὁδῶν ἀγνοοῦν τὸν σκοπόν, ἐφ' ὃν φέρουσιν, ὡς τέλους εἴχετο. παιδείαν δὲ ἤσκει τὴν ἔνθεον, ὅθεν τὰς ἀρχὰς ἀφῄρει τῶν λόγων. καὶ ἦν αὐτοῖς ἀντὶ συλλογισμῶν τὸ τοῦ δημαγωγοῦ δόγμα. ψυχῆς δ' ἀθανασίαν οὐ πάνυ τι κατεμάνθανον, ἀλλ' ὥσπερ ἐτεκμαίροντο γῆν {δὲ} ἑτέραν, ἐφ' ἣν μεταστήσεσθαι ἤλπιζον· ᾤοντο δὲ ταύτην τὴν ἐν Ἐδέμ, ἀφ' ἧς καὶ τὸ γένος ἀποπεπτώκει. ἐφρόνει δὲ μέγα ἐπὶ τῇ περιτομῇ ἐπί τε ταῖς νουμηνίαις αὐτῶν καὶ τοῖς τρυφεροῖς αὐτῶν σάββασιν, ὡς Ἱερεμίας φησίν. ἐκαθαίροντο δὲ ὁσημέραι σποδῷ δαμάλεως ῥαντιζόμενοι ἢ ὑσσώπῳ ῥυπτόμενοι. προσῆγον δὲ καὶ θυσίαν, οἶν καὶ αἶγα καὶ περιστερὰν κριόν τε καὶ χίμαρον, ἡ δὲ μὴ ἀρκοῦσα ψυχὴ ⟨οἰφὶ⟩ ἀλεύρου ἢ βραχὺν ἄσταχυν. ἑορτὴν δὲ ἐτέλουν τῷ θεῷ, ἣν δὴ καὶ 'διαβατήριον' ἐπωνόμαζον, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ πρώτου μηνὸς τοῦ Νισάν, ἐν ᾗ μόσχος καὶ εἰς βρῶσιν πνευματικὴν προὔκειτο, δευτέραν δὲ τὴν τῶν πρωτογεννημάτων καὶ τρίτην τὴν τῶν σκηνοπηγίων. ἦσαν δὲ καὶ ἕτεραι πανηγύρεις τρεῖς αὐτοῖς ἔν τε τῷ τετάρτῳ μηνὶ καὶ τῷ πέμπτῳ καὶ τῷ ἑβδόμῳ εἰς ἀνάμνησιν ὧν ποτε δεινῶν κατ' αὐτοὺς πεπόνθασιν. ἀντὶ δὲ χρηστηρίων καὶ μαντείων προφητικαὶ τούτοις ἦσαν γλῶτται, καὶ τἆλλα μὲν ἐν ἀπορρήτοις προλέγουσαι, μάλιστα δὲ τὸ κατὰ Χριστὸν θεῖον μυστήριον. διαφερόντως δὲ τοῦτο σημαίνειν

170 175 180 185 190 195

169-170 cf. Gen. 1, 1 || 171 cf. Gen. 2, 7 || 171-172 cf. Gen. 2, 21–22 || 179-181 cf. Num. 21, 4 sqq. || 187 *Ἱερεμίας*] immo Is. 58, 13 || 188-189 cf. Num. 19, 9–10 || 189-191 cf. Psell. Theol. I 109, 70–90 || 189-190 e.g. Num. 7, 15–16; Lev. 4, 23 || 191-193 cf. Lev. 23, 5 || 194 cf. Exod. 23, 16; Lev. 23, 34 || 199-201 fort. spectat ad Theol. I 35 et 36

180 *τέλος* Wk.: *πέλαγος* **P** || 190 *οἰφὶ* O'Meara (cf. Lev. 5, 11)

200 *βούλεται ἡ Δαυίδου γλῶττα, ἣν δὴ αὐτὸς μάλιστα τῶν ἄλλων προήρημαι ἐξηγήσασθαι. οὐ πολὺ δὲ μετὰ τοῦτον Ἡσαΐας τὴν προφητείαν ἐστίν, ὃν μεγαλοφω|νότατον ὁ λόγος ἀνεῖπε. καὶ οἱ ἄλλοι δὲ πλαγίως* 97ᵛ *καὶ αἰνιγματωδῶς, ἔστι δὲ οὗ καὶ κατ' εὐθεῖαν τὰ τοῦ σωτῆρος προτεθεσπίκασιν.*

205 *Ἅλις οὖν καὶ τῶν παρ' Ἑβραίοις δογμάτων, μεθ' οὓς ὁ τοῦ πατρὸς λόγος γενόμενος νέος Ἀδὰμ καὶ Μωυσῆς ἄλλος ἡμῖν ἐχρημάτισε, θειοτέρου γένους ἀρξάμενος καὶ μετενεγκὼν ἡμᾶς ὡς διὰ θαλάττης τοῦ ἁγίου βαπτίσματος ἐπὶ τὴν τῆς ἐπαγγελίας γῆν, ἥτις ἐστὶν ἡ ἐν οὐρανοῖς βασιλεία.*

210 *Ἡμεῖς τοιγαροῦν τὴν τῶν Αἰγυπτίων πολυθεΐαν καὶ τὴν τῶν Χαλδαίων τερθρείαν πάντῃ διεπτύσαμέν τε καὶ ἠτιμάκαμεν. Ἑλλήνων δὲ οὐ πᾶσι τοῖς λόγοις διαβεβλήμεθα, ἀλλ' ὅσα μὲν περὶ φύσεως εἰσεδεξάμεθα, τοῖς δὲ περὶ τῆς ὕλης ὡς ἀγεννήτου λόγοις ἀπείπαμεν, καὶ τὴν μὲν μοναρχίαν αὐτῶν ἠγαπήκαμεν, ὅτι δὲ μὴ ἐν τρισὶ προσώποις* 215 *ταύτην ὁρίζονται, διὰ τοῦτο ἀποβεβλήκαμεν, καὶ τὸ περὶ ψυχῆς ὡς ἀθανάτου δόγμα στέργομεν ὡς τοῦ καθ' ἡμᾶς λόγου μυστήριον, οὐ μὴν γεγενῆσθαι ταύτας καὶ πρὸ τῶν σωμάτων εἶναι αὐτὰς δογματίζομεν, χρησμοῖς δὲ καὶ μαντεύμασι καὶ ὅσα περὶ θεαγωγίας φασίν, ὡς ἀπειρημένοις τὸν νοῦν οὐ προσέχομεν. Ἑβραίων δὲ τὴν περιτομὴν καὶ* 220 *τὰ σάββατα καὶ ὅσα ἐπὶ τῇ λυχνοκαΐᾳ ἀφανῶς πράττουσιν, οὐ πάνυ τιμῶμεν, πᾶσι δὲ τοῖς περὶ αὐτῶν εἰρημένοις ὁμολογοῦμεν καὶ τόν τε νόμον δεχόμεθα καὶ τὰς προφητικὰς βίβλους καὶ τὸν ἐν αὐταῖς προκαταγγελλόμενον Ἰησοῦν προσκυνοῦμέν τε καὶ σεβόμεθα. ὃς δὴ καὶ τὴν ἡμετέραν φύσιν ὅλην ἀπὸ τῶν ἀχράντων τῆς θεομήτορος* 225 *προσλαβόμενος αἱμάτων ἑαυτῷ ἥνωσε καὶ ἐθέωσε καὶ εἰς οὐρανοὺς ἀνήγαγε καὶ τὸν πατέρα ἡμῖν κατηλλάξατο καὶ τὸν ἄλλον ἑαυτὸν παράκλητον καταπέπομφε. καὶ ἵνα τὸ πᾶν ἐν βραχεῖ συγκεφαλαιώσωμαι, θεολογία καὶ οἰκονομία τὸ ἡμέτερον σέβας. ἀλλ' ἐκεῖ μὲν τριὰς καὶ ἑνὰς τὸ τιμώμενον, ἐνταῦθα δὲ ὑπόστασις μία, ὁ τῆς τριάδος εἷς, ὁ* 230 *τοῦ πατρὸς λόγος, δύο δὲ φύσεις, μέρη μὲν τοῦ ἑνὸς Χριστοῦ καὶ συνθέτου, ὅλαι δὲ καὶ τελειόταται. καὶ τὰ πλείω ὁ λόγος παρῆκεν, ἐπεὶ καὶ αὐτός, ὡς ὁρᾶτε, καὶ αὐτῆς σχεδὸν ἐστέρημαι τῆς φωνῆς καὶ ὑμῶν δὲ οἱ πλείους καὶ πρὸς τὸ νοεῖν καὶ πρὸς τὸ γράφειν ἀπεναρκήσατε.*

201–202 Greg. Naz. Or. 4,1, PG 35,532 B || **214–215** cf. Psell. Theol. I 23,96–99

202 *ἐστίν*] *ᾖσεν* coni. Sathas; fort. ante *τὴν προφ.* supplendum est *ὁ μέγας*

4

(410ʳ) *Περὶ διαλεκτικῆς, εὐδαιμονίας καὶ τοῦ καλοῦ*

Διαλεκτικὴ ἐπιστήμη ἐστίν, περὶ οὗ ἠρώτησας, ἡ λόγῳ περὶ ἑκάστου δυναμένη ἕξις εἰπεῖν τό τε ἕκαστον καὶ τί τῶν ἄλλων διαφέρει, καὶ τὰ ὄντα ὁπόσα καὶ τὰ μὴ ὄντα ὁποῖα, ὅσα τε χείρω τῶν ὄντων καὶ ὅσα καὶ κρείττω· οὐ γὰρ περιώρισται ὑποκειμένῳ ἑνί, ἀλλὰ πᾶσιν ἐπιβάλ- 5 *λει καὶ περὶ πάντων λέγειν ἐπιχειρεῖ. παύσασα δὲ τῆς περὶ τὸ αἰσθητὸν πλάνης τὴν πραγματευομένην περὶ τὴν ταύτης φύσιν ψυχὴν ἐνιδρύει τῷ νοητῷ, τῇ διαιρέσει τοῦ Πλάτωνος χρωμένη μὲν καὶ εἰς διάκρισιν τῶν εἰδῶν, χρωμένη δὲ καὶ ἐπὶ τὰ πρῶτα γένη, καὶ τὰ ἐκ τούτων νοερῶς πλέκουσα, ἕως ἂν διέλθῃ πᾶν τὸ νοητόν, καὶ ἀνάπαλιν* 10 *ἀναλύουσα, εἰς ὃ ἂν ἐπ' ἀρχὴν ἔλθῃ. τότε δὲ ἡσυχίαν ἄγουσα καὶ οὐδὲν πολυπραγμονοῦσα βλέπει τὴν λεγομένην λογικὴν πραγματείαν, κρίνουσα ταύτην ὥσπερ καὶ τὰ ἄλλα. τὰς δὲ ἀρχὰς τῇ ἐπιστήμῃ ταύτῃ νοῦς δίδωσιν, εἴ τις λαβεῖν δύναιτο ψυχή· ἔστι γὰρ αὕτη τὸ καθαρώτατον νοῦ καὶ φρονήσεως καὶ μέρος φιλοσοφίας τιμιώτατον· οὐ γὰρ* 15 *δὴ οἰητέον ὄργανον εἶναι τοῦτο τοῦ φιλοσόφου· οὐ γὰρ ψιλὰ θεωρήματά ἐστι καὶ κανόνες, ἀλλὰ περὶ πράγματά ἐστι καὶ οἷον ὕλην ἔχει τὰ ὄντα. τὸ δὲ ψεῦδος καὶ τὸ σόφισμα κατὰ συμβεβηκὸς γινώσκει, κρίνουσα ὡς ἀλλότριον καὶ ψεῦδος τοῖς ἐν αὐτῇ ἀληθέσι. τὰ μὲν δὴ μαθήματα δοτέον τῷ φιλόσοφον ἔχοντι φύσιν, καθὰ καὶ Πλωτῖνός* 20 *φησι, πρὸς συνεθισμὸν κατανοήσεως καὶ πίστεως ἀσωμάτου, μετὰ δὲ τὰ μαθήματα λόγους διαλεκτικῆς δοτέον καὶ ὅλως διαλεκτικὸν ποιητέον.*

Εὐδαιμονία δέ ἐστι – καὶ περὶ τούτου γὰρ ἐδεήθης μαθεῖν – ἀνθρώπῳ προσήκουσα ἡ τελεία ζωὴ ἤτοι ἡ κατὰ νοῦν ἐνέργεια· αὐτάρ- 25 *κης γὰρ ὁ βίος εἰς εὐδαιμονίαν τῷ τοιαύτην ζωὴν ἔχοντι· οὐδὲν γάρ ἐστιν ἀγαθὸν ὃ μὴ ἔχει, ἀλλ' ὃ ζητεῖ ὡς ἀναγκαῖον ζητεῖ, καὶ οὐχ ἑαυτῷ, ἀλλά τινι τῶν αὐτοῦ· σώματα γὰρ προσηρτημένα ζητεῖ. οὐδ' ἐν τύχαις τοίνυν ἐναντίαις ἐλαττώσεται εἰς τὸ εὐδαιμονεῖν· ἀποθνη-*

4 O 410ʳ–410ᵛ ‖ 2–3 Plot. I 3, 4, 2–3 ‖ 3–4 I 3, 4, 5 ‖ 6–13 cf. I 3, 4, 9–22 ‖ 13–15 cf. I 3, 5, 1–9 ‖ 15–19 cf. I 3, 5, 10–16 ‖ 19–23 cf. I 3, 3, 5–10 ‖ 25–28 cf. I 4, 4, 23–27 ‖ 28–29 I 4, 4, 30–31 ‖ 29–30 I 4, 4, 32–33

4 3 *δυναμένη* Plot.: *δυναμένου* **O** | *τό*] *τί* Plot. ‖ 9 *χρωμένη* Plot.: *χωμένη* **O** ‖ 14 *ψυχή* codd. Plot.: *τυχή* **O** ‖ 16 *δή* Plot.: *δεῖ* **O** ‖ 28 *σώματι γὰρ προσηρτημένῳ* Plot.

30 σκόντων τε οἰκείων καὶ φίλων οἶδε τὸν θάνατον ὅ τι ἐστί. δεῖ δὲ μὴ συναριθμεῖν αὐτοῦ τῇ οὐσίᾳ τὴν τοῦ σώματος φύσιν· αἱ γὰρ αἱρέσεις καὶ αἱ φυγαὶ διὰ τοῦτο γίγνονται αὐτῷ. καὶ τοῦτο μὲν εἶπέ τις τῶν θύραθε φιλοσόφων, ἐμοὶ δὲ οὐ δοκεῖ καλῶς ἔχειν περὶ μέρος τὸ εὔδαιμον ζητεῖν, ἀλλὰ τοῖς μὲν κρείττοσιν ἁπλοῖς | οὖσιν εὐδαίμων καὶ 410v
35 αὐτάρκης ἐστὶν ἡ διάθεσις, ἀνθρώποις δὲ προσθήκην τοῦ χείρονος λαβοῦσι περὶ ὅλον χρὴ τὸ εὔδαιμον ζητεῖν. εἰ γοῦν καὶ ἀλγεινὰ αὐτῷ προσπέσοι, ῥᾷον οἴσει διὰ τὴν τελείαν ζωήν· οὐ γὰρ τὸ εὐδαιμονεῖν ἐν τῷ μὴ ἀλγεῖν μηδὲ δυστυχεῖν, ἀλλ' ἐν τῇ τοῦ ἀληθινοῦ ἀγαθοῦ κτήσει· τοῦτο γὰρ χρὴ λαμβάνειν μόνον, ὃ ἔσχατόν τέ ἐστι καὶ τιμιώ-
40 τατον καὶ ὃ ἡ ψυχὴ ζητεῖ ἐν αὐτῇ ἐγκολπίσασθαι. ποικίλου γὰρ ὄντος ἡμῖν τοῦ κράματος ἔστι τὰ μὲν χείρω, τὰ δὲ κρείττω, καὶ τῶν χειρόνων τὸ χεῖρον καὶ τῶν κρειττόνων τὸ κρεῖττον, οἷον νοῦς κρείττων ὢν καὶ διανοίας καὶ δόξης, καὶ τὸ ὑπὲρ τούτων ἕν· μετέχομεν γὰρ καὶ τῆς τοῦ ἑνὸς φύσεως. ἡ κατὰ τὸ κρεῖττον οὖν ἡμῶν ζωὴ τὸ γέρας ἐστὶ
45 τῆς εὐδαιμονίας καὶ τὸ κατ' ἐκεῖνο ζῆν τὸ εὐδαιμονεῖν· αἱ γὰρ ἄλλαι ζωαὶ ἀναβαίνουσι μὲν ἡμῖν πρὸς τὸ τελεώτατον οἷον προσπεφυκότα μέρη εἰσίν, ἀναβεβηκόσι δὲ ὡς περιττὰ παρῃώρηνται. τισὶ μὲν οὖν ἤρεσε τῶν σοφῶν μὴ τῷ χρόνῳ λαμβάνειν ἐπίδοσιν τὸ εὐδαιμονεῖν, ὥστε μὴ μᾶλλον εὐδαιμονεῖν τινα εἰς ἀρετὴν ἐπιδιδόντα μείζονα· δεῖ
50 γάρ, φησίν, ἑστὼς εἶναι τὸ εὔδαιμον. ἐμοὶ δὲ οὐχ οὕτως δοκεῖ, ἀλλ' ἐπειδὴ θεῷ ἐξομοιούμεθα εὐδαιμονοῦντες καὶ περὶ τὴν γνῶσιν τῶν ὄντων πραγματευόμεθα καὶ αὐτοῦ τοῦ τῶν ὄντων κρείττονος, οὔτε δὲ ᾧ ἐξομοιούμεθα ληπτὸν καθάπαξ ἡμῖν οἷον διὰ θεωρίας, οὔτ' ἀθρόον γνωστόν, ἀλλὰ συνάγει ἡμᾶς ἑαυτῷ ἄληπτόν τε καὶ ἄπειρον ὂν καὶ
55 ταῖς ἀναβάσεσιν ἡμῶν ἀπειρούμενον, πῶς ἐνεστηκὸς ἂν εἴη τὸ εὐδαιμονεῖν ἡμῖν φωτὶ προσλαμβάνουσι φῶς, κατὰ τὸν ἡμεδαπὸν θεολόγον, μέχρι ἂν πρὸς τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων, λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ; ἐγὼ δὲ φαίην ἂν ὡς οὐδὲ τότε παυσαίμεθα τοῦ φωτὶ προσλαμβάνειν φῶς φαεινότερον, ἀλλ' ἔσοπτρα
60 μὲν οὐκ ἔσται οὐδὲ αἰνίγματα ἡμῖν τὰ θεάματα, φανὰ δὲ φῶτα ἐστίλ-

30–32 cf. I 4,5,10–14 || 32 τις] spectat aut ad Plot. ipsum aut ad Plot. I 4,5,5 || 33–36 cf. I 4,5,16–19 || 37–39 cf. I 4,6,1–5 || 39–40 cf. I 4,6,12–13 || 48–50 cf. I 5,1,1–2 || 56–57 cf. Greg. Naz. Or. 32,15 (PG 189 D 1–192 B 1)

46 προσπεφυκότα propter abbrev. non pro cert. leg. **O** || 47 vel τινὶ vel 50 φασίν legendum; si τινί, Plot. ut vid. intendit || 50 ἑστὼς] ἐνεστὼς Plot. || 55 ἂν ἑστηκὸς ἂν **O**: conferens Plot. correxi

βηται καὶ ἀπλανῆ πάντα καὶ καθαρώτατα. ἐπὶ μὲν γὰρ τῶν ἀτελεστέρων ζώων, κρειττόνων δὲ ὅμως, ἔσοπτρα μὲν τὰ προσλαμβάνοντα φῶτα, καθαρὰ δὲ καὶ οἷον εἰπεῖν ἀμφιφαῆ πρόσωπα τὰ ἑπόμενα ἐπὶ τὸ τῆς πρώτης εὐδαιμονίας καὶ τῆς ἑνοειδοῦς ἡμῶν καταστάσεως, ὁμοία μὲν ἑαυτῇ ἡ κλῖμαξ καὶ διόλου στίλβουσα ἡ μαρμαρυγή, ἄνοδος 65 *δὲ κἀντεῦθεν οὐκ ἀπὸ πλανωμένων χαρακτήρων εἰς ἀπλανεῖς, ἀλλ' ἐξ ἀπλανῶν τε καὶ φεραυγῶν εἰς ἀπλανεστέρους καὶ λαμπροτέρους.*

Τὰ δέ γε ἐν αἰσθήσει καλά – ἐζήτησας γὰρ καὶ περὶ τούτου ἐν τῷ γράμματι – εἴδωλά εἰσι καὶ σκιαὶ τοῦ ὄντος καλοῦ οἷον ἐκδραμόντα καὶ εἰς ὕλην ἐλθόντα, καὶ ἐκόσμησάν γε ταύτην φανέντα καὶ διεπτόη- 70 *σαν. τὰ δὲ προσωτέρω καλὰ οὐκέτι αἴσθησις ὁρᾶν εἴληχε, ψυχὴ δὲ ἄνευ ὀργάνων ἀθρεῖ, ἃ δεῖ ἀναβαίνοντας θεάσασθαι, καταλιπόντας τὴν αἴσθησιν κάτω περιμένειν. τούτοις γὰρ καὶ ψυχὴ καθαρθεῖσα εἶδός ἐστι καὶ λόγος καὶ πάντῃ ἀσώματος καὶ νοερὰ καὶ ὅλη τοῦ θείου· εἰ γὰρ καὶ ἡ ψυχὴ χρῆμά τι καλόν, ἀλλὰ πρὸς νοῦν ἀναχθεῖσα* 75 *ἐπὶ τὸ μᾶλλόν ἐστι καλή. νοῦς γὰρ καὶ τὰ παρὰ νοῦ τὸ κάλλος αὐτῇ οἰκεῖον καὶ οὐκ ἀλλότριον, διὸ καὶ λέγεται ὀρθῶς τὸ ἀγαθὸν καὶ καλὸν τὴν ψυχὴν γίνεσθαι ὁμοιωθεῖσαν θεῷ, ὅτι ἐκεῖθεν τὸ καλόν· ψυχὴ γὰρ νῷ καλόν, τὰ δ' ἄλλα παρὰ ψυχῆς μορφούσης καλά, τά τε ἐν ταῖς πράξεσι τά τε ἐν τοῖς ἐπιτηδεύμασι. καὶ δὴ καὶ τὰ σώματα,* 80 *ὅσα οὕτω λέγεται, ψυχὴ ἤδη ποιεῖ· ἅτε γὰρ θεῖον οὖσα καὶ οἷον μοῖρα τοῦ καλοῦ, ὧν ἂν ἐφάψηται καὶ κρατῇ, καλὰ ταῦτα, ὡς δυνατὸν αὐτοῖς μεταλαβεῖν, ποιεῖ.*

5

Εἰς τὸν δρουγγάριον τῆς βίγλης κῦριν Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ τοῦ Ἀριστοτέλους λογικὸν Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές

Δεύτερον τοῦτον ἆθλον ἐπιτάττεις βαρύτατον, φίλτατε πάντων ἐμοὶ καὶ σοφώτατε, τὴν τῶν Ἀριστοτελικῶν συγγραμμάτων ἐπὶ τὸ σαφέ- 5

68–73 cf. Plot. I 6, 3, 33–4, 4 || 73–78 cf. I 6, 6, 13–20 || 79–83 I 6, 6, 27–32
5 **P** 61ʳ–61ᵛ **v**[45] 72ʳ–73ʳ

66 *κἀντεῦθεν* ex *κἀνταύτῃ* correctum **O** || 67 *διαυγ(ῶν)* ut vid. supra *φεραυγῶν* scr. **O** || 80 *τοῖς* Plot.: *ταῖς* **O** || 82 *ἐψηλάφηται* **O**: dubitans sec. Plot. correxi
5 1 *Εἰς* – 3 *σαφές* **P**: *τοῦ αὐτοῦ πρὸς ξιφιλῖνον ὅτε ἦν δρουγγάρ(ιος)* **v**[45] || 1 *κῦριν* scripsi: *κῦ( )* **P** || 4 *τοῦτον* **P**: *τοῦτο* **v**[45] | *ἐπιτάττεις βαρύτατον* **P**: *βαρ. ἐπιτ. ἡμῖν* **v**[45] | *φίλτατε* **P**: *ὦ φίλτατε* **v**[45] || 5 *τῶν* **P**: om. **v**[45] | *σαφέστερον* **P**: *σαφὲς* **v**[45]

στερον μεταποίησιν, οὐκ οἶδ' ὁπόθεν τῆς ἡμετέρας περὶ τὸ λέγειν δυ-
νάμεως στοχασάμενος ἢ ἐξ οἵων πρώτων λογικῶν γεννημάτων οὐδὲ τὸ
πρὸς τοσοῦτον τὸν τόκον ἀπογινώσκων ἡμᾶς, ὃν αὐτὸς μόνος Ἀρι-
στοτέλης κυήσας ἂν καὶ ἀπέτεκεν. εἰ μὲν γὰρ ἐξ ὧν πολλάκις ὁμοῦ
10 συλλαμβάνομέν τε καὶ ἀποτίκτομεν τὰς γονὰς σχεδιάζοντες τὴν γεννη-
τικὴν ἡμῶν ἐχαρακτήρισας δύναμιν, τῷ κώνωπι, φασίν, ἀπεικάζεις τὸν
λέοντα, καὶ τάχα ἂν καὶ τὸν πίθηκον ἐλέφαντα γεννῆσαι καταναγκά-
σειας. εἰ δ' ἀπό τινος φυσιογνωμονικῆς ἐπιστήμης, ἀπὸ σωμάτων φε-
ρούσης ἐπὶ ψυχάς, τὸν ἡμέτερον κατείληφας νοῦν οὕτω ποριμώτατον
15 ἐπὶ τὴν λογικὴν γένναν καὶ εὔτονον, ὡς πρὸς μηδοτιοῦν ἀποστερεῖσθαι
ὥστε ἀνεμιαῖον ἀποτεκεῖν, τοῦτο μὲν τῆς σῆς ἔστω ἀγχινοίας τε καὶ
ὀξύτητος καὶ τοῦ λεπτοτάτου νοός, ᾧ μηδέν ἐστιν ἐμποδὼν σῶμα κεί-
μενον πρὸ ψυχῆς, εἰ μή γε μᾶλλον καὶ ὁδηγὸν πρὸς τὰ ἐναντία τού-
των καὶ ἄδυτα. ἡμεῖς δὲ ἐν μὲν σαπφείρῳ πολλάκις ἀνεστήσαμεν
20 κολοσσὸν καὶ ἐν ὄνυχι πυραμίδα ἠγείραμεν, πρὸς ἐνίους τὴν τέχνην
ἐπιδεικνύντες, οὔπω δὲ ἐν πανελλήνῳ θεάτρῳ τοιοῦτόν τι διωργανώσα-
μεν, οὐδὲ ἐν ὕλῃ χωρούσῃ τῆς τέχνης τὸ μέγεθος, ὥστε καθαρώτατα
φανῆναι καὶ τὰς ἀρχὰς καὶ τὰ σχήματα, καὶ θεῖναι μὲν τὰ ἔργα πρὸς
ἥλιον, μὴ πεσεῖν δὲ ἐκτὸς τὴν σκιάν, ἀλλ' ἀπανασωθῆναι ταύτην τῷ
25 ἐφεδράσματι.
Οὐκ οἶσθα δὲ ὡς πολὺ χαλεπώτερον τοῦ τίκτοντος λόγον τὸ τὸν
ἑτέρου τόκον ἀφ' ἑτέρου εἰς ἕτερον ἀλλοιῶσαι εἶδος, ὥσπερ τοῦ κύ-
κλον ποιοῦντος τὸ τὸν πεποιημένον τετραγωνίσαι, ὡς τὰς πλευρὰς ἰσά-
ζειν τῇ περιμέτρῳ, καὶ τοῦ κύνα γλύψαντος λίθῳ τὸ εἰς Ἑρμῆν
30 μεταβαλεῖν τὸ γεγλυμμένον κυνίδιον; εἰ οὖν τὰ τοῦ φιλοσόφου
συγγράμματα καὶ κατὰ τὴν ἐξ οὐκ ὄντος γέννησιν ἀπαράμιλλα μετ-
αμείψομεν, ποῦ τὴν μεταποίησιν θήσομεν ἢ ποίας τάξεως ἀξιώσομεν;
πολὺ γὰρ ταύτην ἐκείνης ὁ λόγος ἐργωδεστέραν παρέστησεν.

11–12 cf. Psell. Sathas *MB* V 291,4–5; Or. min. 27,2 ‖ 27–28 *κύκλον τετραγωνίσαι*] cf. Arist. Soph. El. 171 b 16

7 *πρώτων* **v**^{45}: *πρῶτον* **P** | *τὸ* an sanum? ‖ 8 *τοσοῦτον* **v**^{45}: *τοῦτον* **P** | *ἀπογινώσκων* **P**: *-ον* **v**^{45}: *-ειν* Sathas ‖ 9 *ἂν καὶ* **P**: *ἂν* e *καὶ* vel *καὶ* ex *ἂν* s.l. scr. **v**^{45} ‖ 11 *φασίν* **P**: *φησιν* **v**^{45} ‖ 13 *τινος* **P**: *τι* **v**^{45} | *φυσιογνωμονικῆς* **v**^{45}: *φησι γνωμονικῆς* **P** ‖ 15 *ἐπὶ* **P**: *περὶ* **v**^{45} | *ἀποστερεῖσθαι* **P**: *ἀποστερῆσαι* **v**^{45}: *ἀπεστερῆσθαι* coni. Hansen ‖ 21 fort. *Πανελλήνων* vel *Πανελληνίῳ* legendum | *διωργ.* **P**: *διοργ.* **v**^{45} ‖ 24 *ἀλλ' ἀπανασωθῆναι* **P** (cf. 41 *τῇ τῆς ἀληθείας σκιᾷ*?): *ἀλλὰ παραναλωθῆναι* **v**^{45} ‖ 25 *ἐφεδράσματι* **v**^{45}: *ὑφεδρ.* **P** ‖ 29 *περιμέτρῳ* **P**: *περιμετρεία* **v**^{45} ‖ 31 *γέννησιν* **P**: *γένεσιν* **v**^{45} ‖ 33 *ἐκείνης ὁ λόγος* **P**: *ὁ λόγος ἐκείνης* **v**^{45}

Ὁρᾷς εἰς οἵους ἄθλους ὁ Εὐρυσθεὺς σὺ τὸν πολλοστὸν Ἡρακλέα καταναγκάζεις ἐμέ, οὐχὶ τῆς Αὐγέου αὐλῆς τὴν κόπρον ἀποφορτίσασθαι, ἀλλὰ τὴν τοῦ τῆς φιλοσοφίας μύρου ἱερὰν ὀσμὴν εἰς ἑτέραν μεταλλάξαι ποιότητα, καὶ τὰ χρυσᾶ τῶν Ἑσπερίδων μῆλα, τὸν τῆς θυραίας φιλοσοφίας καρπόν – εἰς τοῦτο γὰρ ἐμοὶ τείνει τὸ τῶν Ἑσπερίδων ὄνομα ὡς πρὸς τὴν ἡμετέραν τῶν λόγων ἀνατολήν –, εἰς ὕλην μεταμεῖψαι καλλίονα, καὶ ἀναστῆσαι τὴν Ἄλκηστιν, τὴν φιλόσοφον ἔννοιαν τῇ τῆς ἀληθείας κεκαλυμμένην σκιᾷ; ἀλλὰ τίς ἀποκινήσει τὸν λίθον, εἰ μή τις θειοτέρας εἴη τυγχάνων φύσεως; τίς δὲ ἐμπνεύσει τοῖς ἀπεψυγμένοις ὀστέοις ψυχὴν ἢ τῷ ἀρτιθανεῖ τῆς Σαραφθίας υἱεῖ τὸ μετριώτατον; ἄλλος μὲν οὖν εἴη περὶ ταῦτα καὶ ὁρμητίας καὶ τολμηρός, ἐμοὶ δὲ ὁ ἐγκρυφίας ἄρτος ἀρκείτω καὶ τὸ παρ' ἑτέρας τραφῆναι χειρός· τῶν δὲ θαυμάτων ἀγγέλῳ καὶ Ἠλίᾳ παραχωρῶ καὶ τῇ σῇ – ἀλλὰ μὴ βάλοι σε φθόνου βέλος – περὶ τὸ λέγειν δυνάμει καὶ φύσει.

Οἶμαι δὲ καὶ τὸν Ἀλκμήνης υἱὸν τοιαῦτα πολλὰ λέγειν πρὸς τὸν Εὐρυσθέα κελεύοντα, καὶ μάλιστα ὅτε κατὰ τῆς ὕδρας ἐπέμπετο· δεινὸν γὰρ ἦν καὶ δυσμεταχείριστον τὸ θηρίον τῷ τε κύκλῳ φῦναι τὰς κεφαλὰς καὶ τῷ μὴ νεκροῦσθαι τὰς ἄλλας τῆς μιᾶς τεμνομένης, ἀλλὰ κἀκείνας ἐνεργεῖν καὶ τὴν τμηθεῖσαν αὖθις ἀναβλαστάνειν. ἀλλ' ὅμως οὐκ ἔφυγε τὸν ἀγῶνα, ἀλλ' ἐποίει κατὰ τὸ ἐπίταγμα. ἀλλὰ τῷ μὲν κυνὶ καὶ τῷ κάπρῳ μόνος προσέβαλεν, ἐπὶ δὲ τὴν ὕδραν τὸν Ἰόλεων παρεκάλεσε, καὶ τοῦ μὲν τέμνοντος, τοῦ δ' ἐπικαίοντος τὸ θηρίον ἀνῄρηται.

Ἐπεὶ οὖν καὶ Ἀριστοτέλης κατ' οὐδὲν τῆς παλιμφυοῦς ὕδρας ἐλάττων ἐστίν, εἰ μὴ καὶ μείζων τὴν δύναμιν καὶ χείρων τὴν μεταχείρισιν – ἐκείνῃ μὲν γὰρ ἴσαι πᾶσαι αἱ κεφαλαί, τούτῳ δὲ καὶ πλείους αἱ δόξαι τοῦ αὐτοῦ πράγματος καὶ ἀνόμοιαι –, ἐπεὶ οὖν καὶ ἴσος καὶ κρείττων καὶ χείρων, τὸ μὲν τῷ πλήθει τῶν δοξῶν, τὸ δὲ τῇ δυνάμει, τὸ δὲ τῇ δοκούσῃ, ἔν τισι δὲ καὶ οὔσῃ διαφορότητι, καὶ οὐδὲν ἧττον ἀληθεύομεν περὶ τῶν αὐτοῦ ἐναντίως φθεγγόμενοι, δεῖ κἀμοὶ συνεργοῦ

39 *τῶν λόγων*] sc. sacram scripturam || **41–42** cf. Marc. 16,3 || **42–46** cf. 3 Regn. 17,7–24

34 *πολλοστὸν* **P**: om. **v**^{45} || **35** *αὐγέου* **P**: *αὐγείου* **v**^{45} || **36** *ὀσμὴν* **P**: *ὀδμὴν* **v**^{45} || **44** *σαραφθίας* **v**^{45}: *-ωφ-* **P** | *καὶ* **P**: om. **v**^{45} || **45** *τολμηρός* **P**: *τολμητίας* **v**^{45} || **47** *μὴ* **P**: om. **v**^{45} | *βέλος* **P**: *νέφος* **v**^{45} || **49** *τὸν*^{2} **v**^{45} (cf. 34 et 66): om. **P** || **52** *τῶ* **P**: om. **v**^{45} || **53** *τὴν* **P**: om. **v**^{45} || **54** *ἔφυγε* **P**: *ἔφευγε* **v**^{45} || **55** *προσέβαλεν* **v**^{45}: *-λλ-* **P** || **56** *ἀνήρηται* **P**: *-το* **v**^{45} || **58** *παλιμφυοῦς* **P**: *πολυφυοῦς* **v**^{45} | *ἐλάττων* **P**: *ἥττων* **v**^{45} || **60** *πᾶσαι* **v**^{45}: *πᾶσιν* **P** || **64** *τῶν* **P**: om. **v**^{45} | *κἀμοὶ* **P**: *κἀμοῦ* **v**^{45}

65 ἐπὶ τὸ ὑδραῖον τοῦτο κακόν· τῆς ῥεούσης γὰρ καὶ αὐτὸς φύσεως 'τί μ' ἀθανάτοισιν ἐίσκεις'; ὁ μὲν Ἡρακλῆς πρὸς τὸν Εὐρυσθέα οὐκ εἶχε καταφυγεῖν· οὔτε γὰρ ἐκεῖνος τοιοῦτος τὴν δύναμιν, οὔτε οὗτος μικρᾶς τῆς προσθήκης ἐδεῖτο, καὶ διὰ τοῦτο παρελαμβάνετο ὁ Ἰόλεως. ἐγὼ δὲ σοὶ τῷ ἐμῷ δυνάστῃ καὶ ἐπιτάττοντι πείθομαι καὶ μόνον ἀρ-
70 κεῖν ἡγοῦμαι περὶ τὴν σύλληψιν· εἰ δ' οὐ φιλοκίνδυνος, οὐδὲ αὐτὸς ἀναγκάσω ὥστε καὶ χεῖρας ἐπιβαλεῖν τῷ θηρίῳ.

Οἶσθ' οὖν ὃ ποιήσεις; ὅ φασι πολλάκις τὸν Δαίδαλον. ἐκεῖνος μὲν γάρ, ἐπειδὴ τὴν τέχνην εἰς ἄκρον ἠκρίβωσεν, ἀποτόμοις λίθοις οὐκ ἐπεχείρει, ἀλλ' ἑτέροις τοῦτο παρεκελεύετο· ἐπὰν δὲ ἐκεῖνοι ἔκοψαν
75 τὸν λίθον καὶ ἐσχημάτισαν, οὗτος παραλαμβάνων μετεχειρίζετο. ἐγὼ μὲν οὖν σοὶ ἀπὸ τοῦ ἀκροτόμου ὄρους ἀπορρήξας τὴν πέτραν λαξεύσω τε καὶ διατυπώσομαι, σὺ δὲ τοὐντεῦθεν παραλαμβάνων ὁ Δαίδαλος ἐπιτεχνῶ καὶ περίγλυφε· πάντως γὰρ οὐ χείρων εἶ τοῦ τῶν Ἑλλήνων θεοῦ· κἀκεῖνος γὰρ τὸν Διόνυσον ἀμβλωθρίδιον τῷ μηρῷ ἐρραψάμενος
80 ἐμόρφωσε καὶ ὡραῖον ἀπέτεκεν.

6

Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα· οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι;

Τοῖς μὲν ἄλλοις, πάντων ἀνδρῶν ἐμοὶ λογιώτατε, περί τινος τῶν κατὰ φιλοσοφίαν διαπορουμένων πυνθανομένοις εὐθὺς τὰς ἀποκρίσεις
5 ἀποδίδωμι, μηδὲν ἀναβαλλόμενος ἐς τὴν αὔριον· οἴομαι γὰρ τὰ πολλὰ τῶν αὐτοματιζομένων ἐμοὶ τὴν ἐκείνων ὑπερβάλλειν διάσκεψίν τε καὶ σύνεσιν. σοῦ δὲ καὶ περὶ τῶν ἁπλουστέρων διερωτῶντος ἐπέχω τὴν γλῶτταν καὶ οὐ ταχύς εἰμι πρὸς τὰς διαρθρώσεις τῶν ἐρωτήσεων. τοῦτο οὖν μοι πεποίηκε τὸ μὴ διελέσθαι σοι ἐρωτήσαντι εὐθὺς τὰ
10 ὁμώνυμα. ἐπεὶ πῶς ἂν ἐμαυτοῦ ἐπελαθόμην, οὗ μηδὲ κατὰ βραχὺ

65-66 Hom. Od. 16,187
6 L 113r–115v P 61v (1–22)

65 ἐπὶ P: πρὸς v45 || 66 μὲν P: μὲν οὖν v45 || 68 τοῦτο v45: τ(˜)τ P | ὁ P: om. v45 || 69 ἀρκεῖν P: ἐξαρκεῖν v45 || 72 οὖν P: om. v45 | μὲν P: om. v45 || 73 εἰς P: ἐς v45 || 74 ἐπὰν P: ἐπειδὰν v45 || 76 ἀπορρήξας v45: ἀπορρίψας P || 77 τοὐντεῦθεν P: ἐντεῦθεν v45

6 1 Πρὸς – ἀλωπὸν P: τοῦ αὐτοῦ πρὸς τὸν L | ante οἱ fort. excidit εἰ || 2 post ὁμώνυμοι add. εἰσιν L || 6 ὑπερβαλέσθαι L || 7 καὶ om. L | ἐπερωτῶντος L

ἀπολέλειμμαι; τοιοῦτον γάρ σε ὁρίζομαι καὶ τὴν ἐν ἀλλήλοις φιλίαν μὴ ἕνωσιν ἀμφοῖν πεποιηκέναι λογίζομαι, ἀλλὰ ταὐτότητα.

Περὶ οὗ δὲ ἠρώτησας, μὴ οἷον φαῦλον εἶναι τὸ διαπόρημα, ἐπεὶ κἀμοὶ πολλάκις περὶ τούτου διαπορῆσαι συμβέβηκε καὶ πολλοὺς ἀνελιξάμενος λογισμοὺς μόλις που τὸ σύμφωνον τῆς δοκούσης διαφωνίας 15 *κατέλαβον. τῶν γὰρ ὁμωνύμων πρὸς τὰ συνώνυμα κατὰ μὲν τὴν τοῦ ὀνόματος κοινωνίαν συνημμένων, κατὰ δὲ τὴν τῶν ὁρισμῶν διαφορὰν διερρηγμένων, οἱ πλείους τῶν παρ' Ἕλλησι καὶ παρ' ἡμῖν ἐπὶ λόγοις εὐδοκιμησάντων ἐναλλὰξ ἐχρήσαντο τοῖς ὀνόμασι· Πλάτων τε γὰρ τοὺς Σωκράτεις ὁμωνύμους ἐκάλεσε, καὶ τοὺς Γρηγορίους ὡσαύτως ὁ μέγας* 20 *τὴν θεολογίαν Γρηγόριος. καὶ οὐδ' ὡς καταχρώμενοι τῷ ὀνόματι ἅπαξ εἰπόντες ἐπὶ τὴν κυριολογίαν μετέθεσαν, ἀλλ' ὥσπερ κανόνι τούτῳ τιθέμενοι τὴν ἐπὶ τούτῳ συνωνυμίαν ἐς τὸ εἶδος τῆς ὁμωνυμίας μετήνεγκαν. τοῦτον τὸν λόγον γενναίως μὲν οἱ πλείους τῶν φιλοσοφησάντων διηπορήκασι, ἀσθενέστερον δὲ ὡς διηπορήκασιν ἐπελύσαντο. ἐπεὶ δέ* 25 *σοι τῶν πολλῶν λόγων οὐ δεῖ, ἀλλὰ τῆς ἀκριβοῦς περὶ αὐτῶν διαλήψεως, ἐρῶ σαφέστατά τε καὶ συντομώτατα, ὅπως ὁμωνύμους δεῖ καλεῖν μᾶλλον ἢ συνωνύμους τοὺς κοινοῦ μετεσχηκότας ὀνόματος.*

Ἔστω δέ σοι πρὸ τῆς τοῦ διαπορήματος ἐπιλύσεως ὁμολογήματα ταῦτα. ἕκαστον τῶν ὑπὸ τὸ εἶδος καὶ γένος τελούντων τριττοῦ τετύχη- 30 *κεν ὁρισμοῦ, τοῦ μὲν κατὰ τὴν τῆς οἰκείας φύσεως ὕπαρξίν τε καὶ ἰδιότητα, τῶν δὲ καθὸ τοῦ εἴδους καὶ τοῦ ἐπαναβεβηκότος γένους μετέσχηκε. δεύτερον τοῦτό σοι κείσθω λῆμμα, ὅτι μήτε τὰ γένη μήτε τὰ ἄτομα ὁρισμῷ ὑποβάλλεται, ἐκεῖνα μέν, ὅτι μὴ γένος ἔχουσιν ἑαυτῶν ὑψηλότερον, ταῦτα δέ, ὅτι μὴ διαφοραῖς διῄρηνται οὐσιώδεσι, τοῖς δὲ* 35 *ὅροις τὸ εἶναι ἐκ γένους ἐστὶ καὶ διαφορῶν. λαβὲ πρὸς τούτοις καὶ ἑτέραν προσαγωγὴν λήμματος· τὰ ἄτομα ταῖς ἰδιότησι τῶν περὶ αὐτὰ συμβεβηκότων γνωρίζεται, ἀλλ' οὐ τῷ ὁρισμῷ τοῦ εἴδους οὗ μετεσχήκασιν. ἃ μὲν δεῖ προϋποθέσθαι τοῦ παντὸς λόγου, ταῦτά ἐστιν, ὅπως δὲ διὰ τούτων τὸ διαπόρημα αὔξεται, ὁ λόγος κατὰ τάξιν ἐρεῖ.* 40

Οἱ Σωκράτεις ἢ οἱ Γρηγόριοι Σωκράτεις τέ εἰσι καὶ Γρηγόριοι καὶ ἄνθρωποι καὶ ζῷα. κατὰ γοῦν τὸν ἀριθμὸν τῶν ὀνομάτων ἔχουσι καὶ τοὺς ὁρισμούς. τρία δὲ αὐτῶν τὰ ὀνόματα, τρεῖς ἄρα καὶ οἱ ὁρισμοί. καὶ κείσθω τῷ λόγῳ ὁ Σωκράτης τριχῶς ὁριζόμενος· Σωκράτης γάρ

19–20 Plat. Tht. 147c; Soph. 218b

13 *ἠρώτηκας* **L** | *εἶναι*] *τὸναι* **P** || 18 *ἐπὶ λόγοις* om. **L** || 22 *κυριολεξίαν* **L** | ad *τούτῳ* des. **P** (*λείπει φύλλον* in imo fol.) || 40 *αὔξεται*] immo *λύεται*?

45 ἐστι καὶ ἄνθρωπος καὶ ζῷον. κατὰ μὲν τὸ Σωκράτους ὄνομα ὑπογρα-
φήσεται Ἀθηναῖος, Σωφρονίσκου υἱός, προγάστωρ, ἐξόφθαλμος ἢ ὅ τι
ἄλλο τύχῃ τῶν συμβεβηκότων αὐτῷ· ὡς δὲ ἄνθρωπος ζῷον ἐστὶ
λογικόν, θνητὸν καὶ νοῦ δεκτικόν· ὡς δὲ ζῷον ἔμψυχος οὐσία αἴσθη-
σιν ἔχουσα. ὁ τοίνυν ἕτερος Σωκράτης κατὰ μὲν τὸν τοῦ εἴδους λόγον
50 καὶ τοῦ ζῴου συνώνυμος ἔσται αὐτῷ· μετέχει γὰρ τοῦ ὀνόματος καὶ
λογικόν ἐστι ζῷον καὶ οὐσία αἰσθητική τε καὶ ἔμψυχος. κατὰ δὲ τὴν
ὑπογραφὴν τοῦ ὀνόματος ὁμώνυμος πρὸς ἐκεῖνον φανήσεται, τοῦ μὲν
αὐτοῦ ἐκείνῳ τυχὼν ὀνόματος – Σωκράτης γὰρ ἄμφω –, διαλλάττων
δὲ πρὸς ἃ ἐκείνῳ συμβέβηκεν· ὁ μὲν γὰρ ἴσως τετανόθριξ, ὁ δὲ οὐλό-
55 θριξ, καὶ ὁ μὲν τὴν ῥῖνα ἐπίγρυπος, ὁ δὲ κοίλην ταύτην προβεβλη-
μένος, καὶ ὁ μὲν μέλας, ὁ δὲ λευκός. εἰ δὲ κἀν τούτοις κοινωνία τίς
ἐστιν ἐν ἀμφοῖν, ἀλλ' οὐκ ἐν ἅπασιν· ἀδύνατον γὰρ τοὺς αὐτοὺς καὶ
ὁμοπατρίους εἶναι καὶ ὁμοφυεῖς καὶ ἰσήλικας, τὴν γνῶσιν ἴσους, ὁμοί-
ους τὴν παίδευσιν, κατὰ μηδὲν διαφέροντας. ᾗ οὖν παραλλάσσουσι,
60 διαπεφωνήκασιν, ᾗ δὲ διαφέρετον, τὴν ὁμωνυμίαν ἐκτήσαντο.

Κατὰ τοῦτον τὸν λόγον καὶ τῷ μεγάλῳ Γρηγορίῳ ὁμώνυμος ὁ
λοιπὸς Γρηγόριος πέφυκεν, εἴτε ὁ Νύσσης ἐστίν, ὥς τινες οἴονται, εἴθ'
ἕτερός τις ὕλη ταῖς συκοφαντίαις γενόμενος. οὗτοι γὰρ οἱ Γρηγόριοι
τοῦ μὲν ὀνόματος τοῦ αὐτοῦ μετεσχήκασι, τῆς δὲ ἐπὶ τῷ ὀνόματι ὑπο-
65 γραφῆς διαφόρως κεκοινωνήκασι. τὸν μὲν γὰρ θεολόγον ὑπογράφων
ἐρεῖς, ὅτι Καππαδόκης, ὅτι Γρηγορίου καὶ Νόννης υἱός, ὅτι τὴν θεο-
λογίαν πολύς, λευκὸς τὴν τρίχα, μέτριος τὴν ἡλικίαν, τὸ χρῶμα
τοιόσδε, τὴν φύσιν ὀξὺς ἢ καθεστηκώς. ὁ δ' ἄλλος οὐ πάντως πάντων
αὐτῷ τούτῳ συγκεκοινώνηκεν, ἀλλὰ κατά τι παρήλλακται. ὁμώνυμοι
70 μὲν οὖν εἰκότως εἰσί, Γρηγόριοι ἄμφω κατονομαζόμενοι, διαφόρου δὲ
τῆς ἐπὶ τῷ ὀνόματι τυχόντες ὑπογραφῆς.

Ἀλλ' ἐρεῖς ὅτι 'διὰ τί μὴ συνωνύμους, ἀλλ' ὁμωνύμους τούτους φα-
μέν, οἷον ἐπὶ τῶν Γρηγορίων, ὅτι Γρηγόριοι ἄμφω καὶ λογικὰ ζῷα καὶ
δεκτικὰ ἐπιστήμης καὶ νοῦ; εἰ οὖν κοινὸν αὐτοῖς καὶ τὸ ὄνομα, κοινὸς
75 δὲ καὶ ὁ ὁρισμός, πῶς οὐ συνώνυμοι μᾶλλον εἶεν, ἀλλὰ ὁμώνυμοι;' ὅτι
τὸ εἶναι τοῖς αὐτοῖς ζῴοις λογικοῖς καὶ θνητοῖς οὐχ ὡς Γρηγορίοις οὖ-
σίν ἐστιν, ἀλλ' ὡς ἀνθρώποις, ὥσπερ καὶ τὸ εἶναι οὐσίαις ἐμψύχοις αἰ-
σθητικαῖς οὐχ ὡς ἀνθρώποις οὖσιν, ἀλλ' ὡς ζῴοις. ζητοῦμεν δὲ τοὺς

47–48 cf. Porph. in Cat. 60, 17–18 ‖ 48–49 cf. 63, 12

45 *τὸ* Wk.: *τοῦ* **L** ‖ 53 *διαλάττων* **L**: corr. K.-D. ‖ 68 *καθεστηκός* **L**: corr. K.-D. ‖ 69 an *τούτων* scribendum? ‖ 77 *αἰσθητικοῖς* **L**: correxi

τῶν ὑπάρξεων ὅρους, οὐ τῶν μετεχομένων εἰδῶν καὶ γενῶν. ὁ τοίνυν καθ' ἕνα ἡμῶν, ᾗ μὲν ἀπὸ συνδρομῆς συμβεβηκότων συνέστηκε, τὴν 80 *ἰδίαν δεικνύει ὕπαρξίν τε καὶ ἰδιότητα, ᾗ δὲ ἄνθρωπος λέγεται, τῇ μετοχῇ τοῦ εἴδους προσαγορεύεται. ὁ γοῦν ὁριζόμενος τὸν Γρηγόριον ζῷον λογικὸν καὶ θνητὸν οὐχ ὡς Γρηγόριον ὁρίζεται, ἀλλ' ὡς ἄνθρωπον. ὡς μὲν γὰρ Γρηγόριος Καππαδόκης τυχόν ἐστι καὶ τῷ μεγάλῳ Βασιλείῳ συμφοιτητής, ζῷον δὲ λογικὸν λέγεται, ὅτι τοῦ ἀνθρω-* 85 *πείου εἴδους μετέσχηκε. καὶ τοῦτο θαυμάζω τῶν φιλοσοφησάντων ἐγώ, ὅτι δέον τοὺς ἀνθρώπους ποτὲ καὶ συνωνύμους εἰπεῖν, ἐν οὐδενὶ τῶν λόγων αὐτῶν τὴν ὁμωνυμίαν εἰς τὴν συνωνυμίαν μετήλλαξαν, διότι οἱ ὅροι γνωριστικοὶ τῶν ὁριζομένων πεφύκασιν.*

Ἆρα γοῦν ὁ τὸν Γρηγόριον ὁριζόμενος ζῷον λογικὸν καὶ θνητὸν 90 *ἐγνώρισε τοῦτον τοῖς ἐρωτήσασιν, ὅστις ἐστίν; ὁ γὰρ ὅρος οὗτος ἀνθρώπου φύσιν, ἀλλ' οὐ Σωκράτους ὑπόστασιν ἢ Γρηγορίου δηλοῖ. ἐπεὶ οὖν πάντα τὰ ὄντα καὶ ὑπάρχει κατ' ἰδίαν ὑπόστασιν καὶ μετέχει τινός, οἱ τὰς ὑπάρξεις τῶν ὄντων ὁριζόμενοι κατορθοῦσι μᾶλλον ἢ οἱ τὰς φύσεις ὧν μετεσχήκασιν. ὁ τοίνυν τοὺς Γρηγορίους καὶ τοὺς Σω-* 95 *κράτεις ἀπὸ τῶν συμβεβηκότων αὐτοῖς ὁριζόμενος, ἐξ ὧν διηρίθμηνται καὶ συνεστήκασιν, μᾶλλον ἂν εὐδοκιμοίη ἢ ὁ τὸ εἶδος αὐτοῖς διεξοδεύων καὶ οὐ τὸν λόγον τοῦ ζητουμένου ἀποκρινόμενος, ἀλλὰ οὗ μετέσχηκε τὸ ζητούμενον.*

Εἰ δέ τινες τοὺς αὐτοὺς συνωνύμους ἐνιαχοῦ τῶν ἰδίων συγγραμμά- 100 *των εἰρήκασι, πόρρω τοῦ τῆς ἀληθείας μεγέθους ἀποπεπτώκασιν, ἐκεῖ φοβούμενοι φόβον, οὗ μὴ ἔστι φόβος, καὶ διὰ τὴν τῆς φύσεως τῶν ἀτόμων ἄγνοιαν ἐπὶ τὴν τοῦ εἴδους κοινωνίαν καταφυγόντες. οἱ τοιοῦτοι φορτικῶς τῇ φιλοσοφίᾳ ὡμίλησαν, μᾶλλον δὲ τῆς τελεωτέρας μὴ ἐφαψάμενοι γνώσεως ἐπὶ τὰ κοινὰ ταῦτα καὶ συνήθη καὶ τοὺς* 105 *πολλοὺς περισαίνοντα συνηλάθησαν. ἀλλ' ὅ γε κατὰ φιλοσοφίαν διελόμενος, τίς μὲν ἡ τῶν ὄντων ὕπαρξις, τίς δὲ ἡ τούτων αἰτία, τίνα δὲ οἷς αὐτὰ τῆς οἰκείας μεταδιδόασι φύσεως, οὐκ ἀπὸ τῶν αἰτίων τὰ ὄντα μόνον ὁρίσαιτο, ἀλλ' ἀφ' ὧν καὶ αὐτὰ συνεστήκασιν. οὕτω καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τὴν ψυχὴν νῦν μὲν νοερὰν οὐσίαν ὁρίζεται,* 110 *νῦν δὲ πρώτην ἐντελέχειαν, νῦν δὲ φύσιν τοιάνδε· ἀλλ' ἡ μὲν φύσις ἀπὸ τῶν ὑστέρων, τὸ δὲ νοερὸν αὐτῇ ἀπὸ τῶν πρώτων γενῶν, ἡ δὲ ἐντελέχεια καθὸ ψυχὴ πέφυκε καὶ ὑπάρξεως ἔγνωσται ἰδιότητι.*

102 Ps. 52, 6 || **110–111** Arist. An. 412 a 27

98 *οὗ* K.-D.: *οὐ* **L** || **108** *αἰτιῶν* K.-D.

Σὺ μὲν ἴσως ἐρεῖς φιλοσόφως ἡμᾶς πρὸς τὸ ἐρώτημα ἀποκρίνασθαι,
115 *ἔστι δὲ ὁ λόγος πολλοστημόριον τοῦ ὀφείλοντος ῥηθῆναι τεμάχιον.*
περὶ γάρ τοι συνωνυμίας καὶ ὁμωνυμίας πολύστιχοι πραγματεῖαι τοῖς
ἄγαν φιλοσοφήσασιν ὑπεμνηματίσθησαν. ἀλλ' ἡμεῖς, ὅσον εἰκός, τὰ
ἐκείνων ὑποτεμόμενοι σύντομόν σοι καὶ πληρεστάτην τοῦ ἀπορήματος
ἐπίλυσιν διηρθρώσαμεν. ὁμώνυμα, συνώνυμα, παρώνυμα, πολυώνυμα
120 *καὶ ἑτερώνυμα. ταὐτότης ὀνόματος καὶ διαφορὰ πράγματος {ὁρισμός·*
ὁ γὰρ ὁρισμὸς τὸ πρᾶγμα σημαίνει} ποιεῖ τὰ ὁμώνυμα, οἷον Πέτρος
καὶ Πέτρος τὸ μὲν ὄνομα ἔχουσι κοινόν, τὸν δὲ ὁρισμὸν ἄλλον, καθὸ
ὁ μὲν υἱὸς Παύλου, γρυπός, φαλακρός, τοιόσδε ἢ τοιόσδε, ὁ δὲ υἱὸς
Σωκράτους, σιμός, προγάστωρ, τοιόσδε ἢ τοιόσδε. ταὐτότης πράγματος
125 *καὶ διαφορὰ ὀνόματος ποιεῖ τὰ πολυώνυμα, οἷον ἄορ, ξίφος, σπάθη,*
φάσγανον, μάχαιρα· διαφόρων γὰρ ὄντων τῶν ὀνομάτων ἓν πρᾶγμα τὰ
ὅλα σημαίνει, ἅτινα καὶ συνώνυμα παρὰ γραμματικοῖς καλοῦνται· συν-
ώνυμον γὰρ λέγουσι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον
ἄορ, ξίφος καὶ τὰ λοιπά. πάλιν ταὐτότης ὀνόματος καὶ ταὐτότης πράγ-
130 *ματος ποιεῖ τὰ συνώνυμα, οἷον οὐσία ὅ τε ἄνθρωπος καὶ ὁ ἵππος· ἐν*
γὰρ τῷ κεκλῆσθαι καὶ τῷ εἶναι καὶ τὸν ἄνθρωπον καὶ τὸν ἵππον οὐ-
σίαν καὶ τὸν αὐτὸν ὅρον ἔχουσιν οἱ δύο τῆς οὐσίας· οὐσίας γὰρ ὅρος
'πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν', ὅστις δὴ
ὅρος καὶ ἐπὶ τῶν δύο λαμβάνεται. ἑτερότης δὲ ὀνόματος καὶ ἑτερότης
135 *πράγματος ποιεῖ τὰ ἑτερώνυμα, τὰ ἐναντία τοῖς συνωνύμοις, οἷον*
λίθος καὶ ἵππος. λεκτέον δὲ καὶ περὶ τῶν παρωνύμων. φησὶν ὁ μέγας
διδάσκαλος Ἀριστοτέλης ὅτι τέσσαρα δεῖ συνδραμεῖν εἰς τὴν παράδο-
σιν τῶν παρωνύμων, ταὐτότης ὀνόματος καὶ διαφορὰ ὀνόματος, ταὐτό-
της πράγματος καὶ διαφορὰ πράγματος. 'παρώνυμα δὲ λέγεται ὅσα
140 *ἀπό τινος διαφέρουσι τῇ πτώσει.' πτῶσιν δὲ εἴωθεν Ἀριστοτέλης κα-*
λεῖν τὴν τελευταίαν κατάληξιν τοῦ λόγου. ἀπὸ τῆς γραμματικῆς γραμ-
ματικός. ἰδοὺ ἡ μὲν πρώτη καὶ δευτέρα καὶ τρίτη συλλαβὴ ταὐτότητα
ἔχει ὀνόματος, ἡ δὲ τελευταία διαφοράν· ἡ μὲν γὰρ λήγει εἰς τὴν κη,
ἡ δὲ εἰς τὴν κος. καὶ ἀνεφάνη ταὐτότης ὀνόματος καὶ διαφορὰ
145 *ὀνόματος ἀπὸ τοῦ γραμματικὴ καὶ γραμματικός, ταὐτότης δὲ πράγ-*
ματος καὶ διαφορὰ πράγματος, ἐπειδὴ ἡ μὲν γραμματικὴ ποιότης

125–126 cf. Ioh. Damasc. Dial. 102 (*λδ'* 4); Porph. in Cat. 69, 2 ‖ **133** Ioh. Damasc. Dial. 57–58 (*α'* 6–7); cf. infra 7, 2 ‖ **139–140** Arist. Cat. 1 a 12–13

115 *πολλοστιμόριον* L: corr. K.-D. ‖ **120–121** *ὁρισμός – σημαίνει* ut gloss. secl. Drexl ‖ **133** *αὐθύπρακτον* L: corr. K.-D.

ἐστίν, ὁ δὲ γραμματικὸς οὐσία, καὶ ὅτι ἡ μὲν γραμματικὴ περιέχεται, ὁ δὲ γραμματικὸς περιέχει. συναναφαίνεται οὖν ταῖς δυσὶ ταύταις φωναῖς, τῇ γραμματικὸς καὶ τῇ γραμματική, τὰ τέσσαρα, ταὐτότης ὀνόματος καὶ διαφορὰ ὀνόματος, ταὐτότης πράγματος καὶ διαφορὰ 150 *πράγματος.*

7

Εἰς τὸ 'οὐσία πρᾶγμα αὐθύπαρκτον'

'Οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον.' εἶτα δὴ ἀποροῦσιν οἵ γε σπουδαιότεροι τῶν φιλοσόφων καὶ γενναιότατοι, πῶς δὴ αὐθύπαρκτος αὕτη, ἥ γε τὸ εἶναι οὐ παρ' ἑαυτῆς, ἀλλὰ παρὰ τοῦ συστησαμένου; αὐθύπαρκτον δὲ ἐκεῖνό φασιν εἶναι, ὃ παρ' ἑαυτοῦ εἴληφε τὴν ὑπό- 5 *στασιν καὶ οὐ κρείττονος αἰτίας ἤρτηται, ὥστε, τῶν ἐν τοῖς οὖσιν ἄλλων πρὸς ἄλλα ἀνηρτημένων καὶ τῶν ὑποδεεστέρων παρὰ τῶν ὑπερτέρων γενῶν ἐχόντων τὴν ὕπαρξιν, μόνος αὐθύπαρκτος, φασίν, ὁ θεός, ὡς μὴ προηγουμένην ἔχων αἰτίαν τῆς ἰδίας συστάσεως. διαιροῦσι δὲ καὶ τὴν οὐσίαν εἰς πρώτην καὶ δευτέραν, καὶ τὴν πρώτην εἰς ὕλην καὶ* 10 *εἶδος. καὶ οὐδ' οὕτως ἡμῖν φανεῖται τὸ αὐθύπαρκτον εὔλογον· τὰ μὲν γὰρ εἴδη ἐξῆπται τῶν γενῶν – ὥστε πῶς αὐθύπαρκτα τὰ παρ' ἑτέρων γεννώμενα; –, τὰ δὲ γένη τῶν ἰδεῶν κατὰ τὸν Πλάτωνα. τὸ δ' ἀπὸ τῆς ὕλης καὶ τοῦ εἴδους τὴν σύστασιν εἰληχὸς ἄτομον πῶς αὐθύπαρκτον; ᾧ γε δὴ μήτηρ ὕλη καὶ τιθηνός, ὅρος δὲ τὸ εἶδος, μεταβάλλον* 15 *καὶ ἐν διηνεκεῖ ῥύσει τυγχάνον δεῖται ἀεὶ τῆς συνιστώσης αἰτίας καὶ τὸ ἀπορρέον ἀνυφαινούσης. μή τί γε οὖν τὸ εἶδος αὐθύπαρκτον, ἀλλὰ καὶ τοῦτο ἔνυλον ὂν δεῖταί τινος ἕδρας εἰς ὕπαρξιν; καὶ οὐκ ἀγνοῶ ὡς τῶν φιλοσόφων ἔνιοι ἀπόλυτον τοῦτο τιθέασι· πλήν, ὅπως ἂν ἔχοι,*

7 **P** 97v–98v **b**8 3v–5r (**g** 5v–7v) ‖ 2 cf. Ioh. Damasc. Dial. 57–58 (*α'* 6–7); Anast. Ant. Expl. fid. PG 89, 1401 A; Ps.-Arch. Cat. 3, 12–13 ‖ 15 *μήτηρ*] Pl. Tim. 50 d 3 et 51 a 4–5 | *τιθηνός*] ibid. 49 a 6 et 52 d 5

149 *γραμματικὸς … γραμματική* scripsi: *-κῷ … -κῇ* **L**
7 1 tit. *τοῦ σοφωτάτου ψελλοῦ παράφρασις εἰς τὰς δέκα κατηγορίας* (post *ψελλοῦ* ins. s. l. *ἤ* [pro *ἡ*?]) **b**8. vide infra ad op. 51 ‖ 2 mg. *περὶ οὐσίας* **b**8 ‖ 4 *ἥ* **P b**8: corr. Hansen | post *συστησ.* add. *εἴληφεν* Bezobrazov ‖ 5 *εἶναι* om. **b**8 ‖ 7 an *ἄλλων* leg.? ‖ 9 *μὴ*] *οὐ* s. l. **P** | *διελοῦσι* **P** ‖ 10 ante *καὶ*2 add. *τε* **P** ‖ 11 *ἀνύπαρκτον* **b**8 ‖ 13 *γενόμενα* **b**8 ‖ 14 *τὴν – εἰληχὸς* om. **b**8 ‖ 15 *μήτηρ ὕλη καὶ τιθηνός*] *ὕλη καὶ τιθηνὸς ἡ ὕλη* **b**8 ‖ 16 *συνεστώσης* **P** ‖ 17 *τί*] *τοί* **b**8

20 *νοῦν ἐκληρώσατο τὸν γεννήτορα· εἰδῶν γὰρ ὑποστάτης ὁ νοῦς. πῶς οὖν ἡ οὐσία πρᾶγμα αὐθύπαρκτον; πῶς δὲ ὁ πρώτως αὐτὴν ὁρισάμενος, εἴτε Πλάτων εἴτ' Ἀριστοτέλης εἴτε τις Ἀκαδημαϊκὸς ἢ Στωικὸς ἀνήρ, οὐκ εὐθὺς συνεῖδεν ὡς οὐδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ αἴτιον τῆς ὑπάρξεως γίνεται, ἀλλ' εἰς ἑτέρας αἰτίας τὴν ἀναφορὰν ἔχει, αἳ δὴ*
25 *ἄλλη ἐπ' ἄλλῃ προκόπτουσαι εἰς τὸν θεὸν ἀποτελευτῶσι; πρῶτον γὰρ πάντων ὁ θεός, μεθ' ὃν ἄλλα ἄλλοις εἰς αἰτιῶν λόγον ἀποκεκλήρωται.*

Ὁ μὲν οὖν ἀπορῶν περὶ τοῦ αὐθυπάρκτου τῆς οὐσίας ταῦτ' ἴσως ἐρεῖ, καὶ τὰ πλείω παρῆκεν ὁ λόγος. πῶς δ' ἂν ἡμεῖς πρὸς τοῦτον ἐνσταίημεν καὶ κινδυνεύοντι τῷ ὅρῳ συμπαρασταίημεν; κινδυνεύει δὲ οὐ
30 *διὰ τὸν ὁρισάμενον – μάλα γὰρ καλῶς τοῦτον ὡρίσατο –, ἀλλ' ὅτι τοῦ πατρὸς αὐτῷ τελευτήσαντος ὡς ὀρφανὸς οὗτος προπηλακίζεται, οἱ δ' ἐπιτροπεύοντες, δέον αὐτῷ συμμαχεῖν καὶ συνηγορεῖν, οἱ δὲ καὶ διεφθάρκασιν αὐτοῦ τὴν οὐσίαν, εἰς τὴν ἀνυπόστατον κενότητα τοῦτον καταποντώσαντες. τῷ μὲν οὖν Πρωταγορείῳ λόγῳ τῷ περὶ τοῦ μέτρου*
35 *Θεαίτητος βεβοήθηκε πρὸς τὸν Σωκράτην νεανικῶς ἀντιστάς, τῷ δὲ Πλατωνικῷ τούτῳ εἴτ' Ἀριστοτελικῷ αὐτοὶ τό γε εἰς δύναμιν ἧκον συνεργοὶ φανησόμεθα, τοῦτο πρῶτον τοῖς μεμψαμένοις αἰτιασάμενοι, ὅτι πρὶν ἢ γνῶναι τοῦ αὐθυπάρκτου τὴν σημασίαν, ἔπειτα ἐπέβησαν τῷ ὀνόματι, καὶ ὅτι συμβαῖνον τοῦτ' οὐχ εὑρήκασι τοῖς οἰκείοις ἀναπλασ-*
40 *μοῖς, διέγραψαν ὡς μὴ στοιχῆσαν τῷ τῆς φιλοσοφίας κανόνι· αὐθύπαρκτον γὰρ οὗτοι ᾠήθησαν εἶναι ὅ ποτε μὴ ὂν εἶτα γέγονεν ἐφ' ἑαυτοῦ καὶ μὴ παρ' αἰτίας παρήχθη κρείττονος. ἡμεῖς δὲ οὔ φαμεν εἶναι ταύτην τὴν σημασίαν τοῦ ὀνόματος, ἀλλ' ὃ παρὰ κρείττονος μὲν γένους τὴν ὑπόστασιν εἴληχεν, ἀμέσως δὲ τῆς πρώτης ἀπολαῦσαν αἰ-*
45 *τίας ὅλην ἅπαξ τὴν ἐκεῖθεν ἐκλάμπουσαν δύναμιν ἐν ἑαυτῷ συνείληφεν, ὥστε αὐτὸ ἑαυτῷ πρὸς σύστασιν ἐξαρκεῖν.*

Καὶ ἵνα γε καθ' ὁδὸν ἡμῖν ὁ λόγος προΐῃ, μᾶλλον δὲ ἵνα μὴ λόγος κενὸς τὸ εἰρημένον ᾖ, ἀλλὰ πράγματι καὶ ἀληθείᾳ δεικνύμενον, ἀρκτέον ἄνωθεν καὶ διαιρετέον μὲν τὴν φύσιν τῶν ὄντων, δεικτέον δὲ
50 *ὅπως αἱ κατὰ μικρὸν τῶν πρώτων ὑποβάσεις τὰς φύσεις τῶν γεγονό-*

34–35 Pl. Tht. 152 a

20 *γὰρ* om. **P** ‖ 21 *πρῶτος* **b**[8] ‖ 22 *ἀκαδημιακὸς* **b**[8] ‖ 23 *συνοῖδεν* **P** ‖ 25 *ἐπ' ἄλλῃ* om. **b**[8] ‖ 29 *δὲ*] *γὰρ* **b**[8] ‖ 34 *προταγορείω* **b**[8] | *τῷ*[2] om. **b**[8] ‖ 35 *δὲ* om. **b**[8] ‖ 36 *πλατονικῶ* **b**[8] ‖ 38 *ἐπεβόησαν* **b**[8] ‖ 39 *ὅτι – εὑρήκασι* Kurtz: *ᾧτινι συμβαῖνον τούτου εὑρήκασι* **P b**[8]: fort. *ὅτι μὴ συμβαῖνον τοῦτο εὑρήκασι* leg. ‖ 41 *ἐφ'*] an *ἀφ'* scribendum? ‖ 42 *αἰτίαν – κρείττονα* **P** ‖ 45 *ἐλλάμπουσαν* **b**[8] | *αὐτῶ* **P**

των ἠλλοίωσαν. εἰ δέ τισι καὶ τῶν Ἑλληνικῶν ὀνομάτων καὶ τῶν παρὰ τοῖς φιλοσοφωτέροις δοξῶν ἐπὶ τοὺς ἡμετέρους λόγους συγκαταχρησόμεθα, κακίζειν οὐ χρή· οὐ γὰρ πᾶσα Ἑλληνὶς δόξα διαβέβληται πρὸς ἡμῶν, τινὲς δὲ καὶ συνεργοὶ τοῦ ἡμετέρου τυγχάνουσι δόγματος. ὃ γοῦν ὁ λόγος προδιῳκήσατο, τοῦτο ἐντεῦθεν ἐρῶ. 55

Θεὸν ἡμεῖς ἁπάντων φαμὲν δημιουργόν. τοῦτον οὖν Ἑλληνικοὶ λόγοι ἓν καὶ τἀγαθὸν ὀνομάζουσιν· ἓν μὲν ὅτι μόνον τῶν ὄντων ἀπόλυτον καὶ ἀσύμπλοκον, ἀγαθὸν δὲ ὅτι τοῦτο τελικώτατον αἴτιον· πάντα γὰρ τἀγαθοῦ δεῖται καὶ οὐδὲν τῆς ἀγαθότητος κρεῖττον εἰς ἡμᾶς ἥκει. οὗτος οὖν ὁ παρ' ἡμῖν μὲν θεὸς ὀνομαζόμενος, παρὰ δὲ τοῖς Ἕλλησιν 60 *ἓν λεγόμενος, ἐπὶ τὴν δημιουργίαν τῶν ὄντων ἐλθών, οὐκ εὐθὺς τὰ πλήθη δεδημιούργηκεν οὐδὲ τὰ σώματα ὑπεστήσατο οὐδὲ τὰ ῥέοντα κατεσκεύασεν, ἀλλ' ὅσα συγγενῆ πως τῇ ἑνοειδεῖ φύσει αὐτοῦ καθέστηκε. τὸ δὲ συγγενὲς θεῷ καί τινα πρὸς ἐκεῖνον ὁμοιότητα κεκτημένον τὸ ὄν. ὂν δέ φημι τὸ κυρίως, οὐ τὸ μεταβαλλόμενον καὶ ἐν ῥοῇ* 65 *καὶ ἀπορροῇ τὴν ὕπαρξιν ἔχον, οὐδὲ τὸ διεστηκὸς καὶ τῇ τοῦ χρόνου τριμερείᾳ συμμεριζόμενον, ἀλλὰ τὸ μετέχον αἰῶνος καὶ κατὰ τὸ εἶναι ἀεὶ καὶ ὁμοῦ γνωριζόμενον καὶ διὰ ταῦτα αἰώνιον ὀνομαζόμενον· οὐ γὰρ δὴ αἰώνιον ὁ θεός, εἰ καὶ ἡ θεολόγος φωνὴ ἐπὶ τῆς ἐκείνου φύσεως κατεχρήσατο τῷ ὀνόματι, ἀλλὰ προαιώνιον, μεθ' ὃν ὁ αἰών, εἶτα* 70 *δὴ τὸ αἰώνιον· αἰώνιον γὰρ τὸ μετέχον αἰῶνός ἐστι, τὸ δὲ μετέχον τοῦ μετεχομένου καταδεέστερον. πῶς οὖν αἰώνιον ὁ θεός; οὐ γὰρ ὑπέρκειται αὐτοῦ ὁ αἰών. ἀλλ' ἡμεῖς καταχρώμενοι λέγομεν τὰ κάλλιστα τῶν ὀνομάτων ἐκείνῳ ἀνατιθέντες, ὅς γε δὴ καὶ πολυώνυμός ἐστι δι' ἡμᾶς καὶ διὰ τὴν οἰκείαν φύσιν ἀνώνυμος, καὶ τὸ θαυμαστόν, ὅπου γε καὶ* 75 *αὐτὸς ἑαυτῷ τὰ χθαμαλώτατα τῶν ὀνομάτων προσμαρτυρεῖ, μετρῶν τοὺς λόγους πρὸς τὴν τῶν ἀκουόντων ἀσθένειαν· 'ἐγὼ' γάρ 'εἰμι' φησίν 'ἡ ζωὴ καὶ τὸ φῶς'. καὶ τῷ Μωυσῇ δὲ ἐντελλόμενος τὴν τοῦ Ἰσραὴλ δημαγωγίαν 'ἐρεῖς', φησί, 'ὅτι ἀπέσταλκέ με ὁ ὤν'. ἀλλ' ὢν ὁ θεός; ἄπαγε τοῦ λόγου· ὑπερβέβηκε γὰρ τοῦτο. ἐκεῖνος δὲ ἕν ἐστι μόνος, ἓν* 80 *δὲ οὐχ ὡς ἄτομον οὐδὲ ὡς εἶδος ἢ γένος, ἀλλ' ὡς πάντα ἓν καὶ πρὸ πάντων ἓν καί, ὥς πού τις ἔφησε τῶν φιλοσόφων τολμηρῶς ἴσως φθεγξάμενος, 'αὐτός ἐστιν ἡ καταπιοῦσα τὰ πάντα ἁπλότης'. ἀφ' οὗ*

58–59 cf. Arist. Eth. Nic. 1094 a ‖ 69–70 e. g. Gen. 21, 33; Is. 26, 4 ‖ 77–78 Io. 11, 25; 8, 12 ‖ 78–79 Ex. 3, 14 ‖ 83 Damasc. De princ. 4, 11–12; 3, 10; cf. Psell. Theol. I 49, 159

52 *φιλοσοφωτάτοις* **b**[8] | *τοῖς ἡμετέροις λόγοις* **b**[8] ‖ 53 *κακίζειν*] *κανονίζειν* **b**[8] ‖ 55 *ὁρῶ* **P** ‖ 56 *φαμεν ἀπάντων* **b**[8] ‖ 64 *τὸ*] *τί* **b**[8] ‖ 72 *αἰώνιος* **b**[8] ‖ 73 *αὐτὸν* **P** ‖ 80 *τούτῳ* **b**[8]

δὴ πρόεισι πρώτως τὸ ὄν, ὃ δὴ ἀμέσως ἐντυγχάνον τῷ ἑνὶ ὂν μέν ἐστι
85 *κατὰ οὐσίαν, ἓν δὲ κατὰ μετοχήν. τοῦτο δὲ καὶ αὐθυπόστατόν ἐστιν,*
ὅτι μὴ δεῖται διηνεκῶς τῆς ὑφιστώσης αὐτὸ χειρός· ἐκορέσθη δὲ ἅπαξ
τῆς ποιητικῆς αἰτίας καὶ ὅλης αὐτῆς καταπολαῦσαν ἀρκεῖ ἑαυτῷ πρὸς
τὴν ὕπαρξιν. διὸ καὶ ἀκίνητόν ἐστιν, ὅτι πρώτως τοῦ ἀκινήτου μετ-
έσχεν.
90 *Ὁ μὲν οὖν θεὸς ἤτοι τὸ ἓν οὐκ αὐθυπόστατον· οὐ γάρ φαμεν τὸν*
θεὸν ἀρκεῖν ἑαυτῷ πρὸς ὑπόστασιν· τὸ γὰρ ἀρκοῦν ἑαυτῷ αὔταρκες
μόνον· τὸ δὲ αὔταρκες ἐλλεῖπον πρὸς τὴν μετάδοσιν· ὁ δὲ θεὸς οὐκ
αὐτάρκης οὐδὲ πλήρης, ἀλλ' ὑπερπλήρης, καὶ ἀπορρέουσιν ἐξ αὐτοῦ
ὥσπερ ἀπὸ κρατῆρος πλησθέντος οἱ τῆς ἀγαθότητος ὀχετοί. οἷς οὖν
95 *ὑπερβαίνει τὸ αὔταρκες, ὑπερεκπίπτει καὶ τὸ αὐθύπαρκτον. ἓν οὖν*
πρῶτον, εἶτα ὄν, ὃ δὴ καὶ αὐθύπαρκτον ὁ λόγος ἐγνώρισε, μεθ' ἃ
τρίτον τὸ αὐτοκίνητον. ὅρα μοι δὲ τὴν ὑπόβασιν καὶ θαυμάσεις τοὺς
λόγους τῶν γεγονότων· ὥσπερ γὰρ τὸ ὂν ὑποβεβηκὸς τὸ ἓν ἄλλο τι
παρ' ἐκεῖνο γέγονεν, οὕτω δὴ τὸ αὐτοκίνητον μετὰ τὸ ὂν γεγονὸς οὐκ-
100 *έτι μεμένηκεν ὥσπερ ἐκεῖνο ἀκίνητον, ἀλλ' ὑπέμεινε κίνησιν, ἐπειδὴ ἐν*
ἑαυτῷ ὡσανεὶ τὴν πηγὴν τοῦ κινεῖσθαι εἴληχε, καὶ ἅπαξ κινηθὲν οὐ
δεῖται ἐς ἀεὶ τοῦ κινοῦντος. διὰ ταῦτα αὐτοκίνητον τοῦτο λέγεται,
οἷον τὸ ἐν ἑαυτῷ ἔχον τὴν ἀρχὴν τῆς ὑποστάσεως. ὁ δὲ Πλάτων ἑτέ-
ρως ἑφερμηνεύει τὸ αὐτοκίνητον τῇ ψυχῇ· οὗτος γὰρ ὁ ἀνὴρ προσρή-
105 *ματά τινα ἐτίθει τοῖς ἀιδίοις, τὸ ὡσαύτως ἔχον καὶ τὸ αὐτὸ καὶ τὸ*
αὐτοόν· τὴν γὰρ ἰδέαν τοῦ καλοῦ καὶ τὴν ὑπὲρ ταύτην ἰδέαν τοῦ
ἀγαθοῦ ὡσαύτως ἔχοντα ἐκάλει καὶ αὐτὰ καὶ αὐτοόντα, ὥσπερ Ἀρι-
στοτέλης τὸ οὕτως ἔχον ὅπερ ὂν ὠνόμασεν. ἐπεὶ οὖν Πλάτων μέσην
ἐτίθετο τὴν ψυχὴν τοῦ ταὐτοῦ καὶ θατέρου καὶ τῶν μὲν πρώτων εἰδῶν
110 *δευτέραν, τῶν δὲ μεριστῶν ὑπερκειμένην, αὐτοκίνητον ταύτην ὠνό-*
μασε· καθὸ μὲν γὰρ ὅλως κινεῖται, τοῖς μεριστοῖς ἀπείκασται, καθὸ δὲ
οὐ πάντῃ μεμέρισται καὶ διέστηκε, τοῖς αὐτοοῦσιν ᾠκείωται. μετὰ δὲ
τὴν ψυχὴν ὁ σύμπας κόσμος, ὃν οὐρανὸν Ἑλλήνων παῖδές φασιν. ὅρα
δὲ κἀνταῦθά μοι τὴν ὑπόβασιν· οὗτος γὰρ καὶ μεριστὸς πάντῃ καὶ
115 *διάστατος καὶ κινητὸς μόνον, ἐπεὶ δὲ προσεχής ἐστι τῇ ψυχῇ, καὶ*
αὐτοκίνητος.

103–105 cf. Tim. 29 a || **108** *ὅπερ ὂν*] cf. Arist. Phys. 186 a 33 sqq. || **108–109** Pl. Tim. 35 a 1–4

85 ante *οὐσίαν* add. *τὴν* **b**[8] || **86** *διηνεκῶς* om. **b**[8] | *ὑφεστώσης* **b**[8] || **91** *ἑαυτῷ* post *ὑπόστασιν* trsp. **b**[8] | ante *ὑπόστ.* add. *τὴν* **b**[8] || **109** *ταὐτοῦ*] *αὐτοῦ* **b**[8] || **110** *ὠνόμαζε* **P** || **115** *προσεχές* ut vid. (comp.) **P**

Ταῦτα δὲ πάντα διηριθμησάμην ὁμοῦ μὲν ὑμᾶς εἰς πολυμάθειαν ἄγων, ὁμοῦ δὲ καὶ ταῖς Ἑλληνικαῖς δόξαις ποιούμενος ἐντριβεῖς. καὶ οἶδα ὡς ἐνίαις γε τούτων ἀντιπεσεῖται τὰ ἡμέτερα δόγματα. ἐγὼ γὰρ οὐχ ὥστε τούτων ἐκεῖνα ἀνταλλάξασθαι διεσπούδασα πρὸς ὑμᾶς – μαινοίμην γὰρ ἄν –, ἀλλ' ἵνα τούτοις μὲν ἦτε προσκείμενοι, ἐκείνων δὲ μόνον τὴν εἴδησιν ἔχητε. εἰ δέ πῃ καὶ συνεργοῖεν ὑμῖν πρὸς τὸν ἀληθῆ λόγον διακινδυνεύοντα, καὶ χρήσασθε. ἀλλ' ὁ μὲν περὶ τῆς ἀληθείας λόγος ἀναμεινάτω καὶ ὅπῃ οὗτος τῷ θύραθεν βεβοήθηται. ἀλλὰ μὴ ἐλαίῳ Ἑλληνικῷ λιπανθείημεν μηδ' ὥσπερ ὁ Ἡρακλῆς σύμμαχον τὸν Ἰόλεων σχοίημεν ἐν οἷς ἐκεῖνος πρὸς τὸν καρκίνον διηγωνίζετο. (120, 125)

Τῷ δὲ περὶ τοῦ αὐθυπάρκτου ἔτι προσδιατρίψωμεν· τῶν γὰρ φιλοσόφων ἄλλων ἄλλως κατατεμόντων τὰ ὄντα, καὶ τῶν μὲν πέντε γένεσιν ἀφορισάντων, τῶν δὲ ἐλάττοσι τούτων, τῶν δὲ τριπλασίοσιν, ὁ φιλόσοφος Ἀριστοτέλης τῷ Πυθαγορείῳ Ἀρχύτᾳ ἑπόμενος δέκα γένη τῶν ὄντων θεωρήσας ἐδίδαξεν, οὔτε ὡς ἀπὸ γένους εἰς εἴδη διελόμενος – πῶς γὰρ ἂν εἶεν γενικώτατα, εἰ γένος ἔχοιεν ὑπερκείμενον; – οὔτε κατὰ ψιλὴν ἀπαρίθμησιν ἀπ' ἀλλήλων ποιησάμενος, ἀλλὰ κατὰ στρατηγικὴν τέχνην διαλαβὼν ταῦτα καὶ καταστήσας. ἐκείνη γὰρ ἐν τοῖς πολέμοις ὃν μὲν σατράπην τίθεται, ὃν δὲ ἑκατοντάρχην ἢ δεκάρχην ἢ μοιρηγέτην ἢ ἰλάρχην, ἄλλον δὲ τοῦ ἱππικοῦ προηγούμενον καὶ ἕτερον δὲ τοῦ πεζοῦ προϊστάμενον· εἶτα τούτους τάξασα ὡς πρώτας ἀρχάς, ὑφ' ἑκάστῃ τῶν ἀρχῶν πρώτας καὶ δευτέρας δυνάμεις τίθησι πελταστάς, αἰχμοφόρους, ξιφηφόρους, ἀσπιδηφόρους, καὶ καθ' ἕκαστον ὑποβαίνουσα εἰς αὐτὸν καταλήγει τὸν ὑδροφόρον ἢ ξυλοφόρον, οὓς δὴ νῦν τῇ Λατίνων γλώττῃ κούρσωρας ὀνομάζουσι. κατὰ γοῦν ταύτην τὴν τέχνην καὶ Ἀριστοτέλης τὰ μὲν δέκα γένη τῶν ὄντων ὡς ἀρχὰς δέκα διετυπώσατο· ὑφ' ἕκαστον δὲ γένος γένη τινὰ καὶ εἴδη καὶ ἄτομα ὥσπερ τινὰς δυνάμεις ὑπέταξε. πλὴν ἐπὶ μὲν τῶν πολέμων αἱ πρῶται ἀρχαὶ οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ πράγματι ἀπ' ἀλλήλων δι- (130, 135, 140, 145)

125 cf. Ps. 140, 6 ‖ 125–126 cf. Apoll. Bibl. II 5, 2 ‖ 130–131 Arist. sc. Cat. | Ps.-Arch. Cat. 4, 19–33

119 *τὰ* om. **b**[8] ‖ 120 *ἐσπούδασα* **b**[8] ‖ 122 *μόνων* **P** | *ἤδησιν* **b**[8] | *πῃ*] *που* **P** | *ἡμῖν* **P** ‖ 123 *χρήσεσθε* **P b**[8]: corr. Hansen ‖ 124 *ὅπως* **P** ‖ 126 *ἰόλεον* **b**[8] ‖ 127 *τοῦ*] *τῆς* **P** | *ἔτι* om. **b**[8] ‖ 128 *ἄλλων*] utrum *-ον* an *-α* incertum **b**[8] | *ἄλλως*] *-ων* **P** | *κατατεμνόντων* **b**[8] ‖ 129 post *ἀφορισάντων* add. *τὰ ὄντα* **P** ‖ 130 *πυθαγορίω ἀρχίτα* **b**[8] ‖ 131 *εἰς εἴδη* om. **P** ‖ 134–135 *ἐκεῖνοι … τίθενται* **P** ‖ 135 *σατράπην*] immo *στρατάρχην* (cf. 148) vel *στρατηλάτην* (cf. 147) ‖ 136 *ἱλάρχην* **b**[8] ‖ 137 *πρώτας*] *πρὸς τὰς* **P** ‖ 141 *λαττίνων* **b**[8] ‖ 145 *αἱ πρῶται ἀρχαὶ* om. **b**[8] | *μόνον* **b**[8]

ἤρηνται, καὶ ὁ μὲν στρατοπεδάρχης ταύτας ἔχων τὰς δυνάμεις τόνδε τὸν λόφον περιπολεῖ, ὁ δὲ στρατηλάτης ἐπὶ τοῦ δεξιοῦ, εἰ τύχοι, κέρους ἐφέστηκε, καὶ πρὸς τὸ πονοῦν μέρος ὁ στρατάρχης ἐπιδεδράμηκε, καὶ ἄλλος ἀλλαχόσε οἱ παραγίνεται ὡς ἡ χρεία καλεῖ. τὰ δὲ
150 *δέκα γένη οὐχ οὕτως ἀπ' ἀλλήλων διεστήκασιν, οὐδ' ἐνταῦθα μὲν ἡ οὐσία ἐστὶ γυμνὴ ποσότητος καὶ ποιότητος καὶ τῶν ἄλλων γενῶν, ἐκεῖσε δὲ τὸ ποσὸν ἄτερ οὐσίας, κἀκεῖ τὸ ποιὸν καὶ τἆλλα καθ' ἑαυτὸ ἕκαστον, ἀλλ' ὁ μὲν λόγος κατ' ἐπίνοιαν καθ' ἑαυτὴν μὲν ὁρᾷ τὴν οὐσίαν, καθ' ἑαυτὸ δὲ ὥσπερ τῶν ἄλλων ἕκαστον· οὐ μὴν οὕτως ἔχει ἐπὶ*
155 *τοῦ πράγματος, ἀλλὰ τὰ ἐννέα γένη καθ' ἑαυτὰ εἶναι μὴ δυνάμενα τῇ οὐσίᾳ ὑποβεβήκασι, μόνη δὲ αὕτη ἑτέρων οὐκ ἐπιδεῖται εἰς ὕπαρξιν. ἐπειδὴ γὰρ ἡ οὐσία ἀπὸ τοῦ ὀνόματος μετεσχημάτισται καὶ τὰ ἐνταῦθα ὄντα, ἅπερ οὐσίαν φαμέν, ἰνδάλματα τοῦ πρώτου ὄντος ἐστί, τὸ δὲ πρώτως ὂν αὐθυπόστατον ὁ λόγος ἐγνώρισε, διὰ τοῦτο καὶ τὰ πρὸς*
160 *ἐκεῖνο ἀπεικασμένα αὐθυπόστατά εἰσι τρόπον τινά. ἀλλ' ὅσα μὲν συνεγγίζει αὐτῷ, οἷον νόες, ψυχαί, ἐκεῖνα δὴ καὶ εἰς τὸ παντελὲς ἑαυτοῖς ἐξαρκεῖ· ὅσα δὲ πλέον ἀφέστηκεν, ὥσπερ τὰ σώματα ταῦτα, ἔστ' ἂν μένῃ, ἑαυτοῖς ἐξαρκοῦσι πρὸς ὕπαρξιν, ἐπεὶ δὲ πόρρω τυγχάνει τοῦ ὄντος, ἀμενηνά πώς εἰσι καὶ ταχὺ διαπίπτει καὶ ἀπόλλυται. εἰ μὲν οὖν*
165 *τὸ αὐθυπόστατον ἐπὶ ταύτης λήψῃ τῆς σημασίας, ὥσπερ ἐγὼ ἐθεώρησα, ἀνεπίληπτος ὁ ὅρος ἐστίν, εἰ δ' ὥσπερ ἐπὶ τῆς παραγωγῆς καὶ τῆς ἀπογεννήσεως, πολὺ τούτῳ τὸ ἐπιλήψιμον· οὐδὲν γὰρ τῶν ὄντων ⟨ἀν⟩αίτιον, ἀλλ' ἀτμοὶ μὲν ἀπὸ γῆς ὑγρανθείσης εἶτα θαλφθείσης ὑπὸ ἡλίου, νέφη δὲ ἐξ ἀτμῶν, ὑετοὶ δὲ ἀπὸ νεφῶν, καὶ τὸ εἶδος ἀπὸ τοῦ*
170 *σπέρματος, τὸ δὲ σπέρμα ἀπὸ τοῦ γεννήσαντος, ὁ δὲ γεννήσας ἐκ τοῦ πατρός, καὶ οὕτως ἀφ' ἑτέρου χωρῶν πρὸς ἕτερον οὐκ ἂν σταίης πρὶν ἂν εἰς τὴν προτέραν ἀρχὴν ἀναβῇς. οὐδὲν οὖν τῶν ὄντων αὐθυπόστατον ὡς ἀφ' ἑαυτοῦ τὴν γέννησιν ἔχον. αὐθυποστάτους δέ φαμεν τὰς οὐσίας οὐχ ὅτι μὴ παρ' ἑτέρου παρήχθησαν, ἀλλ' ὅτι ἀπὸ κρειττό-*
175 *νων αἰτίων παραχθεῖσαι ἀρκοῦσιν ἑαυταῖς πρὸς τὴν ὕπαρξιν. ἐβουλόμην καὶ τὸν λόγον τῆς προσθήκης εἰπεῖν· 'πρᾶγμα' γάρ φησιν 'αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν'. δοκεῖ γὰρ ἐκ περιττοῦ*

176–177 cf. ad 2

147 *τύχη* **b**[8] ‖ **149** *οἱ* om. **b**[8] | *καλοίη* **b**[8] ‖ **152** post *δὲ* add. *καὶ* **P** ‖ **156** *ἐπιβεβήκασι* **P b**[8]: corr. Kurtz ‖ **157** *ἐπεὶ* **P** | *ὀνόματος*] immo *ὄντος* ut vid. ‖ **158** *οὐσία* **b**[8] ‖ **163** *μένῃ* scripsi: *μὲν ἢ* **P b**[8] ‖ **167** *ἐπιγεννήσεως* **P** ‖ **168** *ἀναίτιον* Kurtz: *αἴτιον* **P b**[8] ‖ **169** *ἀτμῶν*] *αὐτῶν* **P** ‖ **173** *αὐθυπόστατον* **P** ‖ **174** *τὰς οὐσίας* ex *τὴν οὐσίαν* correctum **P** | *ἑτέρων* **P** | *προήχθησαν* **b**[8]

τοῖς πολλοῖς προσκεῖσθαι ὡς ἀρκοῦντος τοῦ 'αὐθυπάρκτου'. ἐπεὶ δὲ πολὺ ἐντεῦθεν ὁρῶ τὸ ῥεῦμα τοῦ λόγου, ὑμῖν δὲ ἡ δύναμις πρὸς τὸ ἀντιβαίνειν ἀπώκνησε, μικρόν τι ἐπὶ τῆς ἠόνος ἀναπαυσάμενοι, αὖθις 180 *ἐπαφήσομεν εἰς τὸ πέλαγος.*

8

Περὶ φυσικῶν καὶ ἐπικτήτων ποιοτήτων καὶ περὶ ἕξεως καὶ διαθέσεως

Τῶν ποιοτήτων, περὶ ὧν μαθεῖν ἀκριβέστερον ἐδεήθης, αἱ μέν εἰσι φυσικαί, αἱ δὲ ἐπίκτητοι, φυσικαὶ μὲν αἱ κατὰ φύσιν ἐγγενόμεναι καὶ ἀεὶ ἐνοῦσαι, ἐπίκτητοι δὲ αἱ ἔξωθεν ἀποτελούμεναι καὶ δυνάμεναι ἀποβάλλεσθαι. καὶ τούτων μὲν ἔστωσαν αἱ ἕξεις καὶ διαθέσεις τῷ πο- 5 *λυχρονιωτέρῳ καὶ ὀλιγοχρονιωτέρῳ καὶ δυσαποβλήτῳ καὶ εὐαποβλήτῳ διαφέρουσαι· τῶν δὲ φυσικῶν ποιοτήτων αἱ μὲν ἔστωσαν κατὰ τὸ δυνάμει, αἱ δὲ κατὰ τὸ ἐνεργείᾳ. αἱ μὲν κατὰ τὸ δυνάμει καθ' ἃς ἐπιτήδειοι πρός τι λεγόμεθα, τῶν δὲ κατ' ἐνέργειαν τὸ μὲν διὰ βάθους, ὅπερ κατὰ τὰς παθητικὰς ποιότητας ὑπάρχει, τὸ δὲ ἐπιπολῆς ἔσται.* 10 *παθητικὴ δὲ ποιότης διχῶς λέγεται, ἢ ἀπὸ τοῦ πάθος ἐμποιεῖν τοῖς αἰσθανομένοις ἢ ἀπὸ τοῦ αὐτὰς ἀπὸ πάθους ἐγγίνεσθαι, οἷον γλυκύτης καὶ θερμότης καὶ λευκότης καὶ τὰ τούτοις συγγενῆ· ἀπὸ πάθους δέ φημι ἐγγίνεσθαι, καθὸ 'αἰσχυνθείς τις ἐρυθρὸς ἐγένετο καὶ φοβηθεὶς ὠχρός'.* 15

Τῶν δὲ ἕξεων καὶ διαθέσεων οὐχ ὡς δύο εἰδῶν ἀκούειν χρὴ διαφοραῖς εἰδοποιοῖς διωρισμένων, ἀλλ' ὡς ὁ ἀρτίτοκος πρὸς τὸν ἀκμάζοντα διενήνοχεν. ὁ γὰρ λόγος εἷς ἐπ' ἀμφοτέρων, ὅτι τὸ λευκὸν χρῶμά ἐστι διακριτικὸν ὄψεως, κἄν τε κατὰ ἕξιν ᾖ κἄν τε κατὰ διάθεσιν. ἀλλ' οὐδὲ ἀριθμῷ διαφέρει ἀλλήλων, ὥσπερ Σωκράτης Πλάτωνος· οὐδὲ⟨ν⟩ 20 *γὰρ ἰδιάζον πλῆθος συνδραμὸν τὴν κατὰ ἀριθμὸν διάστασιν ἀπειργάσατο· ἀλλὰ χρόνῳ διαφέρει καὶ τῷ μονιμωτέρῳ ἢ μή. καὶ ἕξεως μὲν παράδειγμα αἱ τέχναι καὶ ἐπιστῆμαι καὶ μᾶλλον αἱ ἀρεταί, διότι κατὰ*

8 **M** 174^r–175^r (**E** 276^r–278^r **e**^{1} 122^r–123^r **a**^{1} 184^r–185^v **m**^{5} 435^v–437^v) || 1-15 cf. Simpl. in Cat. 228,19–32 || 14-15 Arist. Cat. 9 b 13–14 || 16-27 *ἐπιστήμην*] cf. Simpl. in Cat. 229,12–34

179 *ἡμῖν* **P** || 180 *ἐπαναπαυσάμενοι* **P**
8 20 *οὐδέν*] *οὐδὲ* **M**: sec. Simpl. correxi || 23 *παράδειγμα* **m**^{5} (et Simpl.): *παραδείγματα* **M**, cett.

πᾶσαν ἐνέργειαν ταύταις χρώμεθα. 'τῶν δυσκινήτων' δέ φησιν ὁ Ἀρι-
25 στοτέλης 'τὴν ἐπιστήμην, ἐὰν καὶ μετρίως τις ἐπιστήμην λάβῃ', τοῦ
'μετρίως' οὐ τὸ ἐπιπόλαιον δηλοῦντος, ἀλλ' εἴη ἂν τὸ 'μετρίως' ἴσον τῷ
'μετρίαν οὖσαν ἐπιστήμην'. διαθέσεως δὲ παράδειγμα τίθησιν ὁ φιλό-
σοφος τὴν ἐπίκτητον θερμότητα, ὡσαύτως καὶ ψῦξιν. καὶ ἡ νόσος δὲ
καὶ ἡ ὑγεία εὐκίνητα· ταχὺ γὰρ καὶ ταῦτα μεταβάλλει ἐπὶ τὸ ἐναν-
30 τίον, εἰ μή τις διὰ χρόνου πλῆθος φυσιωθείη ἐν τούτοις, τῆς τε νόσου
ἀνιάτου γενομένης καὶ τῆς ὑγείας δυσαποβλήτου. ὅλως δὲ αἱ μόνιμοι
ποιότητες ἕξεις εἰσίν.

Εἰπὼν δὲ 'ἓν εἶδος ποιότητος' ὁ φιλόσοφος οὐχ ἓν ἐπήγαγεν, ἀλλὰ
δύο, τήν τε ἕξιν καὶ τὴν διάθεσιν, ὅτι τὸ ἓν εἶδος τὴν διάθεσιν λαμβά-
35 νει, ὑφ' ὃ τάττει τὴν ἕξιν καὶ τὴν διάθεσιν τὴν ὁμώνυμον τῷ κοινῷ,
ὥσπερ ὑπὸ τὴν κοινὴν δικαιοσύνην ἥ τε μερικωτέρα δικαιοσύνη τέτακ-
ται καὶ ἡ ὁσιότης.

Τινὲς δὲ τῶν ἐξηγητῶν οὕτω διωρίκασι τὰς φωνάς, ὡς τῶν ἐν τοῖς
σώμασι τὰ μὲν εὐκίνητα πάθη εἶναι, τὰ δὲ δυσκίνητα παθητικὰς ποι-
40 ότητας, τῶν δὲ ἐν τῇ ψυχῇ ἐπικτήτων ποιοτήτων τὰ μὲν εὐκίνητα
διαθέσεις, ἕξεις δὲ εἶναι τὰ δυσκίνητα. μᾶλλον δὲ οὕτω χρὴ διορίζειν,
ὅτι κινήσει καὶ ἀλλοιώσει καὶ ἐκστάσει τοῦ ὑποκειμένου τὸ πάθος χα-
ρακτηρίζεται, καὶ ἡ παθητικὴ ποιότης παραπλησίως, ὅταν ἡ κίνησις ἡ
παθητικὴ δυσαπάλλακτος ὑπάρχῃ· εἰ μέντοι ὅρῳ καὶ πέρατι τοῦ εἴ-
45 δους ἤδη κατέχεται καὶ τῆς κατὰ κίνησιν ἀνωμαλίας καὶ ἑτεροιώσεως
πάντῃ κεχώρισται, διάθεσίς ἐστιν. ὁδὸς μὲν γάρ ἐστιν ἐπὶ τὸν λόγον εἴ
τις ἄλλη κίνησις καὶ ἡ παθητική· ἐπειδὰν δὲ ἔλθῃ εἰς τὸ εἶδος, ἵστα-
ται καὶ παύεται πάσχον τε καὶ ἀλλοιούμενον. οὕτως οὖν ἡ αὐτὴ θερ-
μότης, ὅταν μὲν ἐν τῷ ἀλλοιοῦσθαι μεταβάλῃ, φανεῖται πάθος ἢ
50 παθητικὴ ποιότης· ὅταν δὲ στῇ κατὰ τὸ εἶδος τῆς θερμότητος καὶ ψύ-
ξεως, ὁρίζεται ἐν τῷ τῆς διαθέσεως εἴδει. καὶ τῶν ἐν τῇ ψυχῇ φυ-
σικῶν παθῶν τὰ μὲν πάθη, τὰ δὲ παθητικαὶ ποιότητες· καὶ οὐ δεῖ τῆς
ψυχῆς ἐξοικίζειν ταύτας. ὥστε αἱ μὲν θερμάνσεις καὶ καταψύξεις, ὡς
ἐν κινήσει φερόμεναι, πάθη καὶ παθητικαὶ ποιότητες, τὸ δὲ θερμὸν
55 καὶ ψυχρὸν τὰ ἐπίκτητα ἕξεις καὶ διαθέσεις. ὁ δέ γε Πορφύριος τοῦ
μὲν ἔχοντος σώματος τὴν θερμότητα καὶ ἐπάγοντος ἄλλῳ τὸ θερμαίνε-
σθαι αὐτὸ δὴ τοῦτο, τὸ θερμόν, διάθεσιν ὀνομάζει, τοῦ δὲ θερμαινο-

24–25 Arist. Cat. 8 b 29–31 || 27–32 cf. Simpl. in Cat. 230,16–24 || 33 *Εἰπὼν*] Cat. 8 b 26–27 || 33–37 cf. Simpl. in Cat. 231,20–24 || 38–59 cf. Simpl. in Cat. 234,3–235, 1 || 55 Porph. in Cat. 132,14–18

44 *εἰ*] *ᾗ* Simpl. || 46–47 *εἴ τις*] *ἥ τε* Simpl. || 49 *μεταβάλλῃ* Simpl.

μένου ὡς μὴ δύνασθαι ἄλλο θερμᾶναι πάθος. ὥστε πάθους μέν ἐστιν ἐπίτασις ἡ διάθεσις, ἐπίτασις δὲ διαθέσεως ἡ ἕξις.

Ἔστι δὲ ἡ μὲν γενικὴ διάθεσις, ἡ δὲ εἰδική, καὶ ἡ μὲν εὐκίνητος, ἡ κατὰ τὸ εἶδος θεωρουμένη, ἡ δὲ γενικὴ καὶ ταῖς δυσκινήτοις ὑπάρχει καὶ ταῖς εὐκινήτοις. δυσκίνητος δὲ ἀρετὴ λέγεται νῦν ἡ τελεία καὶ ἀπηρτισμένη τοῖς ὅλοις. καὶ τῆς θερμότητος διχῶς λεγομένης, τῆς μὲν συμφύτου, τῆς δὲ ἐπικτήτου, εὐκίνητον θερμότητα ὁ Ἀριστοτέλης τὴν ἐπίκτητον καλεῖ. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ψύξεως. οὔτε γὰρ τὴν τοῦ πυρὸς θερμότητα οὔτε τὴν τῆς χιόνος ψυχρότητα ὑποληψόμεθα ἐνταῦθα, ἀλλὰ τὴν τοῦ ὕδατος ἢ ἄλλου σώματος μεταβολὴν εἰς ἀμφότερα ταῦτα.

Ἡ τοίνυν ἕξις οὐκ ἄλλη τίς ἐστι τῆς διαθέσεως πλὴν τῷ προσειληφέναι τὸ μόνιμον καὶ δυσκίνητον. ἡ δὲ φυσικὴ ἐπιτηδειότης διττή ἐστιν, ἡ μὲν ἁπλῆ, ἡ δὲ κατὰ προκοπήν τινα θεωρουμένη, ἣν ἐν τῷ λόγῳ ὁ Ἀριστοτέλης παρέλαβεν. εἰπὼν δὲ ὁ φιλόσοφος ἐν τῷ λόγῳ τῆς ποιότητος 'ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν', τοῦτό φησιν, ὅτι μὴ κεῖνται πάσαις ταῖς ποιότησιν ὀνόματα ὡς ἐπὶ τῶν φυσικῶν δυνάμεων, καὶ ἐπὶ τῆς συνηθείας μὴ ἐχούσης ἐν χρήσει τὸ ἕτερον, ὡς ἐπὶ τῆς ἀρετῆς καὶ τοῦ ἐναρέτου. ἔστι δὲ ὅπου τῇ μὲν ἕξει κεῖται ὄνομα, ὡς τῇ ἀρετῇ, τῷ ⟨δὲ⟩ κατ' αὐτὴν ποιῷ οὐκέτι. ἐπὶ ἐνίων δὲ καὶ παραλλάττουσιν αἱ τῶν ὀνομάτων σημασίαι· ὁ γὰρ δίκαιος κατὰ μὲν τὸ ὄνομα ἀπὸ τῆς δίκης παρωνόμασται, κατὰ δὲ τὰ πράγματα ἀπὸ τῆς δικαιοσύνης.

9

Περὶ τῶν πρός τι καὶ σχήματος καὶ χρώματος καὶ μορφῆς καὶ περὶ δυνάμεως καὶ ἀδυναμίας

Τοῦ Πλάτωνος ὁρισαμένου τὰ πρός τι καὶ εἰρηκότος ὅτι 'αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται', ἐρωτᾷς τίς ὁ ἀντεπενεχθεὶς περὶ τούτων

60–68 cf. Simpl. in Cat. 236, 34–237, 24 ‖ **64** Cat. 8 b 35–36 ‖ **69–70** Simpl. in Cat. 238, 34–239, 1 ‖ **70–72** cf. Simpl. in Cat. 242, 7–10 ‖ **72** *εἰπὼν*] Cat. 10 a 28–29 ‖ **72–79** cf. Simpl. in Cat. 264, 20–29

9 M 175^{r}–176^{r} (**E** 278^{r}–281^{r} **e**^{1} 123^{r}–124^{v} **a**^{1} 185^{v}–187^{v} **m**^{5} 437^{v}–439^{r}) ‖ **3** *Πλάτωνος*] sc. apud Arist. Cat. 6 a 36–37

60 *ἰδική* **M**: sec. Simpl. correxi ‖ **71** *ἁπλῶς* Simpl. ‖ **74** *καὶ*] *ἢ* Simpl. | *ἐπὶ* fort. delendum ‖ **75** *συνηθείας* scripsi: *συνήθους τῆς* **M** ‖ **77** *δὲ* e Simpl. addidi ‖ **78** *σημασίαι* sec. Simpl. scripsi: *οὐσίαι* **M**

9 4 *ἐστὶν* sec. Arist. scripsi (cf. l. 10): *εἰσὶν* **M**

5 *ὅρος τοῦ Ἀριστοτέλους, ὅτι 'ἐστὶ τὰ πρός τι οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν', καὶ τίς ἡ διαφορὰ τοῖν δυοῖν τούτοιν ὅροιν, καὶ διὰ τί τοῦ πρώτου ὁρισμοῦ καλῶς ἔχοντος τὸν δεύτερον ὁ φιλόσοφος ἀντεπήνεγκε.*

Φημὶ γοῦν ὅτι πολὺ τὸ διάφορον τοῦ λέγεσθαι καὶ τοῦ εἶναι. ὁ μὲν 10 *οὖν Πλάτων 'αὐτά' φησιν 'ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται', ὁ δὲ Ἀριστοτέλης 'οἷς τὸ εἶναι' φησί 'ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν', οὐκέτι τὸ λέγεσθαι πρὸς ἕτερον, ἀλλὰ τὸ εἶναι τοῖς πρός τι ἀποδιδούς. τὸ μὲν γὰρ λέγεσθαι τὴν οὐσίαν αὐτῶν οὐ δηλοῖ, τὸ δὲ εἶναι πρὸς ἕτερον αὐτὴν τὴν οὐσίαν παρίστησι· καὶ τὸ μὲν λέγεσθαι καὶ μέρεσί τισι τῶν* 15 *οὐσιῶν συμβέβηκε, τὸ δὲ εἶναι τοῖς πρός τι μόνοις. διὸ ἡ κεφαλὴ λέγεται μέν τινος, ἐπεὶ δὲ οὐκ ἔστι τὸ εἶναι αὐτῆς ἐν σχέσει τοῦ πρὸς ὃ λέγεται, οὐκ ἂν εἴη τῶν πρός τι ἡ κεφαλή. εἰ γὰρ καὶ ἄλλων λέγεται, ἀλλὰ πρῶτόν ἐστι καθ' ἑαυτήν· τὰ δὲ πρός τι οὐκ ὄντα τι ἄλλο καθ' αὑτά, ἔπειτα πρός τι λέγεται, ἀλλ' αὐτὸ τὸ εἶναι ἐν τούτῳ ἔχει, ἐν τῷ* 20 *πρὸς ἕτερόν πως ἔχειν. ἡ δὲ κεφαλὴ ὡς μὲν οὐσία καθ' αὑτὴν οὐκ ἔστι τῶν πρός τι, ὡς δὲ μέρος πρὸς ὅλον ἔχει τὸ εἶναι· τὸ γὰρ μέρος ὅλου μέρος καὶ τὸ ὅλον μερῶν ὅλον. ἡ μὲν γὰρ οὐσία ὡς καθ' αὑτὸ οὖσα ἀποδέδοται, τὰ δὲ πρός τι κατὰ τὴν πρὸς ἕτερον ἀπόνευσιν τὸ εἶναι ἔχει. οὐδεμία ἄρα οὐσία τῶν πρός τι εἴη. ἀπορίαν οὖν εἶχε, πῶς* 25 *τινες οὐσίαι δοκοῦσι τῶν πρός τι· ἡ γὰρ χεὶρ οὐσία οὖσα τινὸς λέγεται χείρ, καὶ ὁ ποὺς τινὸς πούς, τὰ δὲ τινὸς λεγόμενα τῶν πρός τι ἐδόκει. ἀνάγκη οὖν ἦν ἢ τὰ μέρη τῶν οὐσιῶν μὴ λέγειν οὐσίας, ὅπερ ἄτοπον, ἢ τὸν ἀποδεδομένον τῶν πρός τι λόγον ἐπανορθῶσαι τὸν 'ὅσα ἑτέρων εἶναι λέγεται, ταῦτα' εἰπόντα 'πρός τι'.*

30 *Αὐτὸς δὲ καθολικώτερον ποιῶν τὸν λόγον περὶ πάσης οὐσίας ζητεῖ εἰ ἔστι τῶν πρός τι, τῆς τε πρώτης καὶ τῆς δευτέρας καὶ τῶν ἐν ταύταις μερῶν. καὶ τὴν μὲν πρώτην καὶ ἄτομον οὐσίαν καὶ τὰ ταύτης μέρη ἐναργῶς φησι μὴ λέγεσθαι τῶν πρός τι κατὰ τὸν ἀποδοθέντα ἤδη τῶν πρός τι ὁρισμόν. 'ὁ γὰρ ἄτομός' φησιν 'ἄνθρωπος, ἤτοι ὁ τὶς* 35 *ἄνθρωπος, οὐ λέγεται τινός τις ἄνθρωπος.' τί ἔστι τὸ 'οὐ λέγεται τινός τις ἄνθρωπος'; μᾶλλον γὰρ εἰ τῶν πρός τι ἦν ὁ τὶς ἄνθρωπος, οὕτως ἔμελλε λέγεσθαι 'ὁ τὶς ἄνθρωπος τινός τις ἄνθρωπος'. ἀλλ' ἦν ἀδολεσχία ἐν τῇ περιόδῳ δὶς τοῦ 'τὶς' προκειμένου· τὸ γοῦν 'οὐ λέγεται'*

5-6 Cat. 8 a 31–32 ‖ 22-35 cf. Simpl. in Cat. 197,4–20 ‖ 34 *φησιν*] Cat. 8 a 16–17

16 *ἐπεὶ δὲ* Wk.: *ἐπειδὴ* **M** ‖ 38 *προκειμένου* **Ea**[1]**m**[5]: *προσκ.* **Me**[1]

ἀντὶ τοῦ μὴ προσηκόντως λέγεσθαι λέγεται. εἰ γοῦν ἦν τῶν πρός τι ἡ ἄτομος οὐσία, οὕτως ἂν ἀπεδόθη· ἐπεὶ δὲ οὐ χρὴ οὕτως ἀποδίδοσθαι 40 *διὰ τὴν παλιλλογίαν, οὐκ ἔστι τῶν πρός τι. τὰ γὰρ ἄτομα ταύτῃ διαφέρει τῶν κοινῶν ἐν τῇ κατηγορίᾳ, καθ' ὅσον προστίθεται αὐτοῖς τὸ τί, τὸ ἓν ἀριθμῷ. κατὰ τὸν αὐτὸν λόγον οὐδὲ τὸ μέρος τῆς πρώτης οὐσίας λεχθείη τινός· οὕτως γὰρ κἀνταῦθα ὀφείλει εἰρῆσθαι 'ἡ τὶς χεὶρ τινός τις χείρ', καὶ ἔστιν αὖθις παλιλλογία καὶ σολοικοφανὴς ἡ* 45 *περίοδος. ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν, ἐπὶ μὲν τῶν ὅλων πάλιν διαφαίνεται τὸ μὴ εἶναι πρός τι. ὁ γὰρ ἄνθρωπος οὐ λέγεται τινὸς ἄνθρωπος· οὐσίαν γὰρ ἔχει καθ' ἑαυτόν· ὡς δὲ καὶ ὁ βοῦς καὶ τὸ ξύλον. εἰ μέντοι τὸν ἀγρὸν οὐσίαν ὄντα τινὸς εἶναι φαμέν, οὐ καθὸ ἔστιν ἀποδίδομεν, ἀλλὰ καθὸ συμβέβηκεν αὐτῷ κτήματι εἶναι. 'ἐπ' ἐνίων δέ'* 50 *φησι 'τῶν δευτέρων οὐσιῶν', τουτέστιν ἐπὶ τῶν μερῶν, 'ἔχει ἀμφισβήτησιν.' τὰ μὲν γὰρ ἄτομα μέρη ἀπέδειξε μὴ ὄντα πρός τι διὰ τὸ μὴ λέγεσθαι 'τινός τις κεφαλή', ἐπὶ δὲ τῶν κοινῶν ἐνδέδωκεν, ὅτι ταῦτα διὰ τὸ ἕκαστον αὐτῶν ὅπερ ἐστὶν ἑτέρου λέγεσθαι – μέρη γὰρ ὄντα τῶν ὅλων ἐστί – δοκεῖ πρός τι εἶναι. οὐ γὰρ ἦν ἐπὶ τούτων εἰ-* 55 *πεῖν, ὅπερ ἐπὶ τῶν ἀτόμων οὐσιῶν ἐκώλυεν εἶναι πρός τι ἐκείνας. διὰ ταῦτα τοιγαροῦν τὸν ὁρισμὸν διωρθώσατο, καὶ ἵνα μὴ εὑρεθῇ τις οὐσία τῶν πρός τι οὖσα ἕτερον ἀντεπήνεγκε. καὶ ἡ διαφορὰ ἐν τούτῳ ἐστί, καὶ καθ' ὅσον ἐκεῖνος μὲν ἀπὸ τοῦ λέγεσθαι τὸ εἶναι ἐνεδείξατο, ὡς ἀπὸ ἐναργεστέρου, οὗτος δὲ ἀπὸ τοῦ εἶναι καὶ τὸ λέγεσθαι, ὡς* 60 *ἀπὸ αἰτιωδεστέρου.*

Ἐπὶ δὲ τοῖς εἰρημένοις ὥσπερ πόρισμά τι ἀναφαινόμενον παραδίδωσιν ὁ φιλόσοφος, ὅτι 'ἄν τις εἰδῇ τι τῶν πρός τι ὡρισμένως, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται'· εἰ γὰρ οἶδέ τις τὸ κάλλιον, καὶ ὅτου κάλλιόν ἐστιν οἶδε. τούτῳ δὲ ἑπόμενον δείκνυσι τὸ τὴν κε- 65 *φαλὴν καὶ τὴν χεῖρα μὴ εἶναι τῶν πρός τι. τοῦ γὰρ τὸ ἄλλο σῶμα ἐγκεκαλυμμένου γινώσκειν μὲν εἶναι καὶ τὴν κεφαλὴν καὶ τὴν χεῖρα, ὅτου δέ ἐστιν οὐκ ἔστιν εἰδέναι· καίτοιγε εἰ ἦν πρός τι, πάντως ἂν ἔγνωμεν.*

Ἠρώτησας δὲ καὶ τοῦτο ἐν τῷ γράμματι, τίς ἡ διαφορὰ μορφῆς καὶ 70

41–43 *ἀριθμῷ*] cf. Simpl. in Cat. 197,25–26 || **46–50** cf. Simpl. in Cat. 197,28–33 || **51** *φησι*] Cat. 8 a 25–26 || **51–58** cf. Simpl. in Cat. 198, 4–18 || **58–69** cf. Simpl. in Cat. 199,35–200, 10; 200,19–20 || **63** *ὁ φιλόσοφος*] Cat. 8 a 36–37

39 *προσήκοντος* **M**: corr. Wk. || **41** *παλλιλογίαν* **M**: correxi || **45** *παλλιλογία* **M**: correxi || **60** *τὸ*] *τοῦ* **M**: corr. Wk. || **65** *τὸ*] *τῷ* **M**: sec. Simpl. correxi

σχήματος καὶ χρώματος. φημὶ γοῦν ὅτι ἡ μορφὴ περιεκτική ἐστι καὶ
τοῦ σχήματος καὶ τοῦ χρώματος. εἰ γὰρ κατὰ τὴν ἀποτελεύτησιν καὶ
τὴν ἐπιφάνειαν τοῦ εἴδους θεωρεῖται, τὸ δὲ εἶδος πάντων ἦν περιεκτι-
κὸν καθ' ἕνα λόγον, καὶ τὸ πέρας ἂν αὐτοῦ τὰ πάντων πέρατα περι-
75 *έχοι, καὶ συμπληροῦσθαι οὖν ὑπὸ τῶν ἄλλων λέγοιτο ἡ μορφή, οἷον*
κοινὴ σύλληψις οὖσα πάντων. σχήματος δὲ καὶ χρώματος αὕτη ἡ δια-
φορά, ὅτι σχῆμα μὲν λέγεται ἡ τοιάδε διατύπωσις καὶ διάπλασις,
χρῶμα δὲ ἡ ἁπλῶς ἐπικεχυμένη ποιότης τῷ σώματι. ἔνιοι δὲ τὸ μὲν
σχῆμα ἐπὶ τῶν ἀψύχων τάττουσι, τὴν δὲ μορφὴν ἐπὶ τῶν ἐμψύχων, τὸ
80 *δὲ χρῶμα τὴν ἐξ ἐπιπολῆς φασιν ἐπιφάνειαν.*
Καὶ ἵνα σοι πάλιν ἐπιδρομάδην περὶ τῶν εἰδῶν εἴποιμι τῆς ποιότη-
τος, ἡ μὲν ἕξις ἐστὶν ἐπίτασις διαθέσεως, λέγεται δὲ καὶ ἐπὶ τῶν κατὰ
φύσιν ἡμῖν προσόντων καὶ μὴ ἀπὸ διαθέσεως καὶ προκοπῆς ἐγγινο-
μένων, ὡς ὄψεως καὶ τῶν λοιπῶν αἰσθήσεων. ἡ δὲ παθητικὴ ποιότης
85 *τοῦ πάθους ἐστὶν αὔξησις καὶ ἐπίτασις. δοκεῖ δὲ ὁ Ἀριστοτέλης τὴν*
μὲν ἕξιν καὶ τὴν διάθεσιν ἐπὶ τῶν ἀρετῶν ἐκλαμβάνειν καὶ μαθη-
μάτων καὶ γνωστικῶν θεωρημάτων, τὸ δὲ πάθος καὶ τὴν παθητικὴν
ποιότητα ἐπὶ ὀργῆς καὶ μίσους καὶ τῶν τοιούτων. θερμότητας δὲ καὶ
ψυχρότητας νῦν μὲν ἐπὶ τῆς ἕξεως καὶ διαθέσεως τίθησι, νῦν δὲ ἐπὶ
90 *τῆς παθητικῆς ποιότητος· καὶ τοῦ πάθους καθὸ μὲν μεθεκτά, ἕξεις*
αὐτὰ προσηγόρευσε, καθὸ δὲ πάθος ἐμποιεῖ, παθητικὰς ποιότητας.
καὶ δύναμις μέν ἐστιν ἡ ἐπιτηδειότης, ἀδυναμία δὲ ἡ ἀνεπιτηδει-
ότης.

10

Περὶ τῆς μίξεως τῶν προτάσεων καὶ περὶ εὐπορίας προτάσεων σύντομος ἔφοδος

Ἰδού σοι τὰς μίξεις τῶν προτάσεων ὡς ἐκέλευσας ἐν βραχεῖ κατὰ
τὴν Ἀριστοτελικὴν διάταξιν ἀποδίδωμι ἄνευ αἰτίας καὶ παραδειγ-
5 *μάτων, ἵνα τὸ μέτρον τηρηθῇ τῆς ἐπιστολῆς.*
Ἐπὶ τῆς μίξεως οὖν τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος τῆς πρὸς τὸ

71 *ἡ μορφὴ* – 76 *πάντων*] cf. Simpl. in Cat. 266,33–267, 4 ‖ 78–79 cf. Simpl. in Cat. 261,34–262, 1 ‖ 81 *πάλιν*] cf. tractatum praecedentem

10 M 179^{r-v} (**E** 288^{v}–289^{v} **e**^{1} 129^{r-v} **a**^{1} om. **m**^{5} 444^{r-v} **v**^{36} 145^{r}–146^{r}) ‖ 6–8 cf. Arist. Anal. Prior. 9, 30 a 15–17

10 1 *προτάσεων*^{2} scripsi: comp. ambig. **M**

μεῖζον ἄκρον ἀναγκαίας οὔσης προτάσεως ἀναγκαῖος γίνεται συλλογισμὸς ἐπὶ τοῦ πρώτου σχήματος. ἐπὶ δὲ τοῦ δευτέρου εἰ μὲν ἡ στερητικὴ ἀναγκαία, καὶ τὸ συμπέρασμα ἀναγκαῖον· εἰ δὲ ἡ κατηγορική, οὐκ ἀναγκαῖον. ἐν δὲ τῷ τρίτῳ σχήματι καθόλου μὲν ὄντων τῶν 10
ὅρων πρὸς τὸ μέσον καὶ κατηγορικῶν ἀμφοτέρων τῶν προτάσεων, ἐὰν ὁποτερονοῦν ᾖ ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον· ἐὰν δὲ τὸ μὲν κατηγορικὸν ᾖ, τὸ δὲ στερητικόν, ὅταν μὲν τὸ στερητικὸν ἀναγκαῖον ᾖ, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον· ὅταν δὲ τὸ κατηγορικόν, οὐκ ἔσται ἀναγκαῖον. 15

Ἐπὶ δὲ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου κατὰ τὸ πρῶτον σχῆμα, ὅταν μὲν ἡ πρὸς τὸ μεῖζον ἄκρον ἐνδέχεσθαι σημαίνῃ, τέλειοί τε ἔσονται πάντες οἱ συλλογισμοὶ καὶ τοῦ ἐνδέχεσθαι, καθ' ὃν ἐν ἑτέρᾳ σοι ἐπιστολῇ δηλώσομεν διορισμόν· ὅταν δὲ ἡ πρὸς τὸ ἔλαττον, ἀτελεῖς τε πάντες καὶ οἱ στερητικοὶ τῶν συλλογισμῶν, τοῦ μηδενὶ 20
ἢ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν ἐνδεχομένου· ὅταν δὲ ἡ μὲν ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, κατηγορικῶν μὲν ὄντων τῶν ὅρων, τοῦ ἐνδέχεσθαι καὶ οὐ τοῦ ὑπάρχειν ἔσται, καὶ καθόλου καὶ μὴ καθόλου τιθεμένων. ἐὰν δὲ ᾖ τὸ μὲν καταφατικόν, τὸ δὲ στερητικόν, ὅταν μὲν ᾖ τὸ καταφατικὸν ἀναγ- 25
καῖον, τοῦ ἐνδέχεσθαι καὶ οὐ τοῦ μὴ ὑπάρχειν· ὅταν δὲ ᾖ τὸ στερητικόν, καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν, καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων. τὸν αὐτὸν δὲ τρόπον ἕξει κἀπὶ τῶν ἐν μέρει συλλογισμῶν. ἐν δὲ τῷ δευτέρῳ σχήματι, ὅταν μὲν ἐνδέχεσθαι λαμβάνωνται ἀμφότεραι αἱ προτάσεις, οὐδεὶς ἔσται συλλογισ- 30
μός· ὅταν δὲ ἡ μὲν ὑπάρχειν, ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ, τῆς μὲν καταφατικῆς ὑπάρχειν σημαινούσης οὐδέποτε ἔσται, τῆς δὲ στερητικῆς καθόλου ἀεί. εἰ δὲ ἡ μὲν ὑπάρχειν, ἡ δὲ ἐνδέχεσθαι σημαίνει, τῆς μὲν κατηγορικῆς ὑπάρχειν τιθεμένης, τῆς δὲ στερητικῆς ἐνδέχεσθαι {σημαίνει, τῆς μὲν κατηγορικῆς ὑπάρχειν τιθεμένης, τῆς δὲ στερητικῆς 35
ἐνδέχεσθαι}, οὐδέποτε ἔσται συλλογισμός· ὅταν δὲ ἡ μὲν καταφατικὴ ἐνδέχεσθαι, ἡ δὲ στερητικὴ ὑπάρχειν, ἔσται συλλογισμὸς ἐνδεχόμενος. ἐὰν δὲ ἡ μὲν ἐξ ἀνάγκης, ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων,

8–10 cf. 30 b 7–9 || 10–15 31 a 18–24 || 17–18 Anal. Prior. 15,33 b 26–27 || 19–21 cf. 33 b 27–31 || 21–22 35 b 23–24 || 23–28 35 b 26–32 || 28–29 36 a 32 || 29–30 36 b 26–27 || 31–33 Anal. Prior. 17,36 b 29–31 || 33–36 37 b 19–21 || 36–37 37b 23–24 || 38–41 38 a 13–16

12 *ὁποτερωνοῦν* **M** || 35–36 iteratio praeeuntium || 37 *ἐνδεχόμενος* non habet Arist.

τῆς μὲν στερητικῆς οὔσης ἔσται συλλογισμός, οὐ μόνον ὅτι ἐνδέχεται
40 *μὴ ὑπάρχειν, ἀλλὰ καὶ ὅτι* [*οὐχ ὑπάρχει, τῆς δὲ καταφατικῆς οὐκ ἔσται.*

11

Περὶ τοῦ δευτέρου βιβλίου τῶν Προτέρων ἀναλυτικῶν

Ἠρώτησας τίς ἐστιν ὁ σκοπὸς τοῦ δευτέρου βιβλίου τῶν Προτέρων ἀναλυτικῶν. σκοπὸς οὖν ἐστιν αὐτῷ παραδοῦναι τὰς ἀρχὰς τῆς σοφιστικῆς καὶ διαλεκτικῆς ἐν ἐπιτόμῳ καὶ δεῖξαι ὡς οἱ μὲν καθόλου πάν-
5 *τες τῶν συλλογισμῶν αἰεὶ πλείω συλλογίζονται, τῶν δ' ἐν μέρει οἱ μὲν κατηγορικοὶ πλείω διὰ τὸ ἀντιστρέφειν εἴτε πρὸς ἄλλας εἴτε πρὸς ἑαυτάς, οἱ δ' ἀποφατικοὶ τὸ συμπέρασμα μόνον· αἱ μὲν γὰρ ἄλλαι προτάσεις ἀντιστρέφουσιν, ἡ δ' ἐν μέρει στερητικὴ οὐκ ἀντιστρέφει. καὶ ἐξ ἀληθῶν μὲν οὐκ ἔστι ψεῦδος συλλογίσασθαι, ἐκ ψευδῶν δὲ ἔστιν ἀλη-*
10 *θές· πλὴν οὐ διότι, ἀλλ' ὅτι, τοῦ γὰρ διότι οὐκ ἔστιν ἐκ ψευδῶν συλλογισμός. συλλογισμὸς δὲ γίνεται ἐκ ψευδῶν ἀληθής, καὶ ἀμφοτέρων τῶν προτάσεων ψευδῶν οὐσῶν καὶ τῆς μιᾶς· ταύτης δὲ οὐχ ὁποτέρας ἔτυχεν. ἐὰν γὰρ ἡ ἑτέρα τεθῇ ψευδής, τῆς μὲν πρώτης ὅλης ψευδοῦς οὔσης οὐκ ἔστι τὸ συμπέρασμα ἀληθές· λέγω δὲ ὅλην ψευδῆ τὴν ἐν-*
15 *αντίαν, ἐάν τε καταφατικὴ ᾖ ἐάν τε στερητική· τῆς δ' ἑτέρας ἀληθοῦς οὐ γίνεται ἀληθὲς τὸ συμπέρασμα· μὴ ὅλης δὲ λαμβανομένης ψευδοῦς ἔσται. ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν ἐνδέχεται καὶ τῆς πρώτης προτάσεως ὅλης οὔσης ψευδοῦς, τῆς δὲ ἑτέρας ἀληθοῦς, ἀληθὲς εἶναι τὸ συμπέρασμα, καὶ ἐπί τι ψευδοῦς οὔσης τῆς πρώτης, καὶ τῆς μὲν*
20 *ἀληθοῦς τῆς δὲ ἐν μέρει ψευδοῦς, καὶ ἀμφοτέρων ψευδῶν. ἐν δὲ τῷ δευτέρῳ σχήματι πάντως ἐγχωρεῖ δι' ἀληθῶν συλλογίσασθαι κατὰ πάντα τρόπον. ἔσται δὲ καὶ ἐν τῷ ἐσχάτῳ σχήματι διὰ ψευδῶν ἀληθές, καὶ ἀμφοτέρων ψευδῶν ὅλων, καὶ ἐπί τι ἑκατέρας, καὶ τῆς μὲν*

11 M 178r–179r (**E** 285v–288r **e**[1] 127v–129r **a**[1] 191r–192v **m**[5] 442v–444r **v**[36] 142r–144r) || 4-8 cf. Arist. Anal. Prior. *B* 1, 53 a 4–8 || 8-10 Anal. Prior. 2, 53 b 7–10 || 11-13 53 b 26–28 || 13-14 54 a 2–5 || 15-16 54 a 16–19 || 17-20 54 b 17–21 || 20-21 Anal. Prior. 3, 55 b 3–4 || 22-26 56 b 4–9

39 *οὔσης*] *ἀναγκαίας οὔσης* Arist. || 40 in medio folio desinit **M**; cetera ex Arist. supplevi

11 6 *διὰ – ἑαυτάς* non habet Arist. || 8 *ἐν μέρει* om. Arist. | *στερητικὴ* codd. praeter **M v**[36] (*στερικὴ*) || 21 *δι' ἀληθῶν*] *διὰ ψευδῶν ἀληθὲς* Arist. || 23 ante *ὅλων* add. *οὐσῶν* Arist.

ἑτέρας ἀληθοῦς ὅλης τῆς δὲ ἑτέρας ψευδοῦς, καὶ τῆς μὲν ἐπί τι ψευδοῦς τῆς δὲ ὅλης ἀληθοῦς, καὶ ἀνάπαλιν, καὶ ὁσαχῶς ἄλλως ἐγχωρεῖ 25 *μεταλαβεῖν τὰς προτάσεις, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ σχήματι.*

Τὸ δὲ κύκλῳ καὶ ἐξ ἀλλήλων δείκνυσθαί ἐστι τὸ διὰ τοῦ συμπεράσματος καὶ τοῦ ἀνάπαλιν τῇ κατηγορίᾳ τὴν ἑτέραν λαβόντα πρότασιν συμπεράνασθαι τὴν λοιπήν, ἣν ἐλάμβανεν ἐν θατέρῳ συλλογισμῷ. ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν τὴν μὲν καθόλου πρότασιν οὐκ ἔστιν 30 *ἀποδεῖξαι διὰ τῶν ἑτέρων, τὴν δὲ κατὰ μέρος ἔστιν. ἐν δὲ τῷ δευτέρῳ σχήματι τὸ μὲν καταφατικὸν οὐκ ἔστι δεῖξαι διὰ τούτου τοῦ τρόπου, τὸ δὲ στερητικὸν ἔστι. ἐπὶ δὲ τοῦ τρίτου σχήματος, ὅταν μὲν ἀμφότεραι αἱ προτάσεις καθόλου ληφθῶσιν, οὐκ ἐνδέχεται δεῖξαι δι' ἀλλήλων· τὸ μὲν γὰρ καθόλου δείκνυται διὰ τῶν καθόλου, τὸ δ' ἐν* 35 *τούτῳ συμπέρασμα ἀεὶ κατὰ μέρος· ἐὰν δὲ ἡ μὲν καθόλου ἡ δὲ ἐν μέρει, ὅταν μὲν ἀμφότεραι κατηγορικαὶ ληφθῶσι καὶ τὸ καθόλου πρὸς τῷ ἐλάττονι γένηται ἄκρῳ, ἔσται, ὅταν δὲ πρὸς θατέρῳ, οὐκ ἔσται.*

Τὸ δὲ ἀντιστρέφειν ἐν τοῖς συλλογισμοῖς ἐστι τὸ μετατιθέντα τὸ συμπέρασμα ποιεῖν τὸν συλλογισμόν, ὅτι ἢ τὸ ἄκρον τῷ μέσῳ οὐχ 40 *ὑπάρχει ἢ τοῦτο τῷ τελευταίῳ. ἀνάγκη γὰρ τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τῆς ἑτέρας μενούσης προτάσεως ἀναιρεῖσθαι τὴν λοιπήν. διαφέρει δὲ ἀντικειμένως ἢ ἐναντίως ἀντιστρέφειν τὸ συμπέρασμα· οὐ γὰρ ὁ αὐτὸς γίνεται συλλογισμὸς ἑκατέρου ἀντιστραφέντος. ὅταν μὲν γὰρ ἀντικειμένως ἀντιστρέφηται τὸ συμπέρασμα, ἀναιροῦνται* 45 *ἀμφότεραι αἱ προτάσεις· ὅταν δὲ ἐναντίως, οὐδετέρα. λέγω δὲ ἀντικεῖσθαι τὸ μὲν παντὶ τῷ οὐ παντὶ καὶ τὸ τινὶ τῷ οὐδενί, ἐναντίως δὲ τὸ παντὶ τῷ οὐδενὶ καὶ τὸ τινὶ τῷ οὐ τινὶ ὑπάρχειν.*

Ὁ δὲ τοῦ ἀδυνάτου συλλογισμὸς δείκνυται, ὅταν ἡ ἀντίφασις τεθῇ τοῦ συμπεράσματος καὶ προσληφθῇ ἄλλη πρότασις. διαφέρει δὲ τῆς 50 *ἀντιστροφῆς, ὅτι ἀντιστρέφεται μὲν γεγενημένος συλλογισμὸς καὶ εἰλημμένων ἀμφοῖν τῶν προτάσεων, ἀπάγεται δὲ εἰς ἀδύνατον οὐ*

27–29 57 b 18–21 ‖ **29–31** Anal. Prior. 5, 58 a 36–38 ‖ **31–33** 58 b 13–14 ‖ **33–36** 58 b 39–59 a 1 ‖ **36–38** cf. 59 a 3–6 ‖ **39–43** 59 b 1–5 ‖ **43–44** 59 b 6–8 ‖ **45–46** 59 b 37–39 ‖ **46–48** 59 b 8–11 ‖ **49–50** Anal. Prior. 11, 61 a 18–21 ‖ **50–54** 61 a 22–25

37 *τὸ*] *τῷ* codd. praeter **m**[5] ‖ **39** *ἐν τοῖς συλλογισμοῖς* add. Psellus ‖ **43** post *λοιπήν* spat. c. 4 litt. **M** | *δὲ*] *δὲ τὸ* Arist. | *ἀντιστρέφειν* Arist.: *ἀναστρέφειν* **M** ‖ **44** *ἑκατέρως* Arist. ‖ **45** *γὰρ* om. Arist. ‖ **47** *τὸ*[1] Arist.: *τῷ* **M** | *μὲν* ante *τὸ*[1] habet Arist. | *τὸ*[2,3] Arist.: *τῷ* bis **M** ‖ **48** *τὸ* Arist.: *τῷ* **M** | *ὑπάρχειν* Arist.: *-ει* **M** ‖ **49** *δὲ*] *δὲ διὰ* Arist. ‖ **51** *γεγενημένου συλλογισμοῦ* Arist.

προομολογηθέντος τοῦ ἀντικειμένου πρότερον, διὰ συλλογισμοῦ δηλονότι, ἀλλὰ φανεροῦ ὄντος ὅτι ἀληθές. πλὴν τὸ καθόλου κατηγορικὸν ἐν
55 μὲν τῷ μέσῳ καὶ τῷ τρίτῳ δείκνυται, ἐν δὲ τῷ πρώτῳ οὐ δείκνυται. ἀντικείμεναι δέ εἰσι προτάσεις κατὰ μὲν τὴν λέξιν τέτταρες· τὸ πᾶς τῷ οὐδενὶ καὶ τὸ παντὶ τῷ οὐ παντὶ καὶ τὸ τινὶ τῷ οὐδενὶ καὶ τὸ τινὶ τῷ οὐ τινί· κατὰ δὲ ἀλήθειαν τρεῖς, τὸ γὰρ τινὶ τῷ οὐ τινὶ κατὰ λέξιν ἀντίκειται μόνον. ἐν μὲν οὖν τῷ πρώτῳ σχήματι οὐκ ἔστιν ἐξ
60 ἀντικειμένων προτάσεων συλλογισμός· ἐν δὲ τῷ μέσῳ ἔσται καὶ ἐκ τῶν ἀντικειμένων καὶ ἐκ τῶν ἐναντίων· ἐν δὲ τῷ τρίτῳ καταφατικῶς μὲν οὐδέποτε ἔσται ἐξ ἀντικειμένων, ἀποφατικῶς δὲ ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων.

Τὸ δ' ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν ἐστὶν ὡς ἐν γένει λαβεῖν ἐν
65 τῷ μὴ ἀποδεικνύναι τὸ προκείμενον· τοῦτο δ' ἐπισυμβαίνει πολλαχῶς. τὸ δὲ μὴ παρὰ τοῦτο συμβαίνειν τὸ ψεῦδος γίνεσθαι λέγομεν ὅταν ἀναιρεθέντος τούτου μηδὲν ἧττον περαίνηται ὁ συλλογισμός· ὅπερ οὐκ ἔστιν ἐν τοῖς δεικτικοῖς, ἀλλ' ἐν τοῖς εἰς τὸ ἀδύνατον συλλογισμοῖς. πρὸς τὸ μὴ κατασυλλογίζεσθαι παρατηρητέον, ὅταν ἄνευ τῶν συμπε-
70 ρασμάτων ἐρωτᾷ τὸν λόγον, ὅπως μὴ δοθῇ δὶς ταὐτὸν ἐν ταῖς προτάσεσι. συμβαίνει δὲ καὶ κατὰ τὴν ὑπόληψιν γίνεσθαι τὴν ἀπάτην, οἷον εἰ ἐνδέχεται τὸ αὐτὸ πλείοσι πρώτως ὑπάρχειν, καὶ τὸ μὲν λεληθέναι τινὰ καὶ οἴεσθαι μηδενὶ ὑπάρχειν, τὸ δὲ εἰδέναι.

Ἐπαγωγὴ δέ ἐστι τὸ διὰ τοῦ ἑτέρου θάτερον ἄκρον τῷ μέσῳ συλλο-
75 γίσασθαι. παράδειγμα δέ ἐστιν, ὅταν τῷ μέσῳ τὸ ἄκρον ὑπάρχον δειχθῇ διὰ τοῦ ὁμοίου τῷ τρίτῳ· δεῖ δὲ καὶ τὸ μέσον τῷ τρίτῳ καὶ τὸ πρῶτον τῷ ὁμοίῳ γνωρίμῳ εἶναι ὑπάρχειν. ἀπαγωγὴ δέ ἐστιν, ὅταν τῷ μέσῳ τὸ πρῶτον δῆλον ᾖ ὑπάρχον, τῷ δὲ ἐσχάτῳ τὸ μέσον ἄδηλον μέν, ὁμοίως δὲ πιστὸν ἢ μᾶλλον τοῦ συμπεράσματος. ἔντασις δέ ἐστι
80 πρότασις προτάσει ἐναντία. εἰκὸς δὲ καὶ σημεῖον οὐ ταὐτόν ἐστιν, ἀλλὰ τὸ μὲν εἰκός ἐστι πρότασις ἔνδοξος, τὸ δὲ σημεῖον βούλεται εἶναι πρότασις ἀποδεικτικὴ ἢ ἀναγκαία ἢ ἔνδοξος. ἐνθύμημα δέ ἐστι

54–55 61 a 35–37 || 56–59 63 b 24–28 || 59–60 Anal. Prior. 15, 63 b 31–32 || 60–61 63 b 40–41 || 61–63 64 a 20–21; 22–23 || 64–65 64 b 28–30 || 66–68 Anal. Prior. 17, 65 a 38; 65 b 6–8; 9–10 || 69–70 66 a 25–27 || 71–73 66 b 18; 19–22 || 74 68 b 15–17 || 75–77 68 b 38–40 || 77–79 69 a 20–22 || 79–80 69 a 37 || 80–81 Anal. Prior. 27, 70 a 2–4 || 81–82 70 a 6–7 || 82–83 70 a 10–11

56 τὸ Arist.: τῶ **M** | πᾶς] παντὶ Arist. || 58 δὲ post ἀλήθειαν trsp. Arist. || 61–62 καταφατικὸς ... ἀποφατικὸς Arist. || 77 γνώριμον εἶναι ὑπάρχον Arist.

συλλογισμὸς ἀτελὴς ἐξ εἰκότων ἢ σημείων. τὸ δὲ φυσιογνωμονεῖν δυνατόν ἐστιν, εἴ τις δίδωσιν ἅμα μεταβάλλειν τὸ σῶμα καὶ τὴν ψυχὴν ὅσα φυσικά ἐστι παθήματα. 85

12

Ἀφορμαὶ τῶν περὶ τὰ γένη ἐπιχειρημάτων

Ἀξιολογώτατοι τῶν πρὸς τὸ γένος καὶ τὸ ἴδιον, περὶ ὧν πρῶτον ἐπισκεπτέον ἡμῖν, οὗτοι· εἰ μὴ ἐν τῇ αὐτῇ διαιρέσει τὸ γένος καὶ τὸ εἶδος τεθῇ, ἀλλὰ τὸ μὲν οὐσία, τὸ δὲ ποιόν, οἷον ἡ μὲν χιὼν καὶ ὁ κύκνος οὐσία, τὸ δὲ λευκὸν οὐκ οὐσία ἀλλὰ ποιόν, ὥστε οὐ γένος τὸ 5 *λευκὸν τῆς χιόνος οὐδὲ τοῦ κύκνου. εἰ δὲ μηδενὸς τῶν εἰδῶν ἐνδέχεται μετέχειν τὸ τεθὲν ἐν τῷ γένει – ἀδύνατον γὰρ τοῦ γένους μετέχειν μηδενὸς τῶν εἰδῶν μετέχον –, ἂν μή τι τῶν κατὰ τὴν πρώτην διαίρεσιν εἰδῶν ᾖ. σκοπεῖν δὲ καὶ εἴ τι ἄλλο γένος ἐστὶ τοῦ ἀποδοθέντος εἴδους, ὃ μήτε περιέχει τὸ ἀποδοθὲν γένος μήτε ὑπ' ἐκεῖνό ἐστιν·* 10 *οἷον εἴ τις τῆς δικαιοσύνης τὴν ἐπιστήμην θείη γένος· ἔστι γὰρ καὶ ἡ ἀρετὴ γένος, καὶ οὐδέτερον τῶν γενῶν τὸ λοιπὸν περιέχει, ὥστε οὐκ ἂν εἴη ἡ ἐπιστήμη γένος τῆς δικαιοσύνης. πάλιν εἰ τὴν διαφορὰν ὡς γένος ἀποδέδωκεν· οἷον εἰ τὸ ἀθάνατον θεοῦ γένος· διαφορὰ γάρ ἐστι ζῴου τὸ ἀθάνατον. καὶ εἰ τὴν διαφορὰν ὡς εἶδος εἰς τὸ γένος ἔθηκεν,* 15 *οἷον τὸ περιττὸν ὅπερ ἀριθμόν· διαφορὰ γὰρ ἀριθμοῦ τὸ περιττόν, οὐκ εἶδός ἐστι· πᾶν γὰρ τὸ μετέχον τοῦ γένους εἶδος ἢ ἄτομόν ἐστι. πάλιν εἰ τὸ γένος εἰς τὸ εἶδος ἔθηκεν ἢ τὴν διαφορὰν εἰς τὸ εἶδος. καὶ εἰ τὸ γένος ὡς διαφορὰν εἶπεν, οἷον τῆς κράσεως τὴν μίξιν. καὶ εἰ τὸ κατὰ μεταφορὰν λεγόμενον ὡς γένος ἀποδέδωκεν, οἷον τὴν σωφροσύνην συμφωνίαν.* 20 *σκοπεῖν δὲ καὶ εἰ τὸ μὲν γένος ἐναντίον τινί, τὸ δὲ εἶδος μηδενί· εἰ γὰρ τὸ γένος ἐναντίον τινί, καὶ τὸ εἶδός ἐστι. πάλιν ἐπὶ τῶν πτώσεων καὶ τῶν συστοίχων, εἰ ὁμοίως ἀκολουθοῦσι καὶ ἀναιροῦντι καὶ κατασκευάζοντι· ἅμα γὰρ ἑνὶ καὶ πᾶσιν ὑπάρχει ἢ οὐχ*

83-85 70 b 7–9

12 M 176^r–177^r (**E** 281^r–283^r **e**^{1} 124^v–126^r **a**^{1} 187^v–189^r **m**^{5} 439^r–440^v) || **2-3** cf. Arist. Top. Δ 1, 120 b 12–13 || **3-6** 120 b 36–39 || **6-9** 121 a 27–30 || **9-13** Top. Δ 2, 121 b 24–28 || **13-15** 122 b 12–13 || **15-17** 122 b 18–21 || **18** 122 b 25; 37 || **19** cf. 123 a 1; 4 || **19-21** Top. Δ 3, 123 a 33–34 || **21-22** 123 b 30–32 || **22-27** 124 a 10–14

12 **13** *εἰ* Arist.: *εἰς* **M** || **15** *εἰ* Arist.: *εἰς* **M** || **17** *εἶδος*^{2}] *ἢ εἶδος* Arist.

25 *ὑπάρχει· οἷον εἰ ἡ δικαιοσύνη ἐπιστήμη τις, καὶ τὸ δικαίως ἐπιστημόνως καὶ ὁ δίκαιος ἐπιστήμων· ἐὰν δὲ τούτων τι μὴ ᾖ, οὐδὲ τῶν λοιπῶν οὐδέν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν γενέσεων καὶ φθορῶν· οἷον εἰ τὸ οἰκοδομεῖν ἐνεργεῖν, καὶ τὸ ᾠκοδομηκέναι ἐνηργηκέναι· καὶ εἰ τὸ μανθάνειν ἀναμιμνήσκεσθαι, καὶ τὸ μεμαθηκέναι ἀναμεμνῆσθαι·*
30 *καὶ εἰ τὸ διαλύεσθαι φθείρεσθαι, καὶ τὸ διαλελύσθαι ἐφθάρθαι καὶ ἡ διάλυσις φθορά τις. καὶ ἐπὶ τῶν γεννητικῶν δὲ καὶ φθαρτικῶν ὡσαύτως, καὶ ἐπὶ τῶν δυνάμεων καὶ χρήσεων· εἰ γὰρ τὸ φθαρτικὸν διαλυτικόν, καὶ τὸ φθείρεσθαι διαλύεσθαι· καὶ εἰ τὸ γεννητικὸν ποιητικόν, καὶ τὸ γίνεσθαι ποιεῖσθαι καὶ ἡ γένεσις ποίησις. ὁρᾶν δὲ καὶ εἰ*
35 *τοῦ ἀντικειμένου τὸ ἀντικείμενον γένος, οἷον εἰ τοῦ διπλασίου τὸ πολλαπλάσιον καὶ τοῦ ἡμίσεως τὸ πολλοστημόριον· δεῖ γὰρ τὸ ἀντικείμενον τοῦ ἀντικειμένου γένους εἶναι. εἰ οὖν τις θείη τὴν ἐπιστήμην ὅπερ αἴσθησιν, δεήσει καὶ τὸ ἐπιστητὸν ὅπερ αἰσθητὸν εἶναι· οὐκ ἔστι δέ, οὐ γὰρ πᾶν τὸ ἐπιστητὸν αἰσθητόν, καὶ γὰρ τῶν νοητῶν ἔνια*
40 *ἐπιστητά· ὥστε οὐ γένος τὸ αἰσθητὸν τοῦ ἐπιστητοῦ· εἰ δὲ τοῦτο, οὐδὲ ἡ αἴσθησις τῆς ἐπιστήμης. πάλιν εἰ τὴν ἕξιν εἰς τὴν ἐνέργειαν ἔθηκεν ἢ τὴν ἐνέργειαν εἰς τὴν ἕξιν, οἷον τὴν αἴσθησιν κίνησιν διὰ σώματος· ἡ μὲν γὰρ αἴσθησις ἕξις, ἡ δὲ κίνησις ἐνέργεια. διαμαρτάνουσι δὲ καὶ οἱ τὴν ἕξιν εἰς τὴν ἀκολουθοῦσαν δύναμιν τάττοντες,*
45 *οἷον τὴν πραότητα ἐγκράτειαν ὀργῆς καὶ τὴν ἀνδρείαν καὶ τὴν δικαιοσύνην φόβων καὶ κερδῶν ἐγκράτειαν. ἀνδρεῖος μὲν γὰρ καὶ πρᾶος ὁ ἀπαθὴς λέγεται, ἐγκρατὴς δὲ ὁ πάσχων καὶ μὴ ἀγόμενος. πάλιν εἰ κατά τι τὸ εἶδος τοῦ εἰρημένου γένους μετέχει· οὐ δοκεῖ γὰρ κατά τι μετέχεσθαι τὸ γένος, ἀλλὰ διόλου. οὐ γάρ ἐστιν ὁ ἄνθρωπος κατά τι*
50 *ζῷον οὐδὲ ἡ γραμματικὴ κατά τι ἐπιστήμη. σκοπεῖν οὖν εἰ ἐπί τινων κατά τι μετέχεται τὸ γένος, οἷον εἰ τὸ ζῷον ὅπερ αἰσθητὸν ἢ ὁρατὸν εἴρηται· κατά τι γὰρ αἰσθητὸν ἢ ὁρατὸν τὸ ζῷον· κατὰ τὸ σῶμα γὰρ καὶ αἰσθητὸν καὶ ὁρατόν, κατὰ δὲ τὴν ψυχὴν οὔ, ὥστε οὐκ ἂν εἴη γένη τὸ ὁρατὸν καὶ τὸ αἰσθητὸν τοῦ ζῴου. λανθάνουσι δὲ ἐνίοτε καὶ*
55 *τὸ ὅλον εἰς τὸ μέρος τιθέντες, οἷον τὸ ζῷον σῶμα ἔμψυχον· οὐδαμῶς δὲ τὸ μέρος τοῦ ὅλου κατηγορεῖται, ὥστ' οὐκ ἂν εἴη τὸ σῶμα γένος τοῦ ζῴου, ἐπειδὴ μέρος ἐστίν. ἐνίοτε δὲ διαμαρτάνουσι καὶ τὸ πάθος εἰς γένος τὸ πεπονθὸς τιθέντες, οἷον ὅσοι τὴν ἀθανασίαν ζωὴν ἀΐδιόν*

27–34 124 a 20–26; 28–30 || **34–41** 125 a 25–32 || **41–43** Top. Δ 5, 125 b 15–17 || **43–47** 125 b 20–24 || **47–54** 126 a 17–25 || **54–57** 126 a 26–29 || **54–67** 126 b 34–127 a 6

28 *καὶ*[1] non habet Arist. || **40** *τοῦτο*] *τοῦτο μὴ* Arist. || **49** *ἀλλὰ διόλου* non praebet Arist.

φασιν εἶναι· πάθος γὰρ τῆς ζωῆς ἢ σύμπτωμα ἡ ἀθανασία ἔοικεν εἶναι. ὅτι δὲ ἀληθὲς τὸ λεγόμενον, δῆλον ἂν γένοιτο, εἴ τις 60 συγχωρήσειεν ἐκ θνητοῦ τινὰ ἀθάνατον γενέσθαι· οὐδεὶς γὰρ φήσει ἑτέραν αὐτὸν ζωὴν λαμβάνειν, ἀλλὰ σύμπτωμά τι ἢ πάθος αὐτῇ ταύτῃ παραγεγενῆσθαι· ὥστε οὐ γένος ἡ ζωὴ τῆς ἀθανασίας. πάλιν εἰ τὸ πάθος οὗ ἐστι πάθος ἐκείνου γένος φασὶν εἶναι, οἷον τὸ πνεῦμα ἀέρα κινούμενον· μᾶλλον γὰρ κίνησις ἀέρος τὸ πνεῦμα, ὁ γὰρ αὐτὸς ἀὴρ 65 διαμένει, ὅταν τε κινῆται καὶ ὅταν μένῃ· ὥστε οὐκ ἔστιν ὅλος ἀὴρ τὸ πνεῦμα. πάλιν εἰ τὸ πᾶσιν ἀκολουθοῦν γένος ἢ διαφορὰν εἶπε· πλείω γὰρ τὰ πᾶσιν ἑπόμενα. οἷον τὸ ὂν καὶ τὸ ἓν τῶν πᾶσιν ἑπομένων ἐστίν. εἰ οὖν τὸ ὂν γένος ἀποδέδωκε, δηλονότι πάντων ἂν εἴη γένος, ἐπειδὴ κατηγορεῖται αὐτῶν· κατ' οὐδενὸς γὰρ τὸ γένος ἀλλ' ἢ κατὰ 70 τῶν εἰδῶν κατηγορεῖται, ὥστε καὶ τὸ ἓν εἶδος ἂν εἴη τοῦ ὄντος. συμβαίνει οὖν κατὰ πάντων ὧν τὸ γένος κατηγορεῖται καὶ τὸ εἶδος κατηγορεῖσθαι, ἐπειδὴ τὸ ὂν καὶ τὸ ἓν κατὰ πάντων ἁπλῶς κατηγορεῖται, δέον δὲ ἐπ' ἔλαττον τὸ εἶδος κατηγορεῖσθαι. ἐπεὶ δὲ δοκεῖ τισι καὶ ἡ διαφορὰ ἐν τῷ τί ἐστι τῶν εἰδῶν κατηγορεῖσθαι, χωριστέον τὸ γένος 75 ἀπὸ τῆς διαφορᾶς χρώμενον τοῖς εἰρημένοις στοιχείοις· πρῶτον μὲν ὅτι τὸ γένος ἐπὶ πλέον λέγεται τῆς διαφορᾶς· εἶθ' ὅτι κατὰ τὴν τοῦ τί ἐστιν ἀπόδοσιν μᾶλλον ἁρμόττει τὸ γένος ἢ τὴν διαφορὰν εἰπεῖν, ὁ γὰρ ζῷον εἰπὼν τὸν ἄνθρωπον μᾶλλον δηλοῖ τί ἐστιν ὁ ἄνθρωπος ἢ ὁ πεζόν· καὶ ὅτι ἡ μὲν διαφορὰ ποιότητα τοῦ γένους ἀεὶ σημαίνει, τὸ 80 δὲ γένος τῆς διαφορᾶς οὔ· ὁ μὲν γὰρ εἰπὼν πεζὸν ποιόν τι ζῷον λέγει, ὁ δὲ ζῷον εἰπὼν ποιόν τι οὐ λέγει πεζόν.

Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα συνηριθμήμεθα ἐπιτετμημένως εἰς μέτρον ἐπιστολῆς, ἵν' ἔχοις ἐντεῦθεν καὶ περὶ τῶν λοιπῶν ἐφοδεύειν καὶ εἰδέναι τίνα μὲν κυρίως γένη, τίνα δὲ δοκοῦντα μέν, οὐκ ὄντα δέ. 85

13

Περὶ ἐρωτήματος διαλεκτικοῦ καὶ περὶ διαλεκτικῆς

Οὐχ ἁπλοῦν τι πρᾶγμα ἐρώτημα διαλεκτικόν. δεῖ γὰρ πρῶτον, φησὶν ὁ φιλόσοφος, ἐρωτᾶν μέλλοντα τὸν τόπον εὑρεῖν ὅθεν ἐπιχειρητέον,

67-74 Top. Δ 6, 127 a 26–34 ‖ 74-82 128 a 20–29

13 M 177r–178r (**E** 283r–285v **e**[1] 126r–127v **a**[1] 189r–190v **m**[5] 440v–442v) ‖ 2-5 Arist. Top. Θ 1, 155 b 4–7

59 *ἡ* Arist.: *ἢ* **M** et cod. Arist. u ‖ 63-64 *τὸ πάθος*] *τοῦ πάθους* Arist. ‖ 66 *ὅλως* Arist. ‖ 72 *γένος* Arist.: *εἶδος* **M**

δεύτερον δὲ ἐρωτηματίσαι καὶ τάξαι καθ' ἕκαστα πρὸς ἑαυτόν, τὸ δὲ
5 *λοιπὸν καὶ τρίτον εἰπεῖν ἤδη ταῦτα πρὸς ἕτερον, διελόμενον τὰς προ-*
τάσεις ὅσαι ληπτέαι παρὰ τὰς ἀναγκαίας. ἀναγκαῖαι δὲ λέγονται δι'
ὧν ὁ συλλογισμὸς γίνεται· αἱ δὲ παρὰ ταύτας λαμβανόμεναι τέτταρές
εἰσιν· ἢ γὰρ ἐπαγωγῆς χάριν τοῦ δοθῆναι τὸ καθόλου, ἢ εἰς ὄγκον
τοῦ λόγου, ἢ πρὸς κρύψιν τοῦ συμπεράσματος, ἢ πρὸς τὸ σαφέστερον
10 *εἶναι τὸν λόγον. τὰς μὲν οὖν ἀναγκαίας, δι' ὧν ὁ συλλογισμός, οὐκ*
εὐθὺς προτατέον, ἀλλ' ἀποστατέον ὅτι ἀνωτάτω, οἷον μὴ τῶν ἐναντίων
ἀξιοῦντα τὴν αὐτὴν ἐπιστήμην, ἂν τοῦτο βούληται λαβεῖν, ἀλλὰ τῶν
ἀντικειμένων. τεθέντος γὰρ τούτου καὶ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ συλ-
λογιεῖται· ἐὰν δὲ μὴ τιθῇ, δι' ἐπαγωγῆς ληπτέον τὰς ἀναγκαίας, προ-
15 *τείνοντα ἐπὶ τῶν κατὰ μέρος ἐναντίων· ἢ γὰρ διὰ συλλογισμοῦ ἢ δι'*
ἐπαγωγῆς ταύτας ληπτέον· ὅσαι δὲ λίαν προφανεῖς εἰσι, καὶ αὐτὰς
προτείνοντα· ἀδηλότερόν τε γὰρ ἀεὶ ἐν τῇ ἀποστάσει καὶ τῇ ἐπαγωγῇ
τὸ συμβησόμενον. κρύπτοντα δὲ προσυλλογίζεσθαι· εἴη δ' ἂν τοῦτο, εἴ
τις μὴ μόνον τὰς ἀναγκαίας, ἀλλὰ καὶ τῶν πρὸς ταῦτα χρησίμων τινὰ
20 *συλλογίζοιτο. ἔτι τὰ συμπεράσματα μὴ λέγειν, ἀλλ' ὕστερον ἀθρόα*
συλλογίζεσθαι. χρήσιμον δὲ καὶ τὸ μὴ συνεχῆ τὰ ἀξιώματα λαμβάνειν
ἐξ ὧν οἱ συλλογισμοί, ἀλλ' ἐναλλάξ. ἔτι τὸ προτείνειν οὐ δι' αὐτὸ ἀλλ'
ἄλλου χάριν προτείνοντα. χρήσιμον δὲ καὶ τὸ ἐπιλέγειν ὅτι σύνηθες
καὶ λεγόμενον τὸ τοιοῦτον καὶ τὸ μὴ σπουδάζειν, κἂν ὅλως χρήσιμον
25 *ᾖ· καὶ τὸ μηκύνειν καὶ παρεμβάλλειν τὰ μηθὲν χρήσιμα πρὸς τὸν λό-*
γον. χρηστέον δὲ ἐν τῷ διαλέγεσθαι τῷ μὲν συλλογισμῷ πρὸς τοὺς
διαλεκτικοὺς μᾶλλον ἢ πρὸς τοὺς πολλούς, τῇ δὲ ἐπαγωγῇ ἐναντίον
πρὸς τοὺς πολλούς.

Ἐπεὶ δὲ ὅλως περὶ διαλεκτικοῦ ἐπεβαλόμην σοι λέγειν προβλήμα-
30 *τος, δεῖν ᾠήθην καὶ περὶ διαλεκτικῆς ὅλως διδάξαι σε. τὸ γοῦν ὄνομα*
τοῦτο οἱ μὲν ἀπὸ τῆς Στοᾶς ἐπιστήμην τοῦ ἀληθῶς λέγειν τίθενται
καὶ φέρουσι τοὔνομα κατὰ τῆς τελεωτάτης φιλοσοφίας. καὶ Πλάτων δὲ
τὴν διαιρετικὴν μέθοδον ἐξυμνῶν καὶ ταύτης θέμενος ἔργον εἶναι τὸ
δύνασθαι τό τε ἓν πολλὰ ποιεῖν καὶ τὰ πολλὰ εἰς ἓν ἀνάγειν τὴν
35 *αὐτὴν ταύτην διαλεκτικὴν καλεῖ. ὁ δέ γε Ἀριστοτέλης τὸ μὲν ἐξ ἀλη-*

5-10 155 b 18–24 || **10-18** cf. 155 b 29–156 a 1 || **18-21** cf. 156 a 7–12 || **21-22** 156 a 23–24 || **22-23** 156 b 4–5 || **23-24** 156 b 20–21 || **24-25** 156 b 23–24 || **25-26** 157 a 1–2 || **26-28** 157 a 18–20 || **30-35** cf. Al. in Top. 1,9–19 || **35-40** cf. 2,20–25

11 *προτατέον* Arist.: *προταττέον* **M** || **22** *οὐ*] *μὴ ὡς* aut *ὡς οὐ* codd. Arist. || **27** *τοὐναντίον* Arist. || **29** *σοι λέγειν* Wk.: *συλλέγειν* **M** || **30** *διαλεκτικοῦ* **M**: corr. Wk.

θῶν καὶ οἰκείων τῷ προκειμένῳ καὶ πρώτων καὶ γονιμωτέρων δεικνύναι καὶ συνάγειν τὸ προκείμενον συλλογισμοῦ ἀποδεικτικοῦ τίθεται· τὸ δὲ δι' ἐνδόξων συλλογίζεσθαι διαλεκτικόν, φησί, καὶ διαλεκτικὴν ἀκολούθως τὴν διὰ τῶν τοιούτων συλλογιστικήν· τὴν δὲ ἐκ φαινομένων ἐνδόξων συλλογιζομένην σοφιστικήν. ἥγηται γὰρ ὁ φιλόσοφος τὸν συλλογισμὸν καθὸ συλλογισμός ἐστι μηδὲν ἄλλο ἄλλου διαφέρειν, εἶναι δὲ αὐτῶν τὴν διαφορὰν τὴν μὲν κατὰ τὰ εἴδη τῶν προτάσεων, τὴν δὲ κατὰ τοὺς τρόπους καὶ τὰ σχήματα, τὴν δὲ κατὰ τὴν ὕλην περὶ ἥν εἰσιν. ὧν ἡ μὲν πρώτη διαφορὰ ποιεῖ τῶν συλλογισμῶν τοὺς μὲν κατηγορικούς, τοὺς δὲ ὑποθετικούς, ἡ δὲ δευτέρα τοὺς μὲν τελείους, τοὺς δὲ ἀτελεῖς, ἡ δὲ τρίτη ἡ κατὰ τὴν ὕλην τοὺς μὲν ποιεῖ ἀποδεικτικούς, τοὺς δὲ διαλεκτικούς, τοὺς δὲ ἐριστικούς. οἱ γὰρ δὴ συλλογισμοὶ ὅ τε λέγων 'πᾶς ἄνθρωπος γελαστικόν· οὐδὲν γελαστικὸν ἵππος' καὶ ὁ λέγων 'πᾶς ἄνθρωπος γελαστικόν· οὐδεὶς ἵππος γελαστικόν' ἔτι τε ὁ λέγων 'πᾶν γελαστικὸν ἄνθρωπος· οὐδὲν γελαστικὸν ἵππος' τὴν αὐτὴν ὕλην ἔχοντες οὐκ εἰσιν ἀλλήλοις οἱ αὐτοὶ παρὰ τὴν διάφορον τῶν προτάσεων λῆψίν τε καὶ θέσιν. ἔστι γὰρ αὐτῶν ὁ μὲν ἐν τῷ πρώτῳ, ὁ δὲ ἐν τῷ δευτέρῳ, ὁ δὲ ἐν τῷ τρίτῳ σχήματι.

Περὶ δὲ τῆς οὕτω διαλεκτικῆς λεγομένης Ἀριστοτέλης μὲν καὶ ἐν ἄλλοις βιβλίοις πεπραγμάτευται, μάλιστα δὲ ἐν τούτοις ἃ ἐπιγράφεται Τοπικὰ ἀπὸ τοῦ τόπους τινὰς ἐν αὐτοῖς παραδίδοσθαι, ἀφ' ὧν ὁρμώμενοι δυνησόμεθα περὶ παντὸς ⟨τοῦ⟩ προτεθέντος δι' ἐνδόξων συλλογίζεσθαι. οὐ γὰρ οἷόν τε περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἀληθῶν συλλογίσασθαι. τὸ γὰρ ὅτι ἡ ἡδονὴ ἀγαθὸν τέλος δι' ἀληθῶν μὲν οὐχ οἷόν τε δεῖξαι, ὅτι μηδὲ ἀληθὲς τὸ δεικνύμενον, δι' ἐνδόξων μέντοι οἷόν τε. ὁ γὰρ τόπος ἀρχή τίς ἐστιν ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχὰς ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένος, τοῖς δὲ καθ' ἕκαστα ἀόριστος.

Κοινὸν δὲ διαλεκτικῇ καὶ ῥητορικῇ τὸ μὴ περὶ ἕν τι γένος ἀφωρισμένον πραγματεύεσθαι, καὶ τὸ δι' ἐνδόξων καὶ πιθανῶν καὶ μὴ δι' οἰκείων ἀρχῶν τῷ προκειμένῳ, καὶ τὸ ὁμοίως περὶ τὰ ἀντικείμενα ἀλλήλοις εἶναι· διαφέρουσι δὲ ἀλλήλων τῷ τὴν μὲν διαλεκτικὴν περὶ πᾶσαν ὕλην τῇ δυνάμει κεχρῆσθαι καὶ ἐν ἐρωτήσει ποιεῖσθαι τοὺς λόγους,

40-46 cf. 2,2-8 || **46-47** 2,15-16 || **47-53** 2,9-15 || **54-58** 5,17-21 || **58-61** 5,29-6, 3 || **61-63** 5, 21-23; 25-26 || **64-70** cf. 5,4-13

36 *γνωριμωτέρων* Al. || **38** *φησί* Wk.: *φασι* **M** || **49** *οὐδεὶς* Wk.: *οὐδὲν* **M** || **57** *τοῦ* add. **E** || **68** *χρῆσθαι* Al.

τὴν δὲ ῥητορικὴν περὶ τὴν πολιτικὴν μᾶλλον καὶ διεξοδικῶς ὡς ἐπὶ τὸ
70 *πλεῖστον καὶ περὶ τῶν καθ' ἕκαστα μᾶλλον λέγειν.*

Χρήσιμος δὲ ἡ διαλεκτικὴ πραγματεία πρὸς τρία ταῦτα· πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας.

Ἔστι δὲ ἀριθμῷ ἴσα καὶ τὰ αὐτὰ ἐξ ὧν τε οἱ λόγοι καὶ περὶ ὧν οἱ συλλογισμοί. γίνονται γὰρ οἱ λόγοι ἐκ τῶν προτάσεων· περὶ ὧν δὲ οἱ
75 *συλλογισμοὶ τὰ προβλήματά ἐστι. πᾶσα δὲ πρότασις καὶ πᾶν πρόβλημα ἢ γένος ἢ ἴδιον ἢ συμβεβηκὸς δηλοῖ· καὶ γὰρ τὴν διαφορὰν ὡς οὖσαν γενικὴν ὁμοῦ τῷ γένει τακτέον. ἐπεὶ δὲ τοῦ ἰδίου τὸ μὲν τί ἦν εἶναι σημαίνει, τὸ δ' οὐ σημαίνει, τὸ μὲν τί ἦν εἶναι σημαῖνον ὅρος, τὸ δὲ λοιπὸν προσαγορευέσθω ἴδιον. τὸ δὲ ταὐτόν, ὡς τύπῳ διαλαβεῖν,*
80 *τριχῇ διαιρεῖται· ἢ γὰρ ἀριθμῷ ἢ εἴδει ἢ γένει τὸ ταὐτὸν εἰώθαμεν προσαγορεύειν. ὑπάρχουσι δ' αἱ ῥηθεῖσαι τέτταρες διαφοραὶ περὶ τὰ δέκα γένη τῶν κατηγοριῶν. ἔστι δὲ πρότασις διαλεκτικὴ ἐρώτησις ἔνδοξος ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς, καὶ τούτοις ἢ πᾶσιν ἢ πλείστοις ἢ τοῖς μάλιστα γνωρίμοις, μὴ παράδοξος.*

14

Σύντομος παράδοσις τῶν δεκατριῶν παραλογισμῶν

Συστεῖλαί σοι εἰς μέτρον ἐπιστολῆς τοὺς σοφιστικοὺς ἐδεήθης ἐλέγχους· αὐτὸ γοῦν τοῦτο ποιεῖν ἐπιβέβλημαι. εἰσὶ δὲ τρόποι τοῦ ἐλέγχειν δύο· οἱ μὲν γάρ εἰσι παρὰ τὴν λέξιν, οἱ δ' ἔξω τῆς λέξεως.

5 *Ἔστι δὲ τὰ παρὰ τὴν λέξιν ἐμποιοῦντα τὴν φαντασίαν ἓξ τὸν ἀριθμόν· ταῦτα δ' ἔστιν·*

Ὁμωνυμία, οἷον 'μανθάνουσιν οἱ ἐπιστάμενοι· τὰ γὰρ ἀποστοματιζόμενα μανθάνουσιν οἱ γραμματικοί'. τὸ γὰρ μανθάνειν ὁμώνυμον, τό τε ξυνιέναι χρώμενον τῇ ἐπιστήμῃ καὶ τὸ λαμβάνειν ἐπιστήμην.

10 *Ἀμφιβολία, οἷον 'ὅ τις ὁρᾷ, τοῦτο πάντως ὁρᾷ· τὸν κίονα ὁ δεῖνα ὁρᾷ· ὁ κίων ἄρα ὁρᾷ'. ἀμφιβάλλεται γὰρ ἐν τῷ 'τοῦτο πάντως ὁρᾷ' πότερον αὐτὸς ὁρᾷ ὁ ὁρῶν ἢ τὸ ὁρώμενον.*

Σύνθεσις, οἷον 'δυνατὸν τὸν καθήμενον βαδίζειν· ὁ δεῖνα κάθηται·

71–72 cf. Arist. Top. *A* 2,101 a 26–28 || 73–79 cf. 101 b 13–23 || 79–81 103 a 7–9 || 81–82 cf. 103 b 20–22 || 82–84 104 a 8–11

14 M 172r–174r (**E** 272v–275v **e**[1] 120r–122r **a**[1] 182r–184r **m**[5] 433v–435v) || 3–6 Arist. Soph. El. 165 b 23–26 || 7–9 165 b 30–34 || 10–12 Anon. Heib. 40,7–10 || 13–15 40,12–15

74 *γὰρ*] *μὲν γὰρ* Arist.

14 11 *ὁρᾷ*[3] Anon. Heib. (40,9): *ὁρᾶν* **M**

βαδίζει ἄρα'. ἐν ταύτῃ γὰρ ἔχει τὸν παραλογισμὸν ὁ ἔλεγχος ὡς δυναμένης τῆς ἐννοίας καὶ συνθέτως νοεῖσθαι. 15

Διαίρεσις, οἷον 'τὰ πέντε δύο καὶ τρία· τὰ δύο καὶ τρία εἰς ἀριθμοὺς διαιρεῖσθαι οὐ δύνανται· τὰ πέντε ἄρα εἰς ἀριθμοὺς διαιρεῖσθαι οὐ δύνανται'. ψεῦδος τοῦτο· συνέβη δὲ τὸ ψεῦδος ἀπὸ τοῦ διαιρεῖσθαι τὰ πέντε ἐν τῇ πρώτῃ προτάσει εἰς δύο καὶ τρία καὶ ἰδίᾳ περὶ ἑκάστου τὴν δευτέραν πρότασιν ἀποφαίνεσθαι. 20

Προσῳδία, οἷον 'κῆρ σημαίνει τὴν ψυχήν· Ἀγαμέμνονι δὲ τὸ πολεμεῖν κὴρ εἴδετο εἶναι· Ἀγαμέμνονι ἄρα τὸ πολεμεῖν ψυχὴ εἴδετο εἶναι'.

Σχῆμα λέξεως, οἷον 'τὸ μανθάνειν ἐνεργητικόν ἐστι· τὸ δὲ ἐνεργεῖν περὶ τὴν μάθησιν διδάσκειν ἐστί· τὸ μανθάνειν ἄρα διδάσκειν ἐστίν'.

Οἱ μὲν οὖν παρὰ τὴν λέξιν παραλογισμοὶ οὗτοι· τῶν δ' ἔξω τῆς λέξεως παραλογισμῶν εἴδη ἐστὶν ἑπτά. ἓν μὲν παρὰ τὸ συμβεβηκός· δεύτερον δὲ τὸ ἁπλῶς ἢ μὴ ἁπλῶς ἀλλὰ πῇ ἢ ποῦ ἢ ποτὲ ἢ πρός τι λέγεσθαι· τρίτον τὸ παρὰ τὴν ⟨τοῦ⟩ ἐλέγχου ἄγνοιαν· τέταρτον τὸ παρὰ τὸ ἑπόμενον· πέμπτον τὸ παρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν· ἕκτον τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέναι· ἕβδομον τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν. 25 30

Οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς παραλογισμοί εἰσιν, ὅταν ὁμοίως ὁτιοῦν ἀξιωθῇ τῷ πράγματι καὶ τῷ συμβεβηκότι ὑπάρχειν. ἐπεὶ γὰρ τῷ αὐτῷ πολλὰ συμβέβηκεν, οὐκ ἀνάγκη πᾶσι τοῖς κατηγορουμένοις καὶ καθ' οὗ κατηγορεῖται ταῦτα πάντα ὑπάρχειν· πάντα γὰρ οὕτως ἔσται τὰ αὐτά· οἷόν φασιν οἱ σοφισταί 'ὁ Σωκράτης ἕτερον Κορίσκου· ὁ Κόρισκος ἄνθρωπος· ὁ Σωκράτης ἄρα ἕτερον ἀνθρώπου', ὅπερ ἐστὶ ψεῦδος. λέγεται δὲ παρὰ τὸ συμβεβηκὸς διὰ τὸ συμβεβηκέναι οὗ ἔφησεν ἕτερον εἶναι τοῦτον εἶναι ἄνθρωπον. παρὰ τὸ συμβεβηκὸς δὲ κἀκεῖνα ὅσα μὴ οὐσιωδῶς κατηγορεῖται τοῦ ὑποκειμένου, οἷον τὸ γένος, τὸ εἶδος, τὸ δισύλλαβον, τὸ τρισύλλαβον, τὸ οὐδέτερον. παρὰ τὸ συμβεβηκὸς δὲ λέγονται, διότι τοῦ ζῴου οὐ κατ' οὐσίαν κατηγοροῦνται τὰ εἰρημένα, ἀλλὰ τὸ αἰσθητικὸν καὶ τὸ ἔμψυχον καὶ τὸ σῶμα. 35 40

Οἱ δὲ παρὰ τὸ πῇ ἢ ἁπλῶς παραλογισμοί εἰσιν ἢ ὅταν τὰ πῇ, ὅ ἐστιν ἅμα, κατηγορούμενα ἁπλῶς, τουτέστιν ἰδίᾳ, κατηγορήσωμεν· οἷον 'ὁ πατὴρ μείζων τοῦ υἱοῦ τῷ αἰτίῳ· τὸ αἴτιον φύσει· ὁ πατὴρ 45

16–20 40,18–23 ‖ 21–22 41,4–6 ‖ 22 *κὴρ εἴδετο εἶναι*] Hom. Il. 1, 228 ‖ 23–24 Anon. Heib. 41,7–9 ‖ 25–34 Arist. Soph. El. 166 b 20–32 ‖ 35–36 Anon. Heib. 41,10–11 ‖ 37–38 Arist. Soph. El. 166 b 35–36 ‖ 38–42 cf. Anon. Heib. 41,17–27 ‖ 43–51 42,17–18 ‖ 45–46 Greg. Naz. Or. 29; Psell. Theol. I 3

22 *κῆρ* **M** ‖ 28 *τοῦ* Arist. 166 b 24 (cf. 103) | *παρὰ*[2] Arist.: *περὶ* ut vid. (comp.) **M** ‖ 37 *παρὰ* Arist.: *περὶ* ut vid. **M**

ἄρα μείζων τοῦ υἱοῦ φύσει'. ἔψευσται, διότι τὸ αἴτιον συναπτῶς ὀφεί-λει τῷ φύσει λέγεσθαι, οἷον 'ὁ πατὴρ μείζων τοῦ υἱοῦ τῷ τῇ φύσει αἰ-τίῳ', διαιρεθὲν δὲ τὸν παραλογισμὸν ἐποίησεν. ἢ ὅταν τὰ ἁπλῶς ἤγουν ἰδίᾳ κατηγορούμενα πῇ, ὅ ἐστιν ἅμα, κατηγορήσωμεν· οἷον 'Σίμων
50 *σκυτεὺς ἀγαθός· ὁ ἀγαθὸς σκυτεὺς ἀγαθῶν πεδίλων δημιουργός· ὁ Σίμων ἄρα ἀγαθῶν πεδίλων δημιουργός'. ἔψευσται, ὅτι ὁ Σίμων σκυ-τεὺς μὲν τὴν τέχνην, ἀγαθὸς δὲ τοὺς τρόπους· καὶ κατηγορεῖται αὐτοῦ τὸ μὲν σκυτεὺς κατὰ τὴν τέχνην, τὸ δὲ ἀγαθὸς κατὰ τὸ εἶδος τῆς ζωῆς. τοιοῦτος γὰρ ἦν ὁ σκυτεὺς ἐκεῖνος ὁ τῷ Σωκράτει συγγεγονώς,*
55 *τὴν μὲν σκυτικὴν οὐ πάνυ τι διακριβωσάμενος, τὴν δὲ ἕξιν τῆς ψυχῆς ἀγαθός. τὰ γοῦν ἁπλῶς κατηγορούμενα τοῦ σκυτέως ἅμα κατηγορη-θέντα τὴν ἀπάτην ἐποίει. οὔτε γὰρ πάντα τὰ ἅμα κατηγορούμενα καὶ ἰδίᾳ κατηγορεῖται οὔτε τὰ ἰδίᾳ καὶ ἅμα, ἀλλ' ἐκεῖνα καὶ ἰδίᾳ καὶ ἅμα κατηγορεῖσθαι δύναται, ὅσα οὐσιωδῶς κατηγορεῖταί τινος· καὶ εἴ τις*
60 *ἁπλῶς φήσει τὰς συμπλοκὰς γίνεσθαι, πολλὰ συμβαίνει λέγειν ἄτοπα. τῶν δὴ κατηγορουμένων καὶ ἐφ' οἷς κατηγορεῖσθαι συμβαίνει, ὅσα μὲν λέγεται κατὰ συμβεβηκὸς ἢ κατὰ τοῦ αὐτοῦ ἢ θάτερον κατὰ θατέρου, ταῦτα οὐκ ἔστιν ἕν. ἀληθὲς δέ ἐστιν εἰπεῖν κατὰ τοῦ τινὸς ἤτοι ἅμα καὶ ἁπλῶς ἤτοι χωρίς, οἷον τὸν τινὰ ἄνθρωπον ἄνθρωπον ἢ τὸν τινὰ*
65 *λευκὸν ἄνθρωπον λευκόν. οὐκ ἀεὶ δέ, ἀλλ' ἐν ὅσαις κατηγορίαις μήτε ἐναντιότης ἔνεστι καὶ ἐὰν λόγοι ἀντὶ ὀνομάτων λέγωνται καὶ καθ' ἑαυτὰ κατηγορῆται καὶ μὴ κατὰ συμβεβηκός, οἷον ὅταν ἐν τῷ προκει-μένῳ μὴ ἐνυπάρχῃ τι τῶν ἀντικειμένων, οἷον ἐν τῷ τεθνεῶτι· λέγεται γὰρ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος· καὶ ὅταν μὴ τὸ μὲν τῶν λεγομένων*
70 *ὁμοῦ καθ' αὑτὸ λέγηται, ὡς "Ὅμηρος ποιητής', τὸ δὲ κατὰ συμ-βεβηκός, ἤγουν τὸ 'ἔστι'· καὶ ὅταν οἱ περὶ τὰ κατηγορούμενα λόγοι ἤγουν ὁρισμοί εἰσιν ἐναντίοι, οἷον 'κίβδηλος χρυσός ἐστιν'. ὥστε ἐν οἷς τῶν ἅμα λεγομένων τι τῶν τριῶν τούτων θεωρεῖται, χωρὶς αὐτὰ οὐ δύ-ναται λέγεσθαι· ἐν οἷς δὲ μὴ θεωρῆται, ἐπὶ τούτων τὸ τί καὶ ἁπλῶς*
75 *ἀληθὲς ἔσται εἰπεῖν.*

Παρὰ δὲ τὸ ἑπόμενον παραλογισμὸς γίνεται, οἷον 'ὁ δεῖνα νύκτωρ πλανᾶται· ὁ νύκτωρ πλανώμενος κλέπτης ἐστίν· ὁ δεῖνα ἄρα κλέπτης

49–57 cf. Ps.-Al. in Soph. El. 40, 24–34 ‖ 57–59 Anon. Heib. 42, 22–25; Ps.-Al. in Soph. El. 41, 8–10 ‖ 59–63 Arist. Int. 21 a 5–10 ‖ 63–65 21 a 18–21 ‖ 65–75 cf. 21 a 18–32 ‖ 76–79 Anon. Heib. 45, 27–46, 3

48 *διαιρεθέντα* Anon. Heib. (42, 12) ‖ 54 *σωκράτη* **M** ‖ 57 *ἐποίη* **M** ‖ 66 *λέγωνται* Arist. Int. 21 a 30: *-ονται* **M** ‖ 74 fort. *θεωρεῖται* legendum

ἐστί'. λέγεται δὲ τὸ τοιοῦτον παρὰ τὸ ἑπόμενον διὰ τὸ ἕπεσθαι τῷ κλέπτῃ τὸ πλανᾶσθαι νύκτωρ.

Ὁ δὲ παρὰ τὸ ἐν ἀρχῇ λαμβάνειν παραλογισμός ἐστι τὸ δι' ἑαυτοῦ 80 *δεικνύναι τὸ μὴ δι' ἑαυτοῦ δῆλον καὶ πρότασιν ποιεῖσθαι τὸ πρόβλημα· οἷον 'ἡ ψυχὴ ἄφθαρτος· τὸ ἄφθαρτον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος'. οὐδὲν ἀποδέδεικται, ἀλλὰ τὸ ἐξ ἀρχῆς ᾔτηται· ταὐτὸν γὰρ τῷ ἀθανάτῳ τὸ ἄφθαρτον, καὶ πρότασις ἡ ὅτι 'ἡ ψυχὴ ἄφθαρτος' ἡ αὐτὴ τῷ προβλήματι.* 85

Ἕτερος παραλογισμὸς παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέναι· γίνεται δὲ τοῦτο ἐν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς, ὅταν καὶ δίχα τῆς ὑποθέσεως οὐδὲν ἧττον περαίνηται τὸ ἀδύνατον, οἷον εἰ βουλόμενοι δεῖξαι δι' ἀδυνάτου ὅτι τὸ λευκὸν οὐ παντὶ ζῴῳ, εἴπωμεν οὕτως· 'εἰ γὰρ παντὶ ζῴῳ τὸ λευκόν, τὸ δὲ ζῷον παντὶ ἐμψύχῳ, τὸ δὲ ἔμψυχον παντὶ 90 *φυτῷ, τὸ ζῷον ἄρα παντὶ φυτῷ· ὅπερ ἄτοπον'. ἀλλὰ τουτὶ τὸ ἄτοπον οὐ παρὰ τὴν ὑπόθεσιν συνέβη τὴν ὅτι 'τὸ λευκὸν παντὶ ζῴῳ', ἀλλὰ παρ' ἐκείνην τὴν λέγουσαν ὅτι 'τὸ ζῷον παντὶ ἐμψύχῳ'.*

Ἕτερος παραλογισμὸς παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν· ὁ γὰρ τοῦτο ποιῶν κατασοφίζεται οὕτως· 'ὁ δεῖνα Σωκράτην καὶ 95 *Πλάτωνα τύπτει· ὁ Σωκράτης καὶ ὁ Πλάτων ἄνθρωπός ἐστιν· ὁ δεῖνα ἄρα ἄνθρωπον ἀλλ' οὐκ ἀνθρώπους τύπτει'. ἔψευσται κατ' ἀμφότερα, εἴτε τὸν καθ' ἕκαστα καὶ ἕνα τῷ ἀριθμῷ νοήσομεν ἄνθρωπον, εἴτε τὸν καθόλου· δύο γὰρ σημαίνει τὸ ἄνθρωπος, τὸν ἕνα τῷ ἀριθμῷ ἄνθρωπον καὶ τὸν ἐν εἴδει· ὧν ἐπ' οὐδενὸς ἀληθὲς τὸ συμπέρασμα. λέγε-* 100 *ται δὲ παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν, ὅτι ἕκαστον τῶν ὑποκειμένων ἰδίας ἐρωτήσεως δεῖται.*

Ἔστι παραλογισμὸς καὶ ὁ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν· λέγεται δὲ οὕτως ὅτι ὁ εἰδὼς τί ποτέ ἐστιν ἔλεγχος οὐ περιπεσεῖται τῷ τοιούτῳ σοφίσματι. ἔλεγχος δέ ἐστιν ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνός, 105 *ἵνα μὴ περὶ ἄλλου καὶ ἄλλου πειρώμεθα, οἷον μὴ ὀνόματος μόνον ἀλλὰ καὶ πράγματος. οὐ γὰρ μόνον τὸ ὄνομα ἓν εἶναι χρή, ἀλλὰ καὶ τὸ σημαινόμενον πρᾶγμα ἕν. τοῦτο δὲ εἴρηκε διὰ τὰς ὁμωνύμους φωνάς. καὶ ὀνόματος, φησί, μὴ συνωνύμου, οἷον 'ζῷον περιπατεῖ, ζῷον οὐ περιπατεῖ'· ἐνδέχεται γὰρ τὶ μὲν ζῷον περιπατεῖν, τὶ δὲ μή. μὴ* 110 *συναριθμουμένου δέ, φησί, τοῦ ἐν ἀρχῇ, τουτέστι μὴ λαμβανομένου τοῦ ζητήματος εἰς τὸν λόγον τῆς ἀποδείξεως, ὅπερ ἐστὶ τὸ ἐν ἀρχῇ αἰ-*

80–85 46, 8–10; 44, 26–45, 1 || **86–93** 46, 11–18 || **94–102** 47, 6–16 || **103–113** cf. 43, 8–11; 44, 8–20

88 *εἰ* Anon. Heib. (46, 13): *οἱ* **M** || **97** *τύπτειν* **M**: corr. Ebbesen

τεῖσθαι περὶ οὗ εἰρήκαμεν. καὶ κατὰ τὸ αὐτό, φησί, καὶ πρὸς τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. πρὸς μὲν τὸ αὐτό, οἷον ὅτι τὰ
115 *δύο διπλάσια καὶ οὐ διπλάσια· πρὸς ἄλλο γὰρ καὶ ἄλλο τοῦτο εἶναι λέγεται. κατὰ δὲ τὸ αὐτό, ἵνα μὴ κατ' ἄλλο ⟨καὶ ἄλλο⟩ μέρος λέγωμέν τι ὑπάρχειν. ὡσαύτως δέ, ἵνα μὴ τὸ μὲν δυνάμει, τὸ δὲ ἐνεργείᾳ λέγωμεν. καὶ ἐν τῷ αὐτῷ δὲ χρόνῳ· τὸ γὰρ κατ' ἄλλον καὶ ἄλλον χρόνον φαῦλόν τε καὶ οὐ φαῦλον λέγειν τὸν αὐτὸν οὐκ ἀδύνατον.*

15

Τοῦ Ψελλοῦ περὶ προτάσεων ὀφειλουσῶν ἀλλήλαις συναληθεύειν

Ἐπὶ τῶν προτάσεων τῶν ὀφειλουσῶν ἀλλήλαις συναληθεύειν δύο ταῦτά σε παραφυλάττειν χρή, τήν αὐτήν τε ποσότητα καὶ τὸν αὐτὸν ὑποκείμενον, ἐναλλάττειν δὲ δύο, τόν τε κατηγορούμενον καὶ τὴν ποι-
5 *ότητα. λέγω δὴ τὸν αὐτὸν ὑποκείμενον, ἵνα, εἰ μὲν ἐν τῇ καταφάσει ὡρισμένος ὑπάρχει, ὡρισμένος τεθῇ καὶ ἐν τῇ ἀποφάσει, εἰ δὲ ἐκεῖσε ἀόριστος, καὶ ἐνταῦθα ἀόριστος. ὡσαύτως καὶ ὁ κατηγορούμενος, εἰ μὲν ἐν τῇ καταφάσει ἁπλοῦς, ἐν ταύτῃ ἐκ μεταθέσεως, εἰ δὲ ἐν ἐκείνῃ ἐκ μεταθέσεως, ἐν ταύτῃ ἁπλοῦς. καὶ παράδειγμα· 'πᾶς ἄνθρωπος*
10 *ζῷόν ἐστιν, οὐδεὶς ἄνθρωπος οὐ ζῷόν ἐστιν'. ἐτηρήθη μὲν τὸ αὐτὸ ποσὸν καὶ ὁ αὐτὸς ὑποκείμενος· ἀμφότεραι γὰρ αἱ προτάσεις καθόλου καὶ οἱ ὑποκείμενοι ὡρισμένοι· ἐνηλλάγη δὲ τό τε ποιὸν καὶ ὁ κατηγορούμενος· ἐκεῖ μὲν γὰρ κατάφασις καὶ ὧδε ἀπόφασις, κἀκεῖ μὲν ἁπλοῦς ὁ κατηγορούμενος, ἐνταῦθα δὲ ἐκ μεταθέσεως.*

16

Τοῦ αὐτοῦ ἕτεραι ἐπιλύσεις φυσικῶν ἀπορημάτων πρὸς τοὺς ἰδίους μαθητὰς καὶ ἑτέρους ἐπερωτῶντας 103v

α'. Πότε ψυχοῦνται τὰ ἔμβρυα

Ἠρώτησας πότε ψυχοῦνται τὰ ἔμβρυα· ἀντερωτῶ δέ σε κἀγώ, πότε-
5 *ρον βούλει ἀποκριθῆναί σοι ὃ τῶν παρ' ἡμῖν φιλοσοφησάντων ἐδόξα-*

114–119 cf. 45, 5–22
15 m[22] 364v **B** 217v
16 D 103v–111v

116 *καὶ ἄλλο* Anon. Heib. (45, 7), Ps.-Al. (45, 17)
15 1 *Τοῦ* – 2 *δύο* **m**[22]: non leg. **B** ‖ 3 *σε* **m**[22]: om. ut vid. **B** ‖ 5 *εἰ* **m**[22]: *ἐὰν* **B** | *ἐν* **B**: om. **m**[22] ‖ 8 *ἐν ταύτῃ* – 9 *μεταθέσεως* **m**[22]: om. **B**

σαν ἔνιοι ἢ ἅπερ ᾠήθησαν Ἕλληνες. κοινὸν μὲν οὖν δόγμα περὶ τοῦ ζητήματος τούτου ἀποστολικὸν ἢ ἄλλως πατρικὸν οὐκ ἔστιν ἐν τοῖς παρ' ἡμῖν λόγοις· ἐθάρρησαν δέ τινες τῶν ἄγαν ἐν ἡμῖν μεταρσίων αὐτίκα ψυχοῦσθαι τὸ σπέρμα τῆς μήτρας ἐπιλαβόμενον, ὡς μηδέτερον τῶν μερῶν τοῦ συνθέτου πρεσβεύειν θατέρου ἢ ὑστερεῖν. τῶν δέ γε 10 *παρ' Ἕλλησι σοφῶν οἱ μὲν μορφωθέντα ψυχοῦσι τὰ ἔμβρυα, οἱ δὲ αὐτίκα μέλλοντα κινηθῆναι κατὰ γαστρός, οἱ δὲ τῆς μήτρας ἀποσπασθέντα καὶ διατυπωθέντα πρὸς ὄλισθον. οἱ δέ γε τελεώτεροι τούτων μετὰ τὸν τοκετὸν τὴν λογικὴν ψυχὴν μεταλαμβάνειν φασί, καὶ μεταβάλλειν ἀθρόως ὥσπερ ὑπὸ φωτὸς θείου ἀναπτόμενα ἢ ζωπυρούμενα·* 15 *ἔνδοθεν δὲ τῆς μήτρας ζῆν μέν, ἀλλὰ τὴν φυτικὴν ζωὴν καὶ παντάπασιν ἄλογον, ὥσπερ* | 104r *ἐκ ῥίζης τοῦ ὀμφαλοῦ κατερριζωμένα τῇ μήτρᾳ, τὴν τροφὴν χορηγούμενα, ζῷα δὲ μήτε εἶναι μήτε ὀνομάζεσθαι, ἀτελῆ ὄντα πρὸς μετουσίαν τῆς θειοτέρας ψυχῆς. οὐ γὰρ ἡ λογικὴ ψυχὴ ὥσπερ τι πτηνὸν εἰς τὸ τυχὸν ζωγρεῖον εἰσωθεῖται καὶ ἐνοικίζεται,* 20 *ἀλλ' εἰς τὸ ἐπιτηδείως ἔχον πρὸς τὴν ἐκείνης καταδοχὴν ἀπορρήτῳ συνόδῳ ἐμφύεται. πῶς ἂν καὶ ἐν ὑγρῷ χωρίῳ ζωογονηθείη ἂν ἐζωωμένον ἔμβρυον, μεμυκὸς δὲ καὶ παντάπασι συγκεκλεισμένον τό τε στόμα καὶ τὰς ῥῖνας; πῶς ἂν καὶ εἰσπνεύσοιεν, εἴ τις καὶ εἴη ἐκεῖσε, ἀὴρ καθαρός; οὐ χρὴ δέ, φασίν, ἀπὸ τῶν κινήσεων αὐτοῦ τεκμαίρεσθαι* 25 *τὰς ἐμψύχους ζωάς· οὐ γὰρ κατὰ φαντασίαν αὐτὸ ἢ ὁρμητικὴν ἔχει δύναμιν, ἀλλ' ὥσπερ καὶ ἐντέρων ἕλικες πληρούμενοι κίνησιν ἔχουσι καὶ δένδρων φλοιοὶ κινοῦνται τῷ ῥήγνυσθαι καὶ αὐτὰ δὲ τὰ φυτὰ αὔξάνεται καὶ περιστρέφεται ἢ συμπτύσσεται τοῖς φύλλοις καὶ αὖθις ἀναπλοῦται, ὥσπερ ὁ λωτὸς κατὰ τὴν τοῦ φωστῆρος περιστροφήν· ἐπὰν* 30 *δὲ ἔξω τῆς μήτρας γένηται τῆς ῥίζης ἀποσπασθέν, αὐτίκα τῆς λογικῆς μεταλαγχάνει ψυχῆς καὶ ζῷόν ἐστι καθαρόν.*

β'. Ποίᾳ αἰτίᾳ τῶν βρεφῶν τὰ μέν εἰσιν ἐλλιπῆ, τὰ δὲ ἄρτια

Θαυμάζεις εὐλόγως περὶ τῶν ἔτι κυομένων βρεφῶν, τίνι ποτὲ λόγῳ τὰ μὲν αὐτῶν | 104v *ἐλλιπῆ τὴν φύσιν τοῦ σώματος, τὰ δὲ σὺν περιττοτέ-* 35

8–10 cf. Psell. Omn. doct. 59,4–8; Max. Ambig. 1321 D–1325 C; Greg. Nyss. Quid sit 1332 D || 13–15 cf. Psell. Omn. doct. 59,8–60,5; Ps.-Gal. ad Gaur. 11[3] || 16–18 cf. Psell. Omn. doct. 115,7–12; Ps.-Gal. ad Gaur. 10[3], 7[1], 4[11] || 19–20 cf. 14[4] || 25–27 cf. 7[1] || 29–30 cf. Procl. Art. hier. 149,12–17

15 *ζωοπυρούμενα* **D**: correxi || 17 *κατερριζομένου* **D**: corr. Wk. || 29 *ἀναπλοῦται* Wk. (cf. 229): *ἀναπληροῦται* **D**

ροις ἔξεισι μέλεσι, καὶ τὰ μὲν ἅμα τῇ συστάσει πεπήρωται, τὰ δὲ ἄρτιά εἰσι καὶ ἐν μορφῆς κάλλει διατετύπωται· καὶ ὅλως διαπορεῖς ἐπιζητῶν τὰς αἰτίας τῶν οὕτως ἢ ἐκείνως ἐχόντων νεογιλῶν. ἔξεστι μὲν οὖν τούτων καὶ γονέας αἰτιάσασθαι καλῶς ἢ κακῶς ἔχοντας καὶ
40 *αὐτὴν δὴ τὴν νηδύν, τὸ φυσικὸν τῆς συμπήξεως ἡμῶν ἐργαστήριον, πλημμελῶς ἢ εἰλικρινῶς ἔχουσαν· οὐδὲν δὲ ἧττον εἰς λόγον αἰτίας θήσομεν καὶ τὰς ἕξεις τῶν μιγνυμένων καὶ τοὺς καιροὺς τοῦ συνδυασμοῦ· καὶ ἡ τοῦ σπέρματος δὲ παντοδαπὴ κρᾶσις παντοδαπὰ ἡμῖν τὰ ἀποτελέσματα δίδωσιν. ἀλλ' ὅ γε Ἑρμῆς, Ἄμμωνι τῷ σοφῷ περὶ τού-*
45 *του ἐπιστέλλων, ἄλλ' ἄττα αἰτιᾶται τῶν τοιούτων ἀποτελεσμάτων ἢ ταῦτα. φησὶ γὰρ ὡς, ἐπειδὴ τὸ κυόμενον οὐχ ὑπὸ τῆς μερικῆς μόνον ἀλλὰ καὶ τῆς ὁλικῆς διαπλάττεται φύσεως, καὶ τῆς τῶν πλανήτων δὲ δυνάμεως διαμερισμός τις ποικίλος εἰς αὐτὸ καταρρεῖ, ἐντεῦθεν τοιόνδε ἢ τοιοῦτον πρὸς τὴν διαφορὰν τῶν αἰτιῶν γίνεται. εἰ δὲ ἀσαφὴς*
50 *ὁ λόγος, ἔτι σοι τοῦτο σαφηνιστέον ἡμῖν. οἱ περιττοὶ τὴν σοφίαν Ἕλληνες, διαμερίζοντες τὴν φύσιν ἡμῶν, ὑπερκοσμίοις φύσεσι καὶ ἐγκοσ|μίοις σώμασί τε καὶ τάξεσιν, ἔτι δὲ καὶ τοῖς πλάνησι ταύτην δια-* 105r
περατοῦσι· καὶ τοὺς μὲν ὀφθαλμοὺς ἡμῶν Ἡλίῳ καὶ Σελήνῃ ἀνατιθέασιν, Ἀφροδίτῃ δὲ τὴν ὄσφρησιν καὶ τὸν περικράνιον ὑμένα τῷ Κρόνῳ,
55 *ὡς δὲ καὶ τοῖς ἄλλοις ἄλλο τι μέρος τοῦ σώματος· καὶ οὐ τοὺς πλανήτας μόνον, ἀλλὰ καὶ τοὺς δεκάρχους αὐτῶν καὶ τοὺς ἀπλανεῖς βάλλειν τινὰς ἀκτῖνας εἰς τὸ βρεφουργούμενον λέγουσιν. ἐπεὶ δὲ ποικίλοι μὲν τὴν ἰδέαν οἱ δέκαρχοι, ποικίλα δὲ τῶν πλανήτων τὰ σχήματα, διάφοροί τε τούτων αἱ πρὸς τοὺς ἀπλανεῖς σχέσεις, ἡ βαλλομένη παρ'*
60 *ἑκάστου ἀκτὶς εἰς τὸ κυόμενον εἰ μὲν ἐξ ἀγαθοποιοῦ κατέλθῃ σχήματος, ἀρτιώτατον τὸ μέρος τῷ βρέφει πεποίηκεν, οὗ κυριεύειν ὁ ἐπιλάμπων ἔλαχεν, εἰ δ' οὖν, κολοβόν. οἷον τοῦ καλουμένου Διὸς ἀστέρος τῆς κεφαλῆς τοῦ ζῴου ἐπάρχοντος ὅλων τῶν μηνίγγων καὶ τοῦ ἐγκεφάλου, ἣ ἐκεῖθεν εἰς τοῦτο τὸ μέρος ἀκτινοβολεῖ, εἰ μὲν ἐν καλῷ κει-*
65 *μένου τοῦ ἀστέρος καὶ σχηματιζομένου πρὸς τὴν σελήνην τριγωνικῷ σχήματι εἰς τὸν ἐγκέφαλον βάλλει τοῦ πηγνυμένου, εὖ ἕξουσιν αἱ ἡγεμονικαὶ δυνάμεις τῷ πλαττομένῳ ἐμβρύῳ· εἰ δὲ κακούμενος ὁ ἀστὴρ ἐπιβρίσει τῷ μέρει, τῶν ἐναντίων ἐστὶ ποιητής. κατὰ τοίνυν ⟨τὸν⟩ τοῦ*

44–49 cf. Iambl. Myst. 8, 4–6 ‖ 50–62 cf. Herm. Trism. ad Amm. 1–6 (ed. Ideler p. 387)

36 *πεπλήρωται* D: corr. Wk. ‖ 44 *Ἄμμωνι* conieci: *ἀμμωνίῳ* D ‖ 48 *αὐτὸ καταρρεῖ* Wk.: *αὐτὴν καταρείων* D ‖ 56 et 58 *δέκαρχοι* = *δεκανοί* ut vid. ‖ 60 *ἑκάστῳ* D: corr. Wk. ‖ 68 *τόν* addidi

105v *Ἑρμοῦ λόγον | καὶ τὰ μελαγχολικώτερα τῶν βρεφῶν καὶ τὰ εὐεκτικώτερα, ὅσα τε τοῖς ὀφθαλμοῖς διάστροφα καὶ ὅσα ὁρᾷ κατ' εὐθεῖαν, καὶ ἡ πᾶσα τούτων ἐναντιότης πρὸς ἄλληλα ἀπὸ τῆς τῶν ἄστρων δυνάμεως γίνεται.* 70

Πλὴν καὶ τοῦτο ἴσθι, ὡς ὁ μὲν καθ' ἡμᾶς λόγος οὐ πολυπραγμονεῖ τὰς τούτων αἰτίας, ἀλλὰ τὴν διοίκησιν πάντων θείοις ἀνατίθεται κρίμασι· δεδοίκαμεν γὰρ τὴν παρεκτροπήν, καὶ διὰ ταύτην ἐπὶ τῶν οἰκείων ὅρων ἑστήκαμεν. ὁ δέ γε Ἕλλην οὐ διαφέρει, ζητῶν τὰς πρώτας ὑποθέσεις τῶν γινομένων, εἴ που μακρὰν τῆς ἀληθείας ἐλάσειεν, ἀλλὰ ποικίλως τὰ ὄντα διερευνώμενος εἰς ἀτόπους πολλάκις ἐννοίας ἐκφέρεται. τίθεται δὲ κατ' ἐξουσίαν καὶ δόξας ἀσυλλογίστους, ὑπερκόσμιον ψυχὴν καὶ ἐγκόσμιον, καὶ φύσιν καθολικήν τε καὶ μερικήν, ἵν' εἴ τις αὐτὸν ἐλέγχει πλανώμενον, εὐθὺς ἔχει πρὸς ταῦτα καταφυγεῖν. ἡμεῖς δέ σοι τοὺς τούτων λόγους ἀνακαλύπτομεν, οὐχ ἵνα τούτοις θύῃς, ἀλλ' ἵνα μόνον εἰδείης. 75 80

γ'. Ὅτι οὐδεμία διαφορὰ τοῖς τοῦ θήλεος καὶ τοῦ ἄρρενος γεννητικοῖς μορίοις ἐστί, καὶ ὅτι δι' ἔλλειψιν θερμότητος τὸ θῆλυ ἐν τῇ μήτρᾳ γίνεται 85

Μὴ θαυμάσῃς, εἴ σοι παράδοξον λόγον ἐρῶ περὶ παραδόξου πράγματος, ἀλλ' ἀτρέμας ἔχε πρὶν ὅλον ἀκούσῃς τοῦ λόγου. ἴσθι τοιγαροῦν, ὡς τὰ γεννητικὰ τοῦ θήλεος μόρια καὶ τοῦ ἄρρενος οὐ διάφορά 106r *εἰσι | πρὸς ἄλληλα, ἀλλὰ παρ' ἑκατέρᾳ γενέσει τὰ αὐτά. τοσοῦτον δὲ διαλλάττει, ὅτι τὰ μὲν τοῦ ἄρρενος προὔκυψαν ἔξω ἀκμαζούσῃ θερμότητι, καὶ τό τε αἰδοῖον ἀπετάθη ἀμφιασάμενόν πως τὴν καλουμένην ποστὴν οἵ τε ὄρχεις ὑπὸ τῷ ὀσχέῳ ἐσπαργανώθησαν, τὰ δὲ τοῦ θήλεος δι' ἔλλειψιν τοῦ θερμοῦ ἀπρόιτα μεμενήκασι, μεταξὺ καρτερήσαντα τοῦ ἀπευθυσμ⟨έν⟩ου φημὶ καὶ τῆς κύστεως. ὃ γοῦν ἀρχόμενος εἴρηκα, μήτε θαυμάσῃς τὸ ἔργον τῆς φύσεως μήτε ὡς μυθώδη διαπαίξῃς τὸν λόγον· ἔστι γὰρ παντάπασιν ἀληθής. εἰ γὰρ παραθήσεις τῷ λόγῳ εἰς τὸ εἴσω τοῦ περιτοναίου τὰ τοῦ ἄρρενος μόρια, τὸ μὲν ὄσχεον εἰς τὴν τῆς μήτρας χώραν καὶ χρείαν διαπλασθήσεται, οἱ δέ γε ὄρχεις ἐξολισθήσουσιν ἔξωθεν καὶ παρ' ἑκατέρῳ μέρει ταύτῃ τεθήσονται, τὸ δὲ πρὶν ἀρρενικὸν αἰδοῖον ἀρχὴ τῆς ὑστέρας γενήσεται καὶ εἰς τὸ αἰδοῖον τὸ τῆς ποστῆς δέρμα διασχισθήσεται. καὶ οὕτως αὖθις τὴν* 90 95 100

89–106 cf. Gal. De usu part. IV 158,13–160,1 K.; IV 634,14 sqq. K.

91 *ἀκμάζουσι* **D**: corr. Hansen ‖ 93 fort. *πόστην* (= *πόσθην*) scribendum, et infra 102 et 105 ‖ 95 *ἀπευθυσμοῦ* **D**: correxi

γυναικείαν ἐκτὸς ἑλκύσαντός σου κατασκευήν, ἡ μὲν μήτρα τῷ ἀντε-
λιγμῷ ἔνδον συλλαβοῦσα τοὺς ὄρχεις εἰς ὀσχέου φύσιν ἔξω διαπλασθή-
105 σεται, ὅ τε αὐχὴν τῆς ὑστέρας εἰς αἰδοῖον διαταθήσεται καὶ ἡ ποστὴ
εἰς τὸ σχίσμα διαιρεθήσεται. τὸ γὰρ ἀρχέγονον τοῦ πλάσματος |
σπέρμα ἀρρενογόνον μόνον ἐστίν, ἀποτυγχάνει δὲ τοῦ σκοποῦ ἐνδείᾳ 106ᵛ
θερμότητος μεταβληθὲν εἰς θηλύτητα. τῷ δέ γε δημιουργῷ καὶ τὸ τῆς
φύσεως ἐλάττωμα εἰς ὅλου γένους διάπλασιν ἤρκεσεν. ἡ γάρ τοι
110 μήτρα, μία τις οὖσα τὴν πλάσιν, δυσὶ κόλποις διῄρηται, καὶ ὃς μὲν
αὐτῶν θῆλυς, ὃς δὲ ἄρρην ἐστί τε καὶ ὀνομάζεται, οὗτος μὲν ἐπιδέξιος
τὴν θέσιν τε καὶ τὴν φύσιν εἰς ἄρρενος πλάσιν, ἐκεῖνος δὲ πρὸς τοῦτο
μὲν ἐπαρίστερος, εὔθετος δὲ πρὸς θηλυγονίαν. οὕτω δὴ καὶ τῶν ὄρ-
χεων ἀρρενογόνος μὲν ὁ δεξιός, θηλυγόνος δὲ ὁ ἀριστερός. καὶ θερμὰ
115 μὲν ἄμφω τὰ δεξιά, τὰ δέ γε ἀριστερὰ μετὰ τῆς ἐναντίας ποιότητος.
καὶ τό γε θαυμασιώτατον, ⟨ὃ⟩ καὶ τὴν πίστιν τῷ πρώτῳ λόγῳ παρ-
έχει, οὐκ ἂν γνοίης ἐξαμβλωθὲν ἔμβρυον πρὸ τῆς συμπάσης τῶν
μελῶν τελειότητος, εἴτε θῆλυ κατὰ τὴν πλάσιν εἴτε ἄρρεν ἐστίν· ἐν
γὰρ τῷ τέλει ἡ θερμότης ἐξασθενήσασα ἔνδον τε τὰ γεννητικὰ κατ-
120 έσχε μόρια καὶ θῆλυ τὸ κυούμενον ἐπλαστούργησεν. ὁ μὲν γὰρ δεξιὸς
τῆς μήτρας κόλπος ἄνωθεν ἀπὸ τῆς κοίλης φλεβὸς τὴν ἀρχὴν λαμβά-
νει τοῦ σπέρματος, ὁ δέ γε ἀριστερὸς ἀπὸ τῶν νεφρῶν κατιοῦσαν τὴν
γονὴν δέχεται. διὰ ταῦτα ἡ μὲν ἐκ τῆς κοίλης φλεβὸς καταρρέουσα |
φύσις ἀπέριττός ἐστι καὶ ζέουσα τῇ θερμότητι, ἡ δέ γε ἐκ τῶν 107ʳ
125 νεφρῶν εἰς τὴν ἀριστερὰν μήτραν εἰσβάλλουσα ἧττον μὲν θερμή, μᾶλ-
λον δὲ περιττή. τῶν δέ γε νεφρῶν κατὰ ἰσότητα ἡ διάστασις· ἀλλ' ὁ
μὲν δεξιὸς ὑψηλότερός τέ ἐστι καὶ πρώτως ἀπὸ τῆς κοίλης ἀρδεύεται,
ὁ δέ γε ἀριστερὸς βραχύ τι χθαμαλώτερος· εἰς ἑκατέρους δὲ
φλεβώδεις κοιλότητες εὐθυβόλως κατατείνονται, ἀφ' ὧν τὸ ἐκ τῆς
130 κοίλης διωθιζόμενον αἷμα εἰς τοὺς ὄρχεις τε κάτεισι κἀκεῖσε μεταβάλ-
λον τὴν χροιὰν τῆς αἱματικῆς ποιότητος τὴν σπερματικὴν ἀνταλλάττει
χροιὰν καὶ δύναμιν.

δ'. Περὶ τοῦ σπέρματος

Ψευδὴς ὁ Κτησίου λόγος καὶ Ἡροδότου· ὁ μὲν γὰρ ὥσπερ μυθο-
135 λογῶν πήγνυσθαί φησι τὸ τῶν ἐλεφάντων σπέρμα καὶ ἠλέκτρῳ παρό-

108–109 cf. Gal. 162,10–13 ‖ 109–115 cf. Psell. Omn. doct. 111,2–7 ‖ 120–132 cf. (?) Gal. 169,9–171,13 ‖ 134–137 Arist. Gen. an. 736 a 2–11

112–113 πρὸ τούτου μὲν ἐπ' ἀριστερὸς **D**: corr. Wk. ‖ 116 ὃ add. Wk. ‖ 117 γνοίη **D**: corr. Wk. ‖ 128 βραχὺς τῷ **D**: correxi ‖ 130 διωθιζόμενον coni. Wk.: διωνιζόμενον **D**

μοιον γίνεσθαι· ὁ δὲ τοὺς Αἰθίοπας μέλαιναν ἀποφαίνεται ἀποσπερματίζειν γονήν. ἔστι γὰρ ἡ οὐσία τοῦ σπέρματος, ὡς Ἀριστοτέλει δοκεῖ, οὔτε καθαρῶς ὑδατώδης οὔτε ἀκριβῶς αἱματώδης. εἰ γὰρ ὕδωρ ἦν, οὐκ ἂν ἐπήγνυτο θερμαινόμενον, τὸ δὲ παχὺ καὶ ἀφρῶδες ἕξεισιν· εἰ δέ γε αἷμα καθαρὸν ἀπεκρίνατο, ἐχρῆν αὐτὸ ἔξω γεγονὸς καὶ καταψυ- 140
107ᵛ *χθὲν παγῆναι. οὔτε γὰρ | τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ πήγνυται, καὶ τὸ αἷμα δὲ ψυχούμενον παχύνεται· τὸ δὲ σπέρμα ἔσωθεν μὲν θερμαινόμενον παχύτερον ἕξεισιν, ἔξω δὲ γεγονὸς εἰς ὕδωρ λεπτὸν ἀναλύεται. ἔστιν οὖν εἰκάσαι ἐκ δυοῖν τοῦτο συνεστηκός, ὕδατός φημι καὶ πνεύματος, ὁποῖόν ἐστι τὸ μεθ' ὕδατος μιγνύμενον ἔλαιον, εἶτα δὴ ταραττόμενον καὶ ἀφρῶδες γινόμενον· περίττωμά ἐστι τῆς δευτέρας πέψεως, φημὶ δὴ τοῦ αἵματος· ἐν δὲ τῷ συνδέσμῳ γινόμενον μεταμείβει τὴν τοῦ αἵματος χροιὰν εἰς τὸ λευκότερον. καὶ οὐκ ἔστι μὲν σύντηγμα τοῦ ὅλου σώματος· παρὰ φύσιν γὰρ τοῦτο, ἐκ δὲ τοῦ παρὰ φύσιν οὐκ ἂν ζῷον λογικώτερον γένηται. τῷ δέ γε πρὸς τὰ ἀφροδίσια οἴστρῳ κινούμενον πολλαχῶς καὶ ἀνακοπτόμενον πνεύματός τε ἐμπιπλᾶται καὶ ἀφρωδέστερον γίνεται· αἱ δὲ πομφόλυγες τούτῳ οὐ σφόδρα ἐπανεστήκασι, κρατεῖ γὰρ τὸ παχὺ τοῦ πνεύματος. τὰς δέ γε θηλείας οὔ φησι σπερμαίνειν Ἀριστοτέλης, ἀλλά τινα λεπτὴν προϊέναι ὑγρότητα, ὕλην γιγνομένην τῷ τοῦ ἄρρενος σπέρματι· ἢ γὰρ ἄν, φησί, ζῷα δύο ἐγίγνετο ἢ ἓν σύνθετον ἐξ ἀμφοῖν. τοῖς δέ γε περὶ τὸν Ἱπποκράτην οὐκ ἀρέσκει ἡ δόξα αὕτη· ὁ γὰρ Γαληνὸς ἀφιέναι φησὶ σπέρμα καὶ τὰς θηλείας.* 145 150 155

108ʳ *ε'. Διὰ τίνα αἰτίαν τοῖς ὀνειρώττουσιν ἡδύτεραι αἱ συνουσίαι φαίνονται*

Θαυμάζεις εἰκότως ὅτιπερ εἰς ἡδονῆς ὑπερβάλλει λόγον τοῖς 160 *ὀνειρώττουσι τὰ ἀφροδίσια ἢ τοῖς ἐγρηγορόσιν. ἐντεῦθεν γὰρ καὶ Ἀριστείδης ὁ ῥήτωρ ἐκείνοις μᾶλλον ἢ τούτοις τὰς ὕπαρ ἀπείκασε χάριτας. ὁ δὲ λόγος τοῦ ταῦτα οὕτως ἔχειν οὗτός ἐστι. διττή τίς ἐστιν ἐν ἡμῖν ἡ ζωή, ἡ μὲν ἀπόλυτος σώματος, ἡ δὲ συνεστηκυῖα τῷ σώματι, καὶ ἡ μὲν ἄλογος, ἡ δὲ λογική. ἐν μὲν οὖν ταῖς ἐγρηγόρσεσιν {μίξεσιν} ἡ λογικὴ ζωὴ οὐ παντάπασιν ἀφίησι τῇ ἀλόγῳ τὴν ἡνίαν τῆς* 165

136–137 Hdt. III 101 || 137–146 cf. Arist. 735 a 30–b 16 || 153–155 cf. 727 b 31 sqq.; 739 b 16–19 || 157 *Γαληνὸς*] e.g. De sem. IV 622–623 K.; ibid. 536 || 161 *Ἀριστείδης*] ubi?

147 leg. *συνδυασμῷ* ? || 154 *σπερμαίνειν* Wk.: *παραμένειν* **D** || 155 leg. *μιγνυμένην* ? || 161 *ἐγρηγοροῦσιν* **D**: corr. Wk. || 164 an *συνυφεστηκυῖα*? || 165 delevi

ἡδονῆς, ἀλλ' ὥσπερ ὑφ' ἡγεμόνι τῷ λόγῳ τὸ ἄλογον ταττόμενον τῆς ὀρέξεως οὐ παντελῶς ἀπαυθαδιάζεται πρὸς τὰς ἀφροδισίους ὁρμάς, ἀλλ' ἠρέμα τῷ ἐκ τοῦ λόγου ἀνακρουόμενον χαλινῷ ἠκρωτηριασμένην
170 ἔχει τὴν ἡδονὴν διὰ τῆς ἐναντίας ὀρέξεως. ἐν δέ γε τοῖς ὕπνοις τῆς λογικῆς ταύτης καὶ χωριστῆς σώματι ζωῆς καθ' ἑαυτὴν ἐνεργούσης ὁ τῆς ἐπιθυμίας ἵππος τὸν ἐπιβάτην ὥσπερ ἀποβεβληκὼς λόγον καὶ πόρρω γενόμενος τοῦ δεδιέναι καὶ πεφρικέναι, ὅλος ἐστὶ τῆς φαντασιώδους ἐκείνης ὀρέξεως καὶ κινήσεως. ὅθεν ὁπόσοις οὕτω δι-
175 ονειρώττουσιν ὁ λόγος ἀντεπανέστη, ἀθρόως καὶ ἐξάπινα ἡμιτελῆ τὰ τῆς ἡδονῆς γίνεται. ἔνθεν τοι τοῖς μὲν σωφρονικωτέροις | πολλάκις σε- 108ᵛ σινωμένα τὰ ἔκγονα καὶ ἀτελέστερα τήν τε σωματικὴν κρᾶσιν καὶ τὰς πρακτικὰς δυνάμεις γίνεται, ἔστι δὲ οἷς καὶ ἀφρονέστατα· τοῖς δὲ ἀσελγεστέροις ῥωμαλεώτερά τε καὶ θαρραλεώτερα καὶ τὴν πρακτικὴν
180 σύνεσιν ἀκριβέστερα. οἱ μὲν γὰρ ἐν ταῖς συνουσίαις μετροῦντες τῷ λόγῳ τὴν ἡδονὴν καὶ μὴ ὅλῃ τῇ ἐπιθυμίᾳ πρὸς τὸ κάταντες ἐκφερόμενοι ὑφειμένην πως ἔχουσι τὴν τοῦ σπερμαίνειν δύναμιν, ὡς ἐντεῦθεν μὲν τὰ σώματα τῶν τικτομένων ἀσθενέστερα γίνεσθαι καὶ τούτοις αὖθις ἐπακολουθεῖν κατὰ τὸ ἀνάλογον καὶ τὴν τῆς ψυχῆς δύναμιν· οἱ
185 δέ γε ἀκολαστότεροι ὅλῃ καθάπερ τῇ ῥώμῃ τὴν γυναικείαν σπείροντες αὔλακα ἁδρότερον καὶ τὸν καρπὸν καὶ γονιμώτερον ἐν ἐτῶν περιόδοις κομίζονται.

ς'. Διὰ τίνα αἰτίαν τῶν γεννωμένων τινὰ τερατοειδῆ γίνονται

Μὴ θαυμάσῃς εἰ τερατουργεῖν τι ἡ φύσις ἐν τοῖς ἐμβρύοις δύναται
190 καὶ ζῴων ἑτεροφυῶν τούτοις συμπλάττει μόρια, οἷον κεφαλὰς ἱππείους ἢ πόδας βοείους, οἷς δὲ καὶ μυκτῆρα ἀπομηκύνει ἐλέφαντος. ἐπίστασαι γὰρ ὡς ἡ καθόλου φύσις, ἧς ἔκγονον τὸ βρεφουργὸν σπέρμα καθέστηκε, πάντα τὰ εἴδη ἀσυγχύτως ἐν ἑαυτῇ περιείληφεν· ἐκεῖθεν γὰρ καὶ γεννᾶται καὶ | τοῖς ὑποκειμένοις καταλλήλως ἐντίθεται. ὅθεν καὶ 109ʳ
195 τοῖς τῶν γενῶν σπέρμασιν ἔνεισι μὲν οἱ λόγοι πάντων τῶν εἰδῶν, ὅτι καὶ ἀπὸ τῆς παντοποιοῦ φύσεως ταῦτα τὴν ὑπόστασιν εἰλήχασιν· ἀλλά γε ἕκαστον ἑνὶ κρατηθῆναι εἴδει φιλεῖ, καὶ ὥσπερ τὸ μὲν ἀνθρώπειον τῷ τοῦ ἀνθρώπου, τὸ δὲ ἵππειον τῷ τοῦ ἵππου, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. εἰ δὲ καὶ πάντα τῶν μερικῶν ἔνεισιν, ἀλλὰ τὰ μὲν ἄλλα μέ-
200 μυκεν, ἐνεργεῖ δὲ μόνον ἐφ' ἑκάστῳ τῶν ζῴων τὸ οἰκεῖον εἶδος. ἐπειδὰν δὲ ἡ παντεχνὴς ὕλη ἐπιτηδεία πως εὑρεθείη ἐκφῦναί τι τῶν ἑτεροειδῶν εἰς τὴν ἀλλοτρίαν τούτοις ὑπόστασιν, τηνικαῦτα τὰ τέρατα

183 *μὲν* delendum ? || **197** *καὶ* delendum?

γίνεται· καὶ οἵ τε μυθικοὶ κένταυροι καὶ οἱ λεγόμενοι μυρμηκολέοντες καὶ τὰ ὡς Ἀριστοτέλης φησὶν ἀνδρογενῆ βούπρωρα ἢ βουγενῆ ἀνδρόπρωρα οἵ τε γαλεάγκωνες παρὰ τὴν φύσιν μὲν τὴν μερικήν, κατὰ 205 *δὲ τὴν καθόλου συνίστανται.*

Τοῖς δέ γε ἀστρονόμοις ἑτέρα τις αἰτία τῶν τεράτων δοξάζεται· τὸ γὰρ ἀεροσκοποῦν φασι ζῴδιον, εἰ τύχοι ἐφ' ἑτέρῳ ἐπεκτεινόμενόν τε καὶ συμμιγνύμενον, τῆς διφυοῦς καθίσταται αἴτιον. πολλάκις δὲ καὶ ἡ τῆς μήτρας ἐπίπτυξις ἢ στενότης οὐχὶ διφυὲς μὲν τὸ ἔμβρυον, παρὰ δὲ 210 109ᵛ *τὴν συνήθη σχηματίζει πλάσιν· οἱ γοῦν ναννώδεις | ἐντεῦθεν ἢ σκελεφροί, οἵ τε πτερυγώδεις καὶ στενοθώρακες, οὓς δὴ καὶ θηριώδεις ὁ Ἱπποκράτους λόγος καλεῖ.*

ζ'. Τίς ἡ αἰτία τοῦ τὸν ἀλεκτρυόνα ᾄδειν νυκτός

Τοῦ τὸν ἀλεκτρυόνα ᾄδειν νυκτὸς οὐ πρὸ πολὺ τῆς τοῦ ἡλίου ἀνα- 215 *τολῆς φυσικάς τινες αἰτίας ἀπέδοσαν. ἔφασαν γὰρ ὅτι θερμότατον ὂν τὸ ζῷον καὶ λίχνον περὶ τὰς τῶν τροφῶν ὀρέξεις τῇ μὲν ἐμφύτῳ θερμότητι ταχύτερον πέττει τὴν διδομένην τροφήν, τῇ δὲ λιχνείᾳ τῆς φύσεως προσαναφωνεῖ τὴν περὶ ταύτης ὄρεξιν, ὡσανεὶ προσκαλούμενον τὸν σιτίσοντα καὶ πρὸς τὸ σιτηρέσιον τοῦτον ἐπεῖγον. ἐγὼ δὲ καὶ τοῦ-* 220 *τον τὸν λόγον μὴ ἀπωθούμενος ἐρῶ ὑμῖν καὶ ἑτέραν αἰτίαν, ἀπορρητοτέραν μὲν τοῖς πολλοῖς, ἴσως δὲ τῶν ἄλλων ἀληθεστέραν.*

Ὥσπερ ἥλιος καὶ σελήνη καὶ τὰ κατὰ τὸν οὐρανὸν ἄστρα εἰκόνες εἰσὶ τοῦ πρώτου κόσμου καὶ ἔχουσιν ἐκείνου συνθήματα κρύφια, οὕτω δὴ καὶ τὰ ἐν τῇ γῇ ἔμψυχα καὶ ἄψυχα σώματα ἀγάλματά εἰσι τῶν 225 *οὐρανίων φύσεων καὶ ἔχουσί τινας ἀπορροίας ἐκείνων καὶ ἀτρεκῆ μιμήματα, καὶ ἕκαστον τῶν ἐνταῦθα ὄντων καὶ γινομένων ἑκάστῳ τῶν φωστήρων μᾶλλον ἀνάκειται. ὥσπερ ὁ λωτὸς τὸ φυτὸν ἡλιακός ἐστι,* 110ʳ *ὅθεν ἀνατέλλοντι μὲν τῷ φωστῆρι | ἐξαπλοῖ τὰ φύλλα, δύνοντι δὲ συστέλλει, καὶ ὁ σεληνίτης δὲ λίθος σελήνης ἔχει συνθήματα (τρέπεται* 230 *γὰρ ὁ ἐγκείμενος αὐτῷ ὀφθαλμὸς ταῖς σεληνιακαῖς φαύσεσιν), οὕτω δὴ καὶ τῶν ζῴων, ἵνα μὴ τὰ πάντα λέγω, ὁ μὲν λέων ὑπὸ τὴν σειρὰν τῆς σελήνης ἐστίν, ὁ δέ γε ἀλεκτρυὼν ὑπὸ τὴν ἡλιακὴν τάξιν· αὐτίκα δὲ πρὸς ἀνατολὰς ἐπανιόντι τῷ ἰδίῳ ἀρχηγέτῃ ἀπορρήτως καὶ φυσικῶς*

203 *μυρμηκολέοντες*] Iob 4, 11 || 204 sq. *βουγενῆ ἀνδρόπρωρα*] Arist. Phys. 198 b 32 (= Emped.); 199 b 11 || 212-213 cf. Hipp. Epid. VI 1,11; Agnell. Sect. 60,30–62,2 et adnot. ad loc.; Steph. Aph. fol. 25ʳ || 223-240 cf. Procl. Art. hier. 148–151

208 *ὡροσκοποῦν* coni. Wk. || 213 *ἱπποκράτης* **D**: corr. Wk. || 220 *ἐπείγοντα* **D**: corr. Hansen

235 ἐπιγάννυται, καὶ ὥσπερ ᾠδὴν αὐτῷ ποιούμενος ἀπολαμπρύνει τε τὴν φωνὴν καὶ μέγα βοᾷ. καὶ τό γε θαυμασιώτερον, δέδοικεν τοῦτον ὁ λέων ἰδών, ὅτι οὗτος μὲν τῆς σεληνιακῆς ἐστι τάξεως, ἐκεῖνος δὲ τῆς ἡλιακῆς, καὶ ὡς τοῦ ἐλάττονος φωστῆρος ζῷον τὸ τοῦ μείζονος πέφρικε. καὶ δαίμονες δὲ λεοντοπρόσωποι πολλάκις φανέντες, ἀλεκ-
240 τρυόνα ἰδόντες ὑπέπτηξαν. εἰ μὲν οὖν ἀληθὴς ὁ λόγος, εἰδείη ἂν ἡ ἀπόρρητος γνῶσις· εἰ δὲ ψευδής, δεδόσθω ταῖς αὔραις.

η'. Διὰ τί τῶν ζῴων τὰ μὲν ἄπληστά εἰσι, τὰ δὲ πληροῦνται ταχέως καὶ τῆς ὀρέξεως ἵστανται

Τοῦ τῶν ζῴων τὰ μὲν ἄπληστα εἶναι, τὰ δὲ ταχὺ πληροῦσθαι καὶ
245 τῆς ὀρέξεως ἵστασθαι αἰτία ἥδε. τοῖς μὲν γὰρ εὐθὺ μετὰ τὴν γαστέρα | πρὸς τὴν ἕδραν τὸ ἔντερον, τοῖς δὲ πλοκαί τινές εἰσι καὶ ἕλικες παρὰ 110v τῆς φύσεως ἐγεγόνεισαν. ἐντεῦθεν τὰ μὲν πρότερα ταχέως τὴν τροφὴν ἀποκρίνει διὰ τὴν τοῦ αὐλῶνος εὐθύτητα, τὰ δέ γε λοιπὰ ἑλιττομένην ἐν τοῖς ἐντέροις ἴσχει καὶ διὰ ταῦτα βραδύνουσαν. ἀνθρώπῳ δὲ μάλι-
250 στα ἡ τοιαύτη πλάσις ἐμπέφυκεν, ἵνα μὴ ἄμουσος αὐτῷ καὶ ἄρρυθμος ἡ δίαιτα ᾖ μηδὲ κατὰ τὴν εὐθυέντερον σελευκίδα ὁμοῦ τε δέχεται τὴν τροφὴν καὶ εὐθὺς ἀποκρίνει, ἀλλὰ περιελίττει ταύτην ἐν πολυπλόκοις τισὶ διεξόδοις. τὰ δέ γε ἔντερα τούτου, καὶ μάλιστα τὰ λεπτότατα καὶ ὅσα μετὰ τὴν νῆστιν, οὐκ εὐρύτατα ἐγεγόνει οὐδὲ οἷον ἠνεῳγμένα,
255 ἀλλὰ μεμυκότα, ἵνα αἱ καθήκουσαι φλέβες ἐν τούτοις ἁρπάζωσί τι τῆς πεττομένης τροφῆς· ὅθεν, ὅσον τρόφιμον τὴν πρώτην διαφεύξεται ἕλικα, ἐν τῇ δευτέρᾳ τοῖς τῶν φλεβῶν ἁλίσκεται στόμασιν. ἡ γὰρ φύσις, ὁπόσα δεῖ αὐτὴν πέψαι, ἐν στενοῖς ἀποκλείει χωρίοις, ἵνα ἐν τούτοις στενοχωρούμενα καὶ βραδύνοντα ἀκριβεστέραν τὴν κατεργασίαν
260 δέξηται. οὕτω καὶ πρὸς τὸ ἧπαρ ἀνάγουσα τὸν πεπεμμένον χυμὸν ἐκ διαφόρων τινῶν πόρων εἰς μίαν κατέκλεισε πάροδον, κἀκεῖσε στενώσασά τε καὶ κατασχοῦσα τῷ ἥπατι προὔτρεψεν ὡσανεὶ | ἀν- 111r αλῶσαι πᾶν τὸ περιττὸν τῇ θερμότητι, τὸ δέ γε λεῖπον εἰς αἵματος μεταβαλεῖν γένεσιν. οὕτως οὐδὲν ἄλογον οὐδὲ ἀναίτιον, ἀλλὰ τὸ μὲν
265 ἀφανὲς πάντων αἴτιον ὁ δημιουργικός ἐστι λόγος, ὧν δὲ καὶ ἡ φύσις ποιεῖ ἐνίοτε ἡμῖν τυγχάνει ληπτά.

θ'. Τίς ἡ αἰτία δι' ἣν ὁ κύων τὸ οὐραῖον κινεῖ

Οὐδέν ἐστι τῶν γιγνομένων ἀναίτιον, ὁποῖόν ποτε ᾖ. μὴ τοίνυν ἐρυθραίνου τὴν ὄψιν ὡς ἔγραψας, εἰ καὶ περὶ τῶν εὐτελεστέρων τὰς

236 γε Wk.: τε **D** || **262** ὡσανεὶ scripsi: ὡς ἂν οἳ **D**

πεύσεις ποιεῖς. καὶ γὰρ καὶ τὸ τὸν κύνα τὸ οὐραῖον κινεῖν προστρέ- 270
χοντα τοῖς συνήθεσι καὶ περιλιχμώμενον τούτους καὶ περισαίνοντα,
καὶ τὸ τὰς ὄρνεις ὑγρὸν μὴ ἐκπέμπειν περίττωμα, καὶ τὸ τὰς ἡμιόνους
μὴ τίκτειν, καὶ τὸ τοὺς λέοντας θυμουμένους τῇ οὐρᾷ τὰ πλευρὰ τύ-
πτειν – ταῦτα γὰρ ἡμῖν προ[τεί]νω – αἰτίας φυσικὰς ἔχει. αὐτίκα ἡ
οὐρὰ τοῦ κυνὸς τῷ νωτιαίῳ μέρει συνῆπται τοῦ σώματος, ὃ καθάπερ 275
ἐκ πηγῆς τοῦ ἐγκεφάλου τοῖς σπονδύλοις συγκαθηλούμενον ἄχρι τοῦ
τελευταίου μέρους τοῦ †κοϊκοῦ† διατέταται σώματος· αἰσθητικώτατον
δὲ τὸ μέρος καὶ ποταμὸς ἀληθῶς τῆς τοῦ ἐγκεφάλου πηγῆς. ὁ τοίνυν
111ᵛ *κύων, τῇ ἐγκαθιδρυμένῃ αἰσθήσει τῆς κεφαλῆς αἰσθανόμενος τοῦ | συν-*
ήθους καὶ προσκνυζόμενος, διαδόσιμον ἔχει τὴν αἴσθησιν ἀπὸ τῶν 280
μηνίγγων εἰς τὸ νωτιαῖον. ᾧ δὴ καὶ ἡ οὐρὰ συγκειμένη μεταλαμβάνει
τῆς αἰσθητικῆς δυνάμεως καὶ τῷ πρώτῳ συγκινεῖται σώματι· ἅτε δὲ
ἀπῃωρημένη καὶ μὴ ἔχουσα τὰ ἑκατέρωθεν ἀντερείδοντα ἐπίδηλον
ποιεῖται τὴν κίνησιν. ἐκ τῆς αὐτῆς οὖν αἰτίας καὶ ὁ λέων συγκινῶν
τὴν οὐρὰν μαστίζει ἑαυτὸν ἑκατέρωθεν· διαπριόμενος γὰρ τῷ θυμῷ, 285
ὥσπερ οἱ θυμικοὶ τῶν ἀνθρώπων τὰς χεῖρας ἀλλήλαις παρακονῶσιν,
οὕτως ἐκεῖνος οἷά τισιν ἐπαφαῖς ταῖς πληγαῖς τῆς οὐρᾶς πρὸς τὸ θυ-
μικώτερον ἑαυτὸν ἐπεγείρει. αἱ δὲ ὄρνεις οὐκ ἀπορρέουσιν, ὅτι μὴ τὸ
τοῦ περιττώματος ὄργανον ἔχουσιν· κύστην γὰρ αὐταῖς ἡ φύσις οὐκ
ἔπλασεν. οὐ τίκτουσι δὲ αἱ ἡμίονοι, ὅτι ἐξ ἀλλοτρίων συνεστηκυῖαι 290
γενῶν διεφθαρμένην τὴν πρὸς τὸ τίκτειν εἰλήχασι δύναμιν.

ι'. Τίς ἡ αἰτία δι' ἣν ἐπὶ τῶν στασίμων ὑδάτων κύκλους ποιοῦσι τὰ πίπτοντα σώματα μείζονας καὶ ἐλάττονας

Ἀπορεῖς πῶς ἐπὶ τῶν στασίμων ὑδάτων πᾶν εἴ τι προσπέσοι σωμά-
τιον κύκλους ποιεῖν εἴωθεν ἐλάττονας ἐπὶ μείζοσι, καὶ τὸ μὲν οἷον 295
κέντρον ἐστίν, οἱ δὲ ἐπεισφρήσουσιν ἄλλος ἐπ' ἄλλῳ, καὶ ὁ μὲν
πρῶτος μείζων τῶν ἄλλων, ὁ δὲ τελευταῖος ἔλαττον [

274 sqq. cf. infra 55, 781 sqq. || 280 *προσκνυζόμενος*] cf. Philostr. Heroic. p. 2, 21 || 284–285 Hom. Il. 20, 170–171 || 284–288 cf. infra 55, 783–786 || 290–291 cf. infra 55, 740–743 || 292–293 cf. infra 55, 727 sqq.

274 *προετείνω*] partem evan. suppl. Wk. || 277 leg. *ζωϊκοῦ* vel *κυνικοῦ*? || 286 *ἀλλήλοις* **D**: corr. Wk. || 297 des. mutilus **D**

17

Περὶ τῆς διαφορᾶς τῶν συνθέτων σωμάτων (434v)

| *Πάντα τὰ ἐκ τῶν ἁπλῶν σύνθετα διαφέρει μὲν ἀλλήλων* 435r
ποιητικαῖς τε καὶ παθητικαῖς ποιότησιν. ἔστι δὲ ταῦτά τε καὶ τοσαῦτα
κατὰ συζυγίαν λεγόμενα πηκτὸν ἄπηκτον, τηκτὸν ἄτηκτον, μαλακτὸν
5 *ἀμάλακτον, τεγκτὸν ἄτεγκτον, καμπτὸν ἄκαμπτον, κατακτὸν ἀκάτα-*
κτον, θραυστὸν ἄθραυστον, θλαστὸν ἄθλαστον, πλαστὸν ἄπλαστον,
πιεστὸν ἀπίεστον, ἑλκτὸν ἄνελκτον, ἐλατὸν ἀνέλατον, σχιστὸν ἄσχι-
στον, τμητὸν ἄτμητον, πιλητὸν ἀπίλητον, καυστὸν ἄκαυστον, θυμιατὸν
ἀθυμίατον, γλίσχρον ψαθυρόν.

10 *Ταῦτα δὲ πάντα εἴδη μέν εἰσι τῶν δυεῖν παθητικῶν ποιοτήτων, τοῦ*
ὑγροῦ λέγω καὶ τοῦ ξηροῦ, καὶ μέμικται ἐκ τούτων, μᾶλλον δὲ τοῦδε
ἢ ἐκείνου μετέχει. τὰ μὲν οὖν ὑπὸ ξηροῦ θερμοῦ παγέντα ὑπὸ ὕδατος
λύεται, ὅ ἐστιν ὑγρὸν ψυχρόν, τὰ δὲ ὑπὸ ψυχροῦ παγέντα ὑπὸ πυρὸς
λύεται, ὅ ἐστι θερμόν. ὅσα μὲν οὖν ἐστιν ὕδατος, οὐ πήγνυται ὑπὸ
15 *πυρός· λύεται γὰρ ὑπὸ πυρός. ὅσα δὲ κοινὰ γῆς καὶ ὕδατος, καὶ ὑπὸ*
πυρὸς πήγνυται καὶ ὑπὸ ψυχροῦ, παχύνεται δὲ ὑπ' ἀμφοῖν. ὅσα δὲ μα-
λακά, ἀλλὰ μὴν ὑγρά, οὐ παχύνεται ἀλλὰ πήγνυται ἐξιόντος τοῦ
ὑγροῦ, οἷον ὁ ὀπτώμενος κέραμος· ὅσα δὲ ὑγρὰ τῶν μικτῶν, καὶ πα-
χύνεται, οἷον γάλα. τήκεται δὲ καὶ ὁ λίθος ὁ πυρίμαχος καὶ αἱ μύλαι
20 *ὥστε ῥεῖν. τήκεται καὶ ὁ πηλὸς καὶ ἡ γῆ. παχύνεται μὲν οὖν ὑπὸ*
πυρὸς μόνον ὅσα ὕδατος πλέον ἔχει ἢ γῆς, πήγνυται δὲ ὅσα γῆς. διὸ
καὶ τὸ νίτρον καὶ οἱ ἅλες γῆς εἰσι μᾶλλον, καὶ λίθος καὶ κέραμος.
ὅσα δὲ μικτὰ ὕδατος καὶ γῆς, κατὰ τὸ πλῆθος ἑκατέρου ἄξιον λέγε-
σθαι· οἶνος γάρ τις καὶ πήγνυται καὶ ἕψεται, οἷον τὸ γλεῦκος. ὅσα
25 *μὲν οὖν μὴ παχύνεται ὑπὸ τοῦ ψυχροῦ, ἀλλὰ πήγνυται, ὕδατός ἐστι*
μᾶλλον, οἷον οἶνος καὶ οὖρον καὶ τὰ τοιαῦτα. ὅσα δὲ παχύνεται μὴ
ἐξατμίζοντα ὑπὸ πυρός, τὰ μὲν γῆς, τὰ δὲ κοινὰ ὕδατος καὶ ἀέρος,
μέλι μὲν γῆς, ἔλαιον δὲ ἀέρος. καὶ τὸ γάλα δὲ καὶ τὸ αἷμα ἀμφοῖν
μὲν κοινὰ καὶ ὕδατος καὶ γῆς, μᾶλλον δὲ τὰ πολλὰ γῆς. καὶ τὰ μὲν

17 **O** 434v–435r ‖ **2-3** cf. Arist. Mete. 385 a 1–5 ‖ **4-9** 385 a 12–18 ‖ **10-12** cf. 381 b 23–27 ‖ **12-14** 383 a 1–4 ‖ **14-15** 383 a 6–7 ‖ **15-16** 383 a 13–15 ‖ **16-19** 383 a 19–22 ‖ **19-20** cf. 383 b 5–9 ‖ **20-22** 383 b 18–20 ‖ **23-24** 384 a 3–5 ‖ **24-29** cf. 384 a 11–17 ‖ **29-31** 384 a 34–b 2

17 **13** *λύεται* Arist.: *ἔσται* **O** ‖ **17** *μὴν*] *μὴ* Arist. ‖ **18** *ὀπτόμενος* **O** ‖ **24** *τις* Arist.: *τε* **O**

λυτά ἐστιν, οἷον νίτρον, τὰ δὲ ἄλυτα, οἷον κέραμος, καὶ τὰ μὲν μαλα- 30
κτά, οἷον κέρας, τὰ δὲ ἀμάλακτα, οἷον κέραμος καὶ λίθος. τὰ δὲ ξύλα
γῆς ἐστι καὶ ἀέρος· διὸ καυστὰ καὶ οὐ τηκτὰ οὐδὲ μαλακτά. {διὸ
καυστὰ καὶ νοητὰ οὐδὲ μαλακτά.} κέραμος δὲ γῆς μόνον.
Ἐκ μὲν οὖν ὕδατος καὶ γῆς τὰ ὁμοιομερῆ συνίστανται σώματα καὶ
αὐτὰ τὰ μεταλλευόμενα, οἷον χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα τοι- 35
αῦτα, ἐξ αὐτῶν τε καὶ τῆς ἀναθυμιάσεως τῆς ἑκατέρου ἐναποκλειομέ-
νης. ταῦτα δὲ διαφέρει ἀλλήλων τοῖς πρὸς τὰς αἰσθήσεις ἰδίοις.
Ἄπηκτα δέ ἐστιν ὅσα μὴ ἔχει ὑγρότητα ὑδατώδη μηδ' ὕδατός ἐστιν,
ἀλλὰ πλέον θερμοῦ καὶ γῆς, οἷον τὸ μέλι. μαλακτὰ δέ ἐστι τῶν πε-
πηγότων ὅσα μὴ ἐξ ὕδατος, οἷον κρύσταλλος, ἀλλ' ὅσα γῆς μᾶλλον. 40
ἔστι δὲ καὶ τῶν τηκτῶν καὶ τῶν ἀτήκτων τὰ μὲν τεγκτά, οἷον ἔριον
καὶ γῆ, τὰ δὲ ἄτεγκτα, οἷον χαλκός. οὐδὲ δὲ ἄλλο τεγκτὸν οὐδὲν ὃ μὴ
μαλακώτερον γίνεται βρεχόμενον. ἔστι δὲ τεγκτὰ μὲν ὅσα γῆς ὄντα
ἔχει τοὺς πόρους μείζους, τηκτὰ δὲ ὕδατι ὅσα δι' ὅλου. καὶ καμπτὰ
μὲν καὶ εὐθυντά, οἷον κάλαμος καὶ λύγος, ἄκαμπτα δέ, οἷον κέραμος 45
καὶ λίθος. κατακτὰ δὲ καὶ θραυστὰ ἅμα ἢ χωρίς, οἷον ξύλον κατακτὸν
μέν, θραυστὸν δ' οὔ, κέραμος δὲ καὶ θραυστὸν καὶ κατακτόν. ἔστι δὲ
κάταξις μὲν ἡ εἰς τὰ μεγάλα μέρη διαίρεσις, θραῦσις δὲ ἡ εἰς τὰ
τυχόντα. καὶ θλάσις ἐπιπέδου κατὰ μέρος εἰς βάθος μετάστασις. ἔστι
δὲ τὰ θλαστὰ καὶ μαλακτά, οἷον κηρός, καὶ σκληρά, οἷον χαλκός. 50
ἄθλαστα δὲ καὶ σκληρά, οἷον κέραμος. τῶν δὲ θλαστῶν ὅσα μὲν μένει
θλασθέντα, ταῦτα τὰ πλαστά, τὰ δὲ ἢ μὴ εὔθλαστα, ὥσπερ λίθος ἢ
ξύλον, ἢ εὔθλαστα μέν, μὴ μένει δὲ ἡ θλάσις, ὥσπερ ἐρίου ἢ
σπόγγου, οὐ θλαστὰ ἀλλὰ πιεστά. πιέζεται δὲ ὅσα πόρους ἔχει κενοὺς
συγγενοῦς σώματος. ἀπίεστα δὲ τὰ μὴ πεφυκότα συνιέναι, ὥσπερ σί- 55
δηρος καὶ λίθος καὶ ὕδωρ καὶ πᾶν ὑγρόν. ἑλκτὰ δέ ἐστιν ὅσων δυ-
νατὸν εἰς τὸ πλάγιον μεθίστασθαι τὸ ἐπίπεδον, οἷον ἡ θρίξ, ἱμάς. καὶ
ἐλατὰ μέν, οἷον χαλκός, ἀνήλατα δέ, οἷον λίθος. καὶ σχιστὰ μέν, οἷον

31–32 384 b 15–16 ‖ 33 384 b 19–20 ‖ 34–37 cf. 384 b 30–385 a 1 ‖ 38–39 cf. 385 b 1–2 ‖ 39–40 385 b 6–8 ‖ 41–42 cf. 385 b 12–14 ‖ 42–43 385 b 17–18 ‖ 43–44 385 b 19–21 ‖ 44–46 cf. 385 b 27–29 ‖ 46–49 cf. 386 a 9–13 ‖ 49–54 cf. 386 a 19–29 ‖ 54–55 386 b 1–2 ‖ 55–56 cf. 386 b 8–11 ‖ 56–57 cf. 386 b 12–14 ‖ 57–58 cf. 386 b 18–19 ‖ 58–59 cf. 386 b 25–26

30 *ἄλιτον* **O** | *μαλακτικά* **O**: sec. Arist. correxi ‖ 32 *μαλακά* **O** ‖ 32–33 *διὸ – μαλακτά* seclusi ‖ 33 *μόνου* **O**: correxi: *μόνης* Arist. ‖ 35 *μεταλευόμενα* **O** ‖ 36 *ἐν ἀποκλειομένοις* **O**: *ἐγκατακλειομένης* Arist. ‖ 38 *ἔχειν* ut vid. **O** ‖ 40 *κρύσταλος* **O** ‖ 42 *οὐδὲ* Arist.: *οὐδὲν* **O** ‖ 43 *τεγκτὰ* Arist.: *-ὸν* **O** ‖ 45 *λύγος* Arist.: *λυγὸς* **O** ‖ 52 *εὔθλαστα* Arist.: *ἄθλαστα* **O** ‖ 54 *θλαστὰ*] *πλαστὰ* codd. Arist. praeter unum

ξύλον, ἄσχιστα δέ, οἷον κέραμος. τμητὰ δέ, ὅσα μὴ θραύεται διαιρού-
60 *μενα, οἷον ξύλον. γλίσχρον δὲ ὅταν ἑλκτὸν ἢ ὑγρὸν ὂν μαλακὸν ᾖ, ὅσα δὲ μὴ τοιαῦτα ψαθυρά. καὶ πιλητὰ μέν, ὅσα τῶν πιεστῶν μόνιμον ἔχει τὴν πίεσιν, ἀπίλητα δὲ ὅσα ἀπίεστα. καὶ τὰ μὲν καυστά ἐστιν τὰ δὲ ἄκαυστα, οἷον ξύλον μὲν καὶ ἔριον καὶ ὀστοῦν καυστά, λίθος δὲ καὶ κρύσταλλος ἄκαυστα. ἔστι δὲ καυστὰ ὅσα ἔχει πόρους δεκτικοὺς*
65 *πυρὸς καὶ ὑγρότητα ἐν τοῖς κατ' εὐθυωρίαν πόροις ἀσθενεστέραν πυρός, ἄκαυστα δὲ ὅσα ἢ μὴ ἔχει ἢ ἰσχυροτέραν, οἷον κρύσταλλος καὶ τὰ σφόδρα χλωρά. θυμιατὰ δέ ἐστιν ὅσα ὑγρότητα ἔχει μέν, οὕτω δὲ ἔχει ὥστε μὴ ἐξατμίζειν. ἔστιν ἡ μὲν ξυλώδους σώματος θυμίασις καπνός, ἡ δὲ λιπαροῦ κνίσσα. ταῦτα δὲ ὑπ' ἄλλης μὲν αἰτίας συνέστη-*
70 *κεν, ὕλη τὸ ξηρὸν καὶ ὑγρόν, τὰ δὲ ποιοῦντα τὸ θερμὸν καὶ ψυχρόν.*

18

Ἀριστοτέλους περὶ νεότητος, γήρως, ἀναπνοῆς, ζωῆς καὶ θανάτου (415ᵛ)

| *Ἡ τῷ ὄντι ἀρχὴ τῶν ἄλλων μορίων τοῦτό ἐστιν ἡ καρδία· ἀρχὴ* 416ʳ *γὰρ ἡ καρδία, ὡς οὗτος πολλάκις εἶπε, καὶ κοιλιῶν καὶ φλεβῶν καὶ ἀρτηριῶν καὶ τοῦ αἵματος ἐξ οὗ πάντα ἄλλα τρέφεται. ἐν αὐτῇ γὰρ*
5 *τὴν διάκρισιν καὶ τὴν τελείαν πέψιν τὸ αἷμα λαμβάνει. ἐπεὶ τῶν ἰδίων αἰσθητηρίων ἕν τι κοινόν ἐστιν αἰσθητήριον εἰς ὃ τὰς κατ' ἐνέργειαν αἰσθήσεις ἀναγκαῖον ἀπαντᾶν, τοῦτο δ' ἂν μέσον τοῦ πρόσθεν καλουμένου καὶ ὄπισθεν – ἔμπροσθεν μὲν γὰρ λέγεται ἐφ' ᾧ ἐστιν ἡμῖν ἡ αἴσθησις, ὄπισθεν δὲ τὸ ἀντικείμενον –, ἔτι δὲ διῃρημένου τοῦ σώ-*
10 *ματος τῶν ζῴων τῶν πάντων τὸ ἄνω καὶ κάτω – πάντα γὰρ ἔχει τὸ ἄνω καὶ τὸ κάτω, ὥστε καὶ τὰ φυτά –, δῆλον ὅτι τὴν θρεπτικὴν ἂν ἔχοιεν ἀρχὴν ἐν μέσῳ τούτων· καθ' ὃ μὲν γὰρ εἰσέρχεται μόριον ἡ τροφή, ἄνω καλοῦμεν, πρὸς αὐτὸ βλέποντες, ἀλλ' οὐ πρὸς τὸ περιέχον ὅλον, κάτω δὲ καθ' ὃ τὸ περίττωμα ἀφίησι τὸ πρῶτον. ἔχει δ' ἐναν-*

59-60 cf. 387 a 3–7 || **60-61** cf. 387 a 11–15 || **61-62** cf. 387 a 15–16 || **62-67** cf. 387 a 19–22 || **67-68** cf. 387 a 23–24 || **68-69** cf. 387 a 32–b 6 || **69-70** cf. 388 a 20–24
18 O 415ᵛ–417ᵛ || **2-5** [cf. Mich. In parv. nat. 100,8–20] || **3** *οὗτος πολλάκις*] v. Bonitz, Ind. Arist. s. v. *καρδία*; [cf. Mich. 100,9–12] || **5-34** Arist. Parv. nat. 467 b 28–468 a 28

60 *γλίσχρον* Arist.: *σκλίσχρον* **O** || **64** (et **66**) *κρύσταλος* **O** || **66** *ἰσχυροτέραν* Arist.: comp. ambig. **O** || **67** *θυμιατὰ* Arist.: *θυμιαματὰ* **O** || **69** *ταῦτα* Arist.: *ταύτης* **O**
18 2 *Ἡ τῷ*] *ἤτοι* **O**: corr. Wilson || **3** *κοιλιῶν* scripsi: *νοιλ(̃)* ut vid. **O** || **5** *πέμψιν* **O** || **14** *ἐναντίως* Arist.

τίον τοῖς φυτοῖς τοῦτο καὶ τοῖς ζῴοις· τῷ μὲν γὰρ ἀνθρώπῳ διὰ τὴν 15
ὀρθότητα μάλιστα ὑπάρχει τοῦτο τῶν ζῴων, τὸ ἄνω μόριον πρὸς τὸ
τοῦ παντὸς ἄνω, τοῖς δ' ἄλλοις μεταξύ· τοῖς δὲ φυτοῖς ἀκινήτοις οὖσι
καὶ λαμβάνουσιν ἐκ τῆς γῆς τὴν τροφὴν ἀναγκαῖον ἀεὶ κάτω τοῦτ'
ἔχειν τὸ μόριον. ἀνάλογον γάρ εἰσιν αἱ ῥίζαι τοῖς φυτοῖς καὶ τὸ κα-
λούμενον στόμα τοῖς ζῴοις, δι' οὗ τὴν τροφὴν τὰ μὲν ἐκ τῆς γῆς λαμ- 20
βάνει, τὰ δὲ δι' αὐτῶν.

Τριῶν δὲ μερῶν ὄντων εἰς ἃ διαιρεῖται πάντα τὰ τέλεια τῶν ζῴων,
ἑνὸς μὲν ᾗ δέχεται τὴν τροφήν, ἑνὸς δ' ᾗ τὸ περίττωμα προΐεται,
τρίτου δὲ τούτων τοῦ μέσου, τοῦτο ἐν μὲν τοῖς μεγίστοις τῶν ζῴων
καλεῖται στῆθος, ἐν δὲ τοῖς ἄλλοις τὸ ἀνάλογον, διήρθρωται μᾶλλον 25
ἑτέροις ἑτέρων. ὅσα δ' αὐτῶν ἐστι πορευτικά, πρόσκειται καὶ μόρια
πρὸς ταύτην τὴν ὑπηρεσίαν, οἷς τὸ πᾶν οἴσουσι κύτος, σκέλη τε καὶ
πόδες καὶ τὰ τούτοις ἔχοντα τὴν αὐτὴν δύναμιν. ἀλλ' ἥ γε τῆς θρεπτι-
κῆς ἀρχὴ ψυχῆς ἐν τῷ μέσῳ τῶν τριῶν μορίων καὶ κατὰ τὴν αἴσθησιν
οὖσα φαίνεται καὶ κατὰ τὸν λόγον· πολλὰ γὰρ ζῷα ἀφαιρουμένου 30
ἑκατέρου τῶν μορίων, τῆς τε καλουμένης κεφαλῆς καὶ τοῦ δεκτικοῦ
τῆς τροφῆς, ζῇ μεθ' οὗπερ ἂν ᾖ τὸ μέσον. δῆλον δ' ἐπὶ τῶν ἐντόμων
οἷον σφηκῶν τε καὶ μελιττῶν τοῦτο συμβαῖνον, καὶ τῶν μὴ ἐντόμων
δὲ πολλὰ διαιρούμενα δύναται ζῆν διὰ τὸ θρεπτικόν.

Τῷ μὲν ὑποκειμένῳ τὸ αὐτὸ καὶ ἓν τῷ ἀριθμῷ ἀναγκαῖον εἶναι τὸ 35
ἔχον τὴν ἀρχὴν μόριον τῆς τε αἰσθήσεως καὶ τῆς καθ' ἣν ζῶμεν δυνά-
μεως, ἤγουν τῆς τε θρεπτικῆς καὶ αὐξητικῆς, τῷ λόγῳ δὲ διάφορον·
οὐ γὰρ καθ' ὃ τρέφει καὶ αὔξει, κατὰ τοῦτο καὶ αἰσθάνεται ἤτοι κρί-
νει τὰ αἰσθητά, ἀλλὰ καθ' ὃ μὲν πέττει διὰ τοῦ ἐνόντος ἐν αὐτῇ ἐμ-
φύτου θερμοῦ τὴν τροφὴν ἐξ ἧς τρέφονται καὶ αὔξονται τὰ ζῷα, κατὰ 40
τοῦτο θρεπτικὴ λέγεται εἶναι, καθ' ὃ δὲ ἀντιλαμβάνεται τὰ εἴδη τῶν
αἰσθητῶν καὶ κρίνει αὐτὰ διὰ τὴν τῶν λόγων τῶν αἰσθητῶν δύναμιν
ἣν κατὰ φύσιν ἔχει – ἔχει γὰρ ἡ ψυχὴ τοὺς λόγους τῶν αἰσθητῶν
πάντων –, κατὰ τοῦτο αἰσθητικὴ ἀρχὴ καλεῖται, καθάπερ καὶ τὸ τρί-
γωνον καὶ ὑπὸ τὸ ποιὸν ὡς σχῆμα ἀνάγεται καὶ τὸ μέγεθος, ἓν καὶ τὸ 45
αὐτὸ ὂν τῷ ὑποκειμένῳ, ποιὸν μὲν καθὸ ἐσχημάτισται ἀμβλείᾳ ἢ
ὀξείᾳ ἢ ὀρθῇ γωνίᾳ, μέγεθος δὲ καθὸ διάστασιν ἔχει. ταῦτα γὰρ τῷ

35-37 [cf. Mich. 100,13–14]

16 ante *τὸ ἄνω* habet *τὸ ἔχειν* Arist. || 21 *αὐτῶν* Arist. || 23 *προΐεται* Arist.: *πρίεται* **O** || 25 *δὲ μᾶλλον* Arist. || 27-28 *σκέλη τε καὶ πόδες* Arist.: *σκέλλη τε καὶ πόδας* **O** || 47 *μέγε-θος* scripsi: *μέθοδος* **O**

λόγῳ διάφορα· λόγῳ γὰρ μεγέθει τὸ ποσὸν συνεχές, λόγῳ δὲ σχήματι τὸ ὑπό τινων ὅρων περιέχεσθαι, τρίγωνον δὲ τὸ σχῆμα ὑπὸ τριῶν εὐ-
50 θειῶν περιεχόμενον.

Ἀνάγκη τὴν θρεπτικὴν ψυχὴν ἐνεργείᾳ μὲν ἐν τοῖς ἔχουσιν εἶναι μίαν, δυνάμει δὲ πλείους, ὁμοίως δὲ καὶ τὴν αἰσθητικὴν ἀρχήν· φαίνονται γὰρ ἔχοντα αἴσθησιν τὰ διαιρούμενα αὐτῶν. ἀλλὰ πρὸς τὸ σῴζεσθαι τὴν φύσιν τὰ μὲν φυτὰ δύναται, ταῦτα δ' οὐ δύναται διὰ τὸ
55 μὴ ἔχειν ὄργανα πρὸς σωτηρίαν, ἐνδεᾶ τ' εἶναι τὰ μὲν τοῦ ληψομένου τὰ δὲ τοῦ δεξομένου τὴν τροφήν, τὰ δ' ἄλλων τε καὶ τούτων ἀμφοτέρων.

Ὅτι ἐν τῷ μέσῳ ἐστὶν ἥ τε θρεπτικὴ ψυχὴ καὶ τὸ ἔχον αὐτὴν μόριον, ὡσαύτως δὲ καὶ ἡ αἰσθητική. ἐπειδὴ τῶν ἐν τῷ ζῴῳ μορίων
60 διαφόρων ὄντων διάφοροί εἰσιν αἱ ἐργασίαι, ἄλλη δὲ ἄλλης ἕνεκα, οἷον ἡ [τοῦ στόμα]τος διὰ τὴν τῆς γαστρός, ἡ δὲ τῆς γαστρὸς διὰ τὴν τοῦ ἥπατος, ἡ δὲ τοῦ ἥπατος διὰ τὴν καρδίαν, ἡ δὲ καρδία τὸ [.........]τίθησι τῆς τροφῆς δι' οὗ τὰ τῶν ἄλλων ἔργα προηγήσαντο. αὕτη ἂν εἴη ἡ τὸ τέλος ἐπιθεῖσα τῷ ἔρ[γῳ]. ἰσχυροτάτη ἄρα καὶ ἀκρι-
65 βεστάτη ἡ ταύτης δύναμις. ἐν ταύτῃ οὖν δὴ καὶ τὸ κύριον τῆς θρεπτικῆς ψυχῆς· ἐν γὰρ τῷ τέλει καὶ [....] τὸ ἄριστον καὶ τὸ τοῖς ἄλλοις τὴν οἰκείαν παρέχον τελειότητα, ἀλλ' οὐκ ἐν τοῖς ἀτελέσι καὶ τοῖς ἄλλων δεομένοις πρὸς τὴν τοῦ ἔργου τελειότητα, οὗ ἕνεκα ταῦτά εἰσιν. εἰ οὖν ἐν αὐτῷ τῷ μορίῳ ἡ τῆς θρεπτικῆς δυνάμεως ἀρχή, καὶ τὴν
70 τῆς αἰσθητικῆς ἀνάγκη ἐν αὐτῇ εἶναι, διότι, εἰ ζῷον, ἐξ ἀνάγκης καὶ ζῇ, εἰ δὲ ζῇ, καὶ τρέφεται, ἀλλ' οὐ τὸ ἀνάπαλιν. ἕνεκα οὖν τοῦ ζῴου τὸ ζῆν ἐστιν, ἀλλ' οὐ τοῦ ζῆν τὸ ζῷον. οὗ δὲ τὸ οὗ ἕνεκα, ἐκεῖ καὶ τὸ ἕνεκά του· ὅπου γὰρ τέλος, ἐκεῖ καὶ †αὐλοί†. ταῦτά φησιν ὁ Ἀριστοτέλης· τὸ τῆς ἁφῆς καὶ τὸ τῆς γεύσεως αἰσθητήριον οὐ συντείνει
75 ἤτοι οὐ διήκει διά τινος πόρου πρὸς τὸν ἄνω τόπον ἤτοι τὸν ἐγκέφαλον, τὰ δὲ λοιπὰ ἤτοι τὸ τῆς ὀσφρήσεως καὶ τὸ τῆς ἀκοῆς καὶ τὸ τῆς ὁράσεως καθήκοντας ἔχουσι πόρους πρὸς τὴν καρδίαν. καὶ τοῦτο δῆλον ἐκ τῶν ἀνατομῶν, ὡς ἐν ἄλλοις εἴρηκε. φησὶν οὖν | ὅτι ἡ μὲν 416ᵛ
οὖν οὗ ἅπασαι τείνουσι ἀρχή, ἐκεῖνον εἶναι τόπον κοινὸν τῆς αἰσθη-

51–57 Arist. 468 b 2–9 ‖ 58–65 [cf. Mich. 105, 21–32] ‖ 74–75 cf. Arist. 469 a 11–16 ‖ 76–77 [cf. Mich. 106, 9–12]

61 supplevi conferens Arist. 469 a 3 ‖ 63 fort. *τέλος ἐπιτίθησι*, cf. 64 ‖ 64 supplevi ‖ 65 *δεῖ* **O**: corr. Wk. ‖ 69 *τὴν*] *ἡ* **O**: correxi ‖ 72 *οὐδὲ* **O**: corr. Wk. ‖ 73 fort. *ἀρχή* scribendum ‖ 79 *ἅπασαι τείνουσι ἀρχή* scripsi: *ἅπασα τείνουσα χρή* **O**

σεως ἤτοι αὐτὴν τὴν ἀρχὴν τῆς κινήσεως, οὐχ ὅπου δέ τινες ἀπολεί- 80
πουσιν· ἐν δὲ τῷ ἐγκεφάλῳ ὃν ἄνω τόπον ἐκάλεσεν ἀπολείπουσι τό τε
τῆς ἁφῆς καὶ τὸ τῆς γεύσεως αἰσθητήριον, ἐν δὲ τῇ καρδίᾳ οὐδεμιᾶς
αἰσθήσεως αἰσθητήριον ἀπολείπειν. διὰ ⟨οὖν⟩ τὸ πάσας εἰς αὐτὸ καθ-
ήκειν ἢ ἀμέσως ἢ διὰ μέσων πόρων τινῶν εὔλογον τὴν καρδίαν ἀρχὴν
τῶν αἰσθήσεων εἶναι. τῆς τε αἰσθητικῆς καὶ θρεπτικῆς ψυχῆς ἑκατέ- 85
ρας ἀρχῆς οὔσης καὶ ἐν τῷ μέσῳ τῆς οὐσίας ἤτοι τῆς φύσεως οὐσῶν
ἑκατέρων μάλιστα ἑκάτερον τῶν μορίων τὸ αὐτοῦ ἔργον ποιεῖ διὰ τὴν
γειτνίασιν τῆς ἀρχῆς ἑκατέρας, τό τε γὰρ κατεργαστικὸν καὶ δεκτικὸν
τῆς ἐσχάτης τροφῆς μόριον καὶ τὸ δι' οὗ ἡ τροφὴ λαμβάνεται ἤτοι τὸ
στόμα. ὡς ἓν γὰρ πέρας τοῦτο λαβεῖν χρή, ἕτερον δὲ τὴν γαστέρα, ὃ 90
καὶ δεκτικὸν ἐκάλεσε, σὺν τούτῳ δὲ καὶ τὸ τυφλὸν ἔντερον, ὃ καὶ
κατεργαστικὸν τῆς ἐσχάτης τροφῆς εἶπεν. ἐσχάτην δὲ τροφὴν τὸ πε-
ρίττωμα τῆς πρώτης τροφῆς· οὐ γὰρ εὐθὺς ἅμα τῷ δέξασθαι τὰ ἔν-
τερα τὸ περίττωμα πρὸς ἔκκρισιν ἐγείρεται τούτων, ἀλλὰ πρότερον κατ-
εργάζεται καὶ πέττει καὶ αὐτὰ ἐφ' ὅσον ἱκανόν ἐστι, τὸ δὲ λοιπὸν 95
ἀποκρίνει. οὐχ ὡς μὴ κατεργαζομένης δὲ τὴν τροφὴν τῆς γαστρὸς
εἶπε κατεργάζεσθαι ταύτην ὑπὸ τῆς κάτω κοιλίας, ὅπερ ἐστὶ τὸ τυ-
φλὸν ἔντερον, ἀλλ' ὡς λανθάνοντος τούτου τοῖς πολλοῖς εἴρηκεν. ὡς ἓν
οὖν ληπτέον τὰ δύο ταῦτα, τήν τε γαστέρα καὶ τὴν κάτω κοιλίαν, ὡς
ἄλλο δὲ παρὰ ταῦτα τὸ στόμα. μεταξὺ οὖν τούτων ἐστὶ τὸ μόριον ἐν 100
ᾧ ἐστιν ἥ τε τῆς αἰσθήσεως ἀρχή, ἤγουν αὐτὴ ⟨ἡ⟩ ψυχὴ ἡ αἰσθη-
τική, καὶ ἡ θρεπτική. διὰ τὴν γειτνίασιν οὖν τὴν πρὸς ἑκάτερα τὰ
ἄκρα μᾶλλον δύναται ἑκάτερον τούτων τὸ οἰκεῖον ἔργον ποιεῖν, καὶ
διὰ τοῦτο εἰκὸς ἄρα ἐστὶ τοῦτον τὸν τόπον κατέχειν ἀμφοτέρας τὰς
ἀρχάς. 105

Εἴπερ τὸ ζῷον ὥρισται τῷ τὴν αἰσθητικὴν ἔχειν ψυχήν, τοῖς μὲν
ἐναίμοις ἀναγκαῖον ἐν τῇ καρδίᾳ ταύτην ἔχειν τὴν ἀρχήν, τοῖς δὲ
ἀναίμοις ἐν τῷ ἀνάλογον μορίῳ. πάντα δὲ τὰ μόρια καὶ πᾶν τὸ σῶμα
τῶν ζῴων ἔχει τινὰ θερμότητα φυσικήν· διὸ ζῶντα μὲν φαίνεται
θερμά, τελευτῶντα δὲ καὶ στερισκόμενα τοῦ ζῆν τοὐναντίον. ἀναγ- 110
καῖον δ' εἶναι ταύτης τὴν ἀρχὴν τῆς θερμότητος ἐν τῇ καρδίᾳ τοῖς

84-85 [cf. Mich. 107, 23–25] ‖ **86-90** cf. Arist. 469 a 29–32 ‖ **87-90** [cf. Mich. 108, 8–10] ‖ **91-98** [107, 28–108, 4; 10–13] ‖ **98-103** [108, 4–10] ‖ **106-144** Arist. 469 b 3–470 a 15

83 *οὖν* add. Wk. | *καθείκειν* **O** ‖ **85** *ἑκατέρας* Arist.: *ἑκάτερον* **O** ‖ **86** *μέσῳ* Arist.: *μέρει* **O** ‖ **87** *ἑκάτερα* (bis) **O**: bis correxi ‖ **89** *ἐσχάτης* Wk.: *ἐχούσης* **O** ‖ **98** *τούτου* scripsi: *τοῦτο* **O** ‖ **101** *ἥ τε* scripsi: *ἥτις* **O** | *ἡ* addidi ‖ **103** *ἑκάτερα* (et bis hic scr.) **O**: correxi ‖ **104** *ἀμφότερα* **O**: correxi ‖ **108** *ἀναίμοις* Arist.: *ἐν-* **O**

ἐναίμοις, τοῖς δ' ἀναίμοις ἐν τῷ ἀνάλογον· ἐργάζεται γὰρ καὶ πέττει τῷ φυσικῷ θερμῷ πάντα τὴν τροφήν, μάλιστα δὲ τὸ κυριώτατον. διὸ τῶν μὲν ἄλλων μορίων ψυχομένων ὑπομένει τὸ ζῆν, τὸ δ' ἐν ταύτῃ
115 *φθείρεται πάμπαν διὰ τὸ τὴν ἀρχὴν ἐντεῦθεν τῆς θερμότητος ἠρτῆσθαι πᾶσι, καὶ τῆς ψυχῆς ὥσπερ ἐμπεπυρευμένης ἐν τοῖς μορίοις τούτοις, τῶν μὲν ἀναίμων ἐν τῷ ἀνάλογον, ἐν δὲ τῇ καρδίᾳ τῶν ἐναίμων. ἀνάγκη τοίνυν ἅμα τό τε ζῆν ὑπάρχειν καὶ τὴν τοῦ θερμοῦ τούτου σωτηρίαν, καὶ τὸν καλούμενον θάνατον καὶ τὴν τούτου*
120 *φθοράν.*

Ἀλλὰ μὴν πυρός γε δύο ὁρῶμεν φθοράς, μάρανσίν τε καὶ σβέσιν. καλοῦμεν δὲ τὴν μὲν ὑφ' αὑτοῦ μάρανσιν, τὴν δ' ὑπὸ τῶν ἐναντίων σβέσιν, τὴν μὲν γῆρας, τὴν δὲ βίαιον. συμβαίνει δ' ἀμφοτέρας διὰ ταὐτὸ γίγνεσθαι τὰς φθοράς· ὑπολειπούσης γὰρ τῆς τροφῆς, οὐ δυνα-
125 *μένου λαμβάνειν τοῦ θερμοῦ τὴν τροφήν, φθορὰ γίνεται τοῦ πυρός. τὸ μὲν γὰρ ἐναντίον παῦον τὴν πέψιν κωλύει τρέφεσθαι· ὁτὲ δὲ μαραίνεσθαι συμβαίνει, πλείονος ἀθροιζομένου θερμοῦ διὰ τὸ μὴ ἀναπνεῖν μηδὲ καταψύχεσθαι· ταχὺ γὰρ καὶ οὕτω καταναλίσκει τὴν τροφὴν πολὺ συναθροιζόμενον τὸ θερμὸν καὶ φθάνει καταναλίσκον πρὶν ἐπι-*
130 *στῆναι τὴν ἀναθυμίασιν. διόπερ οὐ μόνον μαραίνεται τὸ ἔλαττον παρὰ τὸ πλέον, ἀλλὰ καὶ αὐτὴ καθ' αὑτὴν ἡ τοῦ λύχνου φλὸξ ἐντιθεμένη ἐν πλείονι φλογὶ κατακαίεται, καθάπερ ὁτιοῦν ἄλλο τῶν καυστῶν. αἴτιον δ' ὅτι τὴν μὲν οὖσαν ἐν τῇ φλογὶ τροφὴν φθάνει λαμβάνουσα ἡ μείζων φλὸξ πρὶν ἐπελθεῖν ἑτέραν, τὸ δὲ πῦρ ἀεὶ διατελεῖ γινόμενον καὶ*
135 *ῥέον ὥσπερ ποταμός, ἀλλὰ λανθάνει διὰ τὸ τάχος. δῆλον τοίνυν ὡς, εἴπερ δεῖ σῴζεσθαι τὸ θερμόν – τοῦτο δ' ἀναγκαῖον, εἴπερ μέλλει ζῆν –, δεῖ γίγνεσθαί τινα τοῦ θερμοῦ τοῦ ἐν τῇ ἀρχῇ κατάψυξιν. παράδειγμα δὲ τούτου λαβεῖν ἔστι τὸ συμβαῖνον ἐπὶ τῶν καταπνιγομένων ἀνθράκων· ἂν μὲν γὰρ ὦσι περιπεπωμασμένοι τῷ καλουμένῳ πνίγει*
140 *συνεχῶς, ἀποσβέννυνται ταχέως· ἐὰν δὲ παράλληλά τις ποιῇ πυκνὰ τὴν ἀφαίρεσιν καὶ τὴν ἐπίθεσιν, μένουσι πεπυρωμένοι πολὺν χρόνον. ἡ δὲ κρύψις σῴζει τὸ πῦρ· οὔτε γὰρ ἀποπνεῖν κωλύεται διὰ μανότητα τῆς τέφρας, ἀντιφράττει τε τῷ πέριξ ἀέρι πρὸς τὸ μὴ σβεννύναι τῷ πλήθει τῆς ἐνυπαρχούσης αὐτῷ θερμότητος.*

114 *τὸ*[1]] *τοῦ* Arist. ‖ **115** *ἠρτῆσθαι* Arist.: *-εῖσθαι* **O** ‖ **116** *ἐμπεπυρευμένης* Arist.: *ἐμπεπειραμένοις* **O** ‖ **117** *ἐναίμων* Arist. (praeter unum cod.): *ἀν-* **O** ‖ **123** *γῆρᾳ* Arist. ‖ **126** *ὁτὲ* Arist.: *ὅτε* **O** ‖ **129** *ἐπιστῆναι* Arist.: *ἐπισθῆναι* **O** ‖ **131** post *πλέον* add. *πῦρ* Arist. ‖ **132** *ὁτιοῦν* Arist.: *ὁ τοιοῦν* **O** ‖ **139** *περιπεπωμασμένοι* Arist.: *-πεπωπ-* **O** | *πνίγει*] cf. l. 145: *πνιγεῖ* Arist. ‖ **144** *αὐτῷ* Arist.: *αὐτὸ* **O**

Πνίγμα ἐκάλεσε τὴν δι' ὀστράκου ἐπιπώμασιν τοῦ ἀγγείου τοῦ 145
ἔχοντος τοὺς ἄνθρακας, κρύψιν δὲ τὴν διὰ τῆς τέφρας ἐπικάλυψιν.
καί φησι ταύτην μὲν σῴζειν τὸ πῦρ διὰ τὴν μανότητα, ἀναπνεομένου
τοῦ πολλοῦ θερμοῦ καὶ μὴ καταναλίσκοντος ταχὺ τὴν τροφὴν ἐξ ἧς
προσεχῶς τὸ σύμμετρον τρέφεται πῦρ, τὴν δὲ διὰ τοῦ ὀστράκου ἐπι-
417ʳ *κάλυψιν | μὴ σῴζειν τὸ πῦρ διὰ τὸ πυκνὸν καὶ στεγανὸν τοῦ* 150
ὀστράκου, μὴ δυναμένου τοῦ πολλοῦ θερμοῦ διαπνέεσθαι, καὶ διὰ
τοῦτο φθείρεσθαι τὸ πῦρ – ἣν φθορὰν μάρανσιν καλεῖ –, τῷ πλήθει
τοῦ θερμοῦ ταχὺ τὴν τοιαύτην τροφὴν καταναλίσκοντος, μὴ δυναμένης
ἑτέρας ἐπιχορηγηθῆναι τροφῆς· τὸ γὰρ πῦρ ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶ-
ναι. εἴη γὰρ καθάπερ ὕδωρ τηκομένης χιόνος ἄλλου καὶ ἄλλου γινο- 155
μένου, καὶ ὥσπερ ἐν τούτῳ οὐκέτι ὕδωρ γίνεται τακείσης ὅλης τῆς
χιόνος, οὔτε ἐκεῖ πῦρ δαπανηθέντος τοῦ ὑπεκκαύματος. ἀλλ' ἐπὶ μὲν
τοῦ ὕδατος καὶ τακείσης πάσης τῆς χιόνος μένει τὸ γεγονὸς ὕδωρ, ἐπὶ
δὲ τοῦ πυρὸς φθαρέντος τοῦ ὑπεκκαύματος οὐκέτι σῴζεσθαι δύναται,
ὡς ἐν τούτῳ τὸ ὅλον ἔχοντος, ἐν τῷ γίνεσθαι ἤτοι τρέφεσθαι. 160
Ἐπειδὴ τὰ φυτὰ ὀλίγον ἔχει τὸ ἔμφυτον θερμὸν ὡς πρὸς μέγεθος ἢ
τὰ ζῷα, ἱκανή ἐστιν ἡ ἀπὸ τῆς τροφῆς κατάψυξις μετὰ τῆς ἀπὸ τοῦ
περιέχοντος ἐμψύχειν τὸ ἔμφυτον θερμόν· καὶ γὰρ ἡ τροφὴ πρὶν ἀπὸ
τοῦ ἐμφύτου θερμοῦ κρατηθῆναι ψύχει εἰσελθοῦσα τὸ πρῶτον καὶ ἐπ'
αὐτῶν τῶν ζῴων, ὥστε διὰ τὴν ὀλιγότητα τοῦ ἐμφύτου θερμοῦ ἐπὶ 165
τῶν φυτῶν ἱκανή ἐστιν ἡ ἀπὸ τῆς τροφῆς κατάψυξις βοηθεῖν τῷ
θερμῷ πρὸς τὸ μὴ φθαρῆναι, κωλύει τὴν αὔξησιν τούτου.
Ἐπεὶ πᾶν ζῷον ἔχει ψυχήν, οὐκ ἄνευ δὲ φυσικῆς θερμότητος, τοῖς
φυτοῖς ἡ τροφὴ βοήθεια τοῦ θερμοῦ. τῶν δὲ ζῴων τῶν τε ἐνύδρων
καὶ ἀερίων ἀὴρ καὶ ὕδωρ αἴτια τῆς καταψύξεως· ἡ τροφὴ γὰρ ποιεῖ 170
κατάψυξιν, ἡ δὲ νηστεία θερμαίνει καὶ δίψαν ποιεῖ· ἀκίνητος γὰρ ὢν
ὁ ἀὴρ θερμαίνεται, τῇ δὲ τροφῇ ψύχεται κινούμενος ἕως ἂν λάβῃ τὴν
πέψιν. ἐὰν δὲ ἢ τὸ περιέχον γιγνομένων πάγων ἐξαναίνηται ἢ τοῦ
θέρους ἰσχυρὰ συμβαίνῃ καύματα καὶ μὴ δύνηται τὸ σπώμενον ἐκ τῆς
γῆς ὑγρὸν καταψύχειν, φθείρεται μαραινόμενον τὸ θερμόν, καὶ λέγεται 175

145 [cf. Mich. 110, 17–18] ‖ **146** [110, 27] ‖ **154–157** [110, 10–14] ‖ **161–164** cf. Arist. 470 a 19–23; [Mich. 111, 27–29] ‖ **168–169** Arist. 470 a 19–22 ‖ **169–170** cf. 470 b 1–4 ‖ **170–178** 470 a 22–b 1

145 *διοστράκου ἐπιπόμασι* **O**: correxi ‖ **147** *σώζει* **O**: correxi ‖ **158** *ἐπὶ* scripsi: *ἐπεὶ* **O** ‖ **162** *τῆς*² scripsi: *τὴν* **O** ‖ **173** *ἢ*¹] *ἡ* **O** | *ἐξαναίνηται* scripsi: *-εται* **O** ‖ **174** *συμβαίνῃ* Arist.: *-ει* **O**

σφακελίζειν καὶ ἀστρόβλητα γίνεσθαι τὰ δένδρα περὶ τοὺς καιροὺς τούτους. διὸ καὶ γένη τινὰ λίθων ταῖς ῥίζαις ὑποβάλλουσι καὶ ὕδωρ ἐν ἀγγείοις, ὅπως αἱ ῥίζαι ψύχωνται τῶν φυτῶν.

Ὅτι μὲν οὖν ὅσα πνεύμονα ἔχει τῶν ζῴων ἀναπνεῖ πάντα, φανερόν.
180 ἀλλὰ καὶ τούτων αὐτῶν ὅσα μὲν ἄναιμον ἔχει τὸν πνεύμονα καὶ σομφόν, ἧττον δέονται τῆς ἀναπνοῆς· διὸ πολὺν χρόνον δύνανται διαμένειν παρὰ τὴν τοῦ σώματος ἰσχύν. τὸν δὲ πνεύμονα σομφὸν ἔχει πάντα τὰ ᾠοτοκοῦντα, οἷον τὸ τῶν βατράχων γένος. ἔτι δὲ αἱ μῦδες τε καὶ χελῶναι πολὺν χρόνον μένουσιν ἐν τοῖς ὑγροῖς· ὁ γὰρ πνεύμων
185 ὀλίγην ἔχει θερμότητα· ὀλίγαιμον γὰρ ἔχει αὐτόν· ἐμφυσώμενος οὖν αὐτὸς τῇ κινήσει καταψύχει καὶ ποιεῖ διαμένειν πολὺν χρόνον. ἐὰν μέντοι βιάζηταί τις λίαν κατέχων πολὺν χρόνον, ἀποπνίγονται πάντα· οὐθὲν γὰρ τῶν τοιούτων δέχεται τὸ ὕδωρ ὥσπερ οἱ ἰχθύες. τὰ δ' ἔναιμον ἔχοντα τὸν πνεύμονα μᾶλλον δεῖται τῆς ἀναπνοῆς διὰ τὸ
190 πλῆθος τῆς θερμότητος· τῶν δ' ἄλλων ὅσα μὴ ἔχῃ πνεύμονα οὐθὲν ἀναπνεῖ.

Δημόκριτος δὲ ὁ Ἀβδηρίτης καί τινες ἄλλοι τῶν περὶ ἀναπνοῆς εἰρηκότων οὐδὲν περὶ τῶν ἄλλων διωρίκασι ζῴων, ἐοίκασι μέντοι λέγειν ὡς πάντων ἀναπνεόντων. Ἀναξαγόρας δὲ καὶ Διογένης, πάντα φά-
195 σκοντες ἀναπνεῖν, περὶ τῶν ἰχθύων καὶ τῶν ὀστρείων λέγουσι τίνα τρόπον ἀναπνέουσιν. ὅταν ἀφῶσι τὸ ὕδωρ οἱ ἰχθύες διὰ τῶν βραγχίων τὸ ὂν ἐν τῷ στόματι, γίνεται τότε τὸ στόμα κενὸν ὕδατος, ἀλλ' οὐ κενὸν πάντῃ, τότε δὲ ἕλκει τὸν ἐν τῷ ὕδατι ἀέρα διὰ τοῦ στόματος, καὶ οὕτως γίνεσθαι τὴν ἀναπνοὴν αὐτοῖς φασιν. ὅταν δέξωνται τὸ
200 ὕδωρ οἱ ἰχθύες ἢ κατὰ τὸ στόμα ἢ κατὰ τὰ βράγχια, τότε ἐκπνέουσιν, ὥστε συμβαίνει καθὸ μὲν δέχονται τὸ ὕδωρ ἀναπνεῖν, καθὸ δὲ ἐξάγουσι τὸν ἀέρα ἐκπνεῖν. συμβήσεται ἄρα κατὰ ταὐτὸν ἐκπνεῖν τε καὶ εἰσπνεῖν, ὅπερ ἀδύνατον.

Ἔτι τὸ φάναι ἀέρα ἥκειν ἐκ τοῦ στόματος ἢ ἐκ τοῦ ὕδατος διὰ τοῦ
205 στόματος ἀδύνατον· οὐ γὰρ ἔχει ἀρτηρίαν διὰ τὸ πνεύμονα μὴ ἔχειν, ἀλλ' εὐθὺς ἡ κοιλία πρὸς τὸ στόμα ἐστίν, ὥστ' ἀναγκαῖον τῇ κεφαλῇ

179–199 470 b 12–471 a 5 ‖ 199–203 471 a 14–17; [Mich. 114, 23–30] ‖ 204–223 Arist. 471 a 20–471 b 12

183 *μῦδες* ut nonnulli codd. Arist.: *ἐμύδες* Arist. ‖ 184 *τε* Arist.: *δὲ* **O** ‖ 185 *ἐμφυσώμενος* Arist.: *ἐμφυσσόμενος* **O** ‖ 190 *ἔχει* Arist. ‖ 193 *μέντοι* Arist.: *μὲν τὸ* **O** ‖ 196 *τῶν* Arist.: *τῶ* ut vid. **O** ‖ 197 *ὂν*] *ἓν* **O**: correxi ‖ 204 *ἥκειν*] *ἕλκειν* Arist. ‖ 206 *τῷ στόματι* Arist. | *κεφαλῇ*] *κοιλίᾳ* Arist.

ἕλκειν. τοῦτο δὲ κἂν τἆλλα ἐποίει ζῷα· νῦν δὲ οὐ ποιοῦσι. κἂν ἐκεῖνα δ' ἔξω τοῦ ὑγροῦ ὄντα ἐπιδήλως ἂν αὐτὸ ἐποίει· φαίνεται δ' οὐ ποιοῦντ' αὐτό. ἔτι πάντων τῶν ἀναπνεόντων καὶ ἑλκόντων τὸ πνεῦμα ὁρῶμεν γινομένην κίνησίν τινα τοῦ μορίου τοῦ {δ'} ἕλκοντος, ἐπὶ δὲ 210 *τῶν ἰχθύων οὐ συμβαῖνον· οὐθὲν γὰρ φαίνονται κινοῦντες τῶν περὶ τὴν κοιλίαν ἀλλ' ἢ τὰ βράγχια μόνον, καὶ ἐν τῷ ὑγρῷ καὶ εἰς τὸ ξηρὸν ἐμπεσόντες, ὅταν ἀσπαρίζωσιν. ἔτι ὅταν ἀποθνήσκῃ πνιγόμενα ἐν τοῖς ὑγροῖς πάντα τὰ ἀναπνέοντα, γίνονται πομφόλυγες τοῦ πνεύματος ἐξιόντος βιαίως, οἷον ἐάν τις βιάζηται χελώνας ἢ βατράχους ἢ* 215 *ἄλλο τι τῶν τοιούτων γενῶν· ἐπὶ δὲ τῶν ἰχθύων οὐ συμβαίνει πειρωμένοις πάντα τρόπον, ὡς οὐκ ἐχόντων πνεῦμα θύραθεν οὐθέν. ὅν τε τρόπον λέγουσι γίνεσθαι τὴν ἀναπνοὴν αὐτοῖς, ἐνδέχεται καὶ τοῖς ἀνθρώποις οὖσιν ἐν τῷ ὑγρῷ συμβαίνειν· εἰ γὰρ καὶ οἱ ἰχθύες ἕλκουσιν ἐκ τοῦ πέριξ ὕδατος τῷ στόματι, οὐκ ἂν ποιοῖμεν καὶ οἱ ἄνθρωποι καὶ* 220 417ᵛ *τὰ ἄλλα ζῷα, καὶ τὸν ἐκ τοῦ στόματος δ' ἂν ἕλκοιεν ὁμοίως | τοῖς ἰχθύσιν. ὥστ' εἴπερ κἀκεῖνα ἦν δυνατά, καὶ ταῦτα ἦν· ἐπεὶ δὲ οὐκ ἔστι, δῆλον ὡς οὐδ' ἐπ' ἐκείνων ἐστί. πρὸς δὲ τούτοις διὰ τίνα αἰτίαν* ⟨***⟩.

⟨***⟩ *προτέρα ἡ ἐκπνοὴ τῆς εἰσπνοῆς· θερμανθέντος γὰρ τοῦ ἐντὸς* 225 *καὶ δεηθέντος καταψύξεως εἰσῆλθε ψυχρὸς ἀήρ. ψεῦδος τὸ τροφὴν εἶναι τοῦ ἐμφύτου θερμοῦ καὶ ἐντὸς ψυχρὸν ὄντα· τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων τροφῶν οὐχ ὁρῶμεν γινόμενον· δι' ἄλλου γάρ, ἤγουν τοῦ στόματος, εἴσεισιν ἡ τροφὴ καὶ δι' ἄλλου ἔξεισιν. ἐπὶ δὲ τῆς εἰσπνοῆς τοῦτ' οὐκ ἔστιν. τὸ ἐκπνεόμενον θερμόν, τὸ εἰσπνεόμενον ψυχρόν.* 230 *Ἀναξαγόρας· τῶν βραγχίων ἀποβιαζομένων τῶν ἰχθύων τὸ ὕδωρ πνευματοῦται καὶ οὕτως γίνεται ἡ ἀναπνοὴ διὰ τοῦ στόματος. καὶ μυκτήρων μὴ ὄντων ἡ στέρησις τῆς κατὰ τὴν ἀρτηρίαν ἀναπνοῆς ποιεῖ θάνατον, οὐχ ἡ τῆς διὰ μυκτήρων. οἱ μυκτῆρες ὀσφρήσεως ἕνεκα, οὐκ ἀναπνοῆς. πάντα ὀσφραίνεται ἐκτὸς σκωλήκων, ὀστρέων καὶ τῶν λοι-* 235

225–230 cf. 472 b 20–21; 34–35; cf. 473 a 3–14; [Mich. 122, 19–123, 3] ‖ **231–232** [cf. Mich. 122, 1–2] ‖ **232–234** cf. Arist. 473 a 21–23 ‖ **235** sq. [cf. Mich. 123, 18–19]

208 *ποιοῦντ'* Arist.: *-τες* **O** ‖ **210** *τοῦ*² Arist.: *τοῦ δ'* **O** ‖ **211** *φαίνονται* Arist.: *-εται* **O** ‖ **212** *εἰς* Arist.: *εἰ* **O** ‖ **214** *πομφόλυγες* Arist.: *πομφάλιγγες* **O** ‖ **216** *ἀλλ' ὅτι* **O** | *πειρωμένοις* Arist.: *πειρώμενα* **O** ‖ **220** *ποιῆμεν* **O** ‖ **221** an *ἕλκοιμεν* legendum? ‖ **222** *καὶ* Arist.: *κατὰ* **O** ‖ **224–225** lac. indicavi ‖ **227** *ὄντα* scripsi (sc. *τὸν ἀέρα*): *ὧν* (pro *ὢν*?) **O** ‖ **233** *τῆς κατὰ τὴν* Arist.: *τὴν κατωτάτην* ut vid. **O** ‖ **234** *ἡ τῆς* temptavi: *ὁ* **O** ‖ **235** *πάντα* Arist.: *πάντως* **O**

πῶν. τοῖς ἐντόμοις †ἡ τομὴ† ὄσφρησις. ἔν τισι φλεψίν ἐστιν αἷμα, οὐ πλήρεις δ' εἰσὶν αἵματος, ἔχουσι δὲ πόρους· διὸ τοῦ αἵματος κινουμένου ἄνω καὶ κάτω, ἄνω γίνεται ἀναπνοή, κάτω ἐκπνοή. αἱμάτων πλήρεις ἄλοκες ἤγουν φλέβες. ἐν τῇ ἐκπνοῇ ἐκτείνεται τὸ αἷμα, ἐν τῇ
240 εἰσπνοῇ συστέλλεται. εἰ †ὡς μέγ( )† καὶ τὰ λοιπὰ ἔντομα ἀνέπνεον, ἐπνίγοντο ἂν ἐν τοῖς ὕδασι. τὰ μικρὰν ἔχοντα δύναμιν προσηνότερον ἀναπνεῖ. πόδας καὶ βράγχια ἔχει ὁ καλούμενος κορδύλος, ἅμα δὲ πόδας καὶ βράγχια οὐδὲν ἄλλο ὦπται ἔχον. τοῖς τετράποσι καὶ ἐναίμοις ἐστὶν ἡ ἐπιγλωττὶς μόνοις. ὁ αὐλὸς γέγονε τοῖς ἰχθύσιν ὡς ἂν
245 δεχομένοις τὸ ὕδωρ ἐξ ἀνάγκης διὰ τὸ ἐν τῷ ὑγρῷ ἔχειν τὸν βίον. ἐν ἅπασι τοῦτο δι' αὐτοῦ, καὶ μὴ ἐμποδίζηται ὁ ἀὴρ ἐν τῇ εἰσόδῳ τῆς ἀναπνοῆς, οὐχ ἕνεκα καταψύξεως· ὀλιγόθερμα γάρ εἰσι. καρκίνοι καὶ κάραβοι διὰ τῶν ἐπιπτυγμάτων ἀφιᾶσι τὸ ὕδωρ, σηπίαι καὶ πολύποδες διὰ τοῦ κοίλου τῆς κεφαλῆς. τὰ φυτὰ ἐκ πλείονος ⟨γῆς⟩ γέγονε, τὰ
250 ἔνυδρα ἐξ ὕδατος, πτηνὰ ἐξ ἀέρος, πεζὰ ἐκ πυρός. Ἐμπεδοκλῆς τὰ ἔνυδρα πῦρ φησιν ἔχειν πολύ, ὅθεν καὶ ἐν ψυχρῷ φεύγει, οὐ καλῶς· τῶν γὰρ ἕξεων ⟨τοῖς⟩ τὰς ὑπερβολὰς ἔχουσιν οἱ ἐναντίοι ἁρμόττουσιν τόποι καὶ ὧραι, ἡ δὲ φύσις ἐν τοῖς ἰδίοις σῴζεται τόποις. [....] ὕλη καὶ ἕξις καὶ διάθεσις. αἱ μὲν οὖν φύσεις ὕδατι ψυχραί, τῇ γῇ ξηραί,
255 ἀέρι θερμαί· ἕξεις αἱ μὲν ὑπερβάλλουσαι θερμότητι ἐν ψυχρῷ, αἱ δὲ τῇ ψυχρότητι ἐν θερμῷ τιθέμεναι σῴζονται μᾶλλον. κοινὰς ὥρας καλεῖ Ἀριστοτέλης τὰς τέσσαρας διὰ τὸ ἐνδέχεσθαι ἰδιαζούσας καταστάσεις γίνεσθαι ἐναντίας τῆς καθόλου ὥρας, οἷον θερινὴν ἐν χειμῶνι καὶ ἀνάπαλιν. ὅσα ἐναιμότατον ἔχουσι τὸν πνεύμονα, ταχείας δέονται τῆς
260 καταψύξεως. τὰ καρδίαν ἔχοντα, πνεύμονα δὲ μή, οἱ ἰχθύες, διὰ τὸ

236–238 cf. Arist. 473 b 1–8 || **239** *ἄλοκες ἤγουν φλέβες*] [cf. Mich. 124, 18–20] || **240–241** [cf. Mich. 131, 23 sqq.; 132, 5–7] || **241–242** Arist. 475 b 2 || **242–243** 476 a 5–7 || **243–244** 476 a 33–34 || **244–249** cf. 476 b 13–477 a 5 || **249–253** cf. 477 a 27–30; 477 a 32–477 b 4; 477 b 14–16 || **253–254** cf. 477 b 17–18 || **254–256** cf. 477 b 30–478 a 3 || **259–261** cf. 478 a 28–34

237 *πλήρεις ... αἵματος* Arist.: *πλήρης ... αἷμα* **O** || **239** *ἄλωκες* **O** || **240** sec. Mich. (132, 6) exspectaveris *αἱ μυῖαι* || **241** *ἂν*] *ἓν* **O**: correxi | *μικρὰν* Arist.: *μικρὰ* **O** | *πυκνότερον* Arist. || **242** *βράγχιον* codd. Arist. | *κορδύλος* Arist.: *κόρδαλλος* **O** || **243** *πόδας*] *πνεύμονα* Arist. || **246** *δι' αὐτοῦ*] *διὰ ταὐτό* Arist. | *καὶ*] an *ὅπως* vel sim. legendum? || **248** *σηπίαι* Arist.: *ἀλπίαι* ut vid. **O** || **249** *γῆς* Arist. (praeter unum cod.): om. **O** || **251** *πολύ* scripsi: *πολοῖς* ut vid. **O**: *πλεῖστον* Arist. || **252** *τοῖς* addidi | *ἁρμόττουσιν*] aliter Arist. || **253** an *οὐ ταὐτὸν* supplendum? cf. Arist. 477 b 17–18 || **255–256** *αἱ ... τιθέμεναι* Arist.: *ὡς ... τιθέμενα* **O** || **260** *τὰ* Arist.: *τὴν* **O**

*ἔνυδρα γοῦν εἶναι, τῷ ὕδατι ποιοῦνται τὴν κατάψυξιν. ᾗ νεύουσι τὰς κεφαλὰς τὰ ζῷα, ἐκεῖ τὸ ὀξὺ ἡ καρδία ἔχει, τοῖς ἰχθύσι πρὸς τὸ στόμα καὶ τοῖς πεζοῖς. θάνατος ὁ μὲν βίαιος ἔξωθεν, ὁ δὲ κατὰ φύσιν ἐν αὐτῷ. τῶν φυτῶν αὔανσις, τοῖς ζῴοις γῆρας. ⟨***⟩ ἔκλειψις τοῦ θερμοῦ, τοῖς δὲ τελείοις ἐν ᾧ τῆς οὐσίας ἡ ἀρχή, ἐν ᾧ τό τε ἄνω καὶ* 265 *κάτω συνάπτει, τοῖς φυτοῖς μέσον βλαστοῦ καὶ ῥίζης, τοῖς ἐναίμοις ἡ καρδία, τοῖς ἀναίμοις τὸ ἀνάλογον. τῶν ἐναίμων ὅσα μὴ σωματικῶς πολὺν χρόνον ζῶσιν ἐξῃρημένης τῆς καρδίας, οἷον αἱ χελῶναι. εἰ πάθος τι συμβαίνει τοῖς βραγχίοις ἢ τῷ πνεύματι, ἀπόλλυται τὸ ὑποκείμενον· καταμαραῖνον γὰρ τὸ πῦρ.* 270

Γένεσίς ἐστιν ἡ πρώτη μέθεξις ἐν τῷ θερμῷ τῆς θρεπτικῆς ζωῆς, ζωὴ ἡ μονὴ ταύτης. νεότης ἡ τοῦ πρώτου καταψυκτικοῦ μορίου αὔξησις, γῆρας ἡ τούτου φθίσις, ἀκμὴ τὸ τούτου μέσον. περιττωματικὴ κατάψυξις ἡ δι' ἐπιρροὴν ὑγροῦ χυμοῦ, συντηκτικὴ ἡ κατὰ δυσκρασίαν. πήδησις τὸ κατὰ συστολὴν τοῦ θερμοῦ γινόμενον τῇ καρδίᾳ ἔξαλμα. 275 *ζέσις πνευματουμένου τοῦ ὑγροῦ ὑπὸ τοῦ θερμοῦ. ἐν τῇ καρδίᾳ ἡ τοῦ ἀεὶ προσιόντος ἐκ τοῦ ὑγροῦ διὰ τῆς θερμότητος ὄγκωσις ποιεῖ σφυγμόν. καὶ ἀναθυμίασις πλείων τοῖς νεωτέροις, ὅτι σφύζουσιν αἱ φλέβες πᾶσαι καὶ ἅμα. ἀναπήδησίς ἐστιν ἡ γινομένη ἄντωσις πρὸς τὴν τοῦ ψυχροῦ σύνωσιν, σφύξις ἡ τοῦ ὑγροῦ θερμαινομένου πνευμάτωσις.* 280 *τοῖς ἔχουσι πνεύμονα τὸ ζῆν καὶ μὴ ζῆν ἐστιν ἐν τῷ ἀναπνεῖν. τῶν περὶ φύσεως πραγματευθέντων οἱ χαριέστατοι σχεδὸν τελευτῶσιν εἰς τὴν ἀρχὴν τῆς ἰατρικῆς. οὐκ ἀφυῶς ἔχει ἡ καρδία καὶ ὁ πνεύμων πρὸς τὸ δέξασθαι σχῆμα, ὡς αἱ τῶν χαλκέων φῦσαι. ὁ ἀνάλογος ἀὴρ ζῳογονεῖ τὸ ζῷον, ὁ δὲ πλείων ἢ ἐλάττων πνίγει.* 285

261–263 478 b 4–7 ‖ **263–264** 478 b 24–26 ‖ **264** 478 b 27–28 ‖ **264–267** 478 b 32–479 a 1 ‖ **267–268** 479 a 4–5 ‖ **268–270** 479 a 10–15 ‖ **271–273** 479 a 29–32 ‖ **273–274** cf. 479 b 20–21 ‖ **276** 479 b 31–32 ‖ **276–278** 480 a 2–4 ‖ **278–279** 480 a 10–11 ‖ **279–280** 480 a 13–15 ‖ **281** 480 b 19–20 ‖ **281–283** 480 b 28–30 ‖ **283–284** 480 a 20–23

264 *τοῖς φυτοῖς* Arist. | *αὔανσις* Arist.: *αὔενσις* **O** | excidit pars textus Arist. ‖ **267** *ἀναίμοις* Arist.: *ἐν-* **O** | *σωματικῶς*] *ζωτικὰ* Arist. ‖ **272** *μονὴ* Arist.: *μόνως* **O** | *πρώτου* Arist.: *-ως* **O** | *αὔξησις* Arist.: *ἄρξει* **O** ‖ **273** *τούτου*[2]] *τούτων* Arist. ‖ **279** post *ἅμα* add. *ἀλλήλαις* Arist. | *ἄντωσις* Arist.: *ὄγκωσις* **O** ‖ **280** *σύνωσιν* Arist.: *σύνεσιν* **O** ‖ **284** *φῦσαι* Arist.: *φύσσαι* **O**

19

Τοῦ Ψελλοῦ [de meteorologicis]

*Ὁ μέντοι περὶ τῆς ἴριδος λόγος, περὶ ἧς δὴ πρώτης τήμερον ἠρωτή-
κατε, ἐς ἄλλην ἡμέραν ἀναβεβλήσθω· πολὺς γάρ ἐστι καὶ ποικίλος καὶ
πλείστης δεόμενος ἐξετάσεως· τῶν γὰρ ἐν τοῖς μετεώροις λεγομένων
5 τουτί μοι δοκεῖ τὸ θεώρημα μόνον βασάνου δεῖσθαι πολλῆς καὶ γραμ-
μικῶν ἀποδείξεων. διὸ ἡ μὲν ἶρις μετὰ τῆς ἅλω εἰς ἕτερον τεταμιεύ-
σθω καιρόν· περὶ δὲ τῶν ἄλλων ὧν προεβάλλετε φυσιολογητέον καὶ
διερμηνευτέον εἰς δύναμιν. εἰσὶ δὲ ταῦτα· ποταπὸν τὸ τῆς ἀστραπῆς
πῦρ καὶ ὁπόθεν ἅλλεται, καὶ εἰ πᾶν πῦρ ἐκ νεφῶν καταρρηγνύμενον
10 καυστικόν, καὶ διὰ τί τὰ μὲν τῶν ἐκεῖθεν πυρσῶν ὁρᾷ πρὸς τὰ σώ-
ματα, τὰ δὲ διὰ μέσων αὐτῶν χωροῦντα οὐκ ἐπιδείκνυνται τὴν ἐνέρ-
γειαν, καὶ εἰ ὁ λεγόμενος παρ' ἐνίων λόγος, ὡς ἄρα τὸ τῶν δρακόντων
γένος τὸ τῆς ἀστραπῆς πεφόβηται πῦρ, ἀληθής, ἢ καὶ ἡ τοιαύτη φλὸξ
τῷ δράκοντι ἀντιμάχεται καὶ προαιρετικαῖς ὥσπερ δυνάμεσιν ἀνυπο-
15 στάτῳ φέρεται πρὸς ἐκεῖνον φορᾷ· τίνα τε τὰ θεώμενα ἐν ταῖς παρὰ
τῶν ἀστραπῶν καύσεσιν, ἃ δή ποτε μὲν τόδε τὸ ζῷον, ποτὲ δὲ ἐκεῖνο
μεμίμηνται· οἱ δὲ συριγμοὶ τίνες οἵ τε γρυλλισμοὶ καὶ οἱ ἀρασμοί, οἳ
δὴ καὶ μάλιστα περὶ τοὺς πρηστῆρας τῶν κεραυνῶν ἐξακούονται·
ἔπειτα καὶ περὶ ὑετοῦ διαληπτέον ἡμῖν, ὁπόθεν τε καὶ οὗτος ἐπὶ γῆν
20 καταφέρεται καὶ ποίαν ὕλην ὑποβέβληται.*

Χρὴ οὖν ὑμᾶς περὶ πάντων τοῦτο εἰδέναι κοινῶς, ὡς συμπάσης τῆς

19 O c^{4} **v**^{25} (= **λ**) **v**^{26}**p**^{11}**Lh**^{1}**m**^{15} (= **μ**) **v**^{27}**G**(**m**^{23}**m**^{14}) [**v**^{37}](= **π**) (**κ** = consensus **λμ**) ‖ 6–7 cf. infra op. 23; Psell. Omn. doct. 142–143

19 1 tit. *τοῦ ψελλοῦ* **O**: *Περὶ διαφορᾶς νοσημάτων προβληθέντων παρὰ τῶν μαθητῶν. εἰσὶ δὲ ταῦτα.* sequitur 8 *ποταπὸν* – 11 *ἐνέργειαν* ut pars tituli **c**^{4}: *⟨ψ⟩ελλοῦ ἐκ τῶν μετεώρων τοῦ ἀριστοτέλους* **v**^{25}: *τοῦ σοφωτάτου ψελλοῦ περὶ μετεωρολογιῶν ἤτοι περὶ ἀστραπῶν βροντῶν καὶ τῶν ὁμοίων παθῶν* **v**^{26}**p**^{11}: nullum tit. praebet **L**: *τοῦ φιλοσόφου κύρου μιχαὴλ τοῦ ψελοῦ σύνοψις περὶ τοῦ τῆς ἀστραπῆς πυρὸς καὶ βροντῆς καὶ κεραυνῶν καὶ ἑτέρων μετεώρων ἐρωτήσεων* **h**^{1}**m**^{15}: *τοῦ λογιωτάτου καὶ σοφωτάτου ψελλοῦ ἑρμηνεία περὶ ὑετοῦ καὶ πάχνης καὶ χιόνος καὶ χαλάζης, ἀστραπῶν τε καὶ κεραυνῶν καὶ βροντῶν καὶ δρακόντων* **v**^{27}: *τοῦ ὑπερτίμου ψελλοῦ περὶ ὑετοῦ ἀστραπῆς καὶ βροντῆς* **Gm**^{23}**m**^{14} ‖ 2 *Ὁ* – 8 *ταῦτα*] *Ἠρωτήκατέ με φίλτατοι παῖδες* **π** ‖ 7 *προεβάλλετε* **v**^{25}: *προεβάλλεται* **c**^{4}: *προεβάλ(λ)ετο* **h**^{1}**m**^{15}: *προβάλλεσθε* **O**: *προεβάλετε* **v**^{26}**p**^{11}**L** ‖ 14 *προαιρετικαῖς … δυνάμεσιν* **κ**: *προαιρετικῇ … δυνάμει* **v**^{27}: *προαιρετικῶς … δυνάμει* **G** ‖ 15 *θεωρούμενα* **π** | *παρὰ* **O v**^{26}**p**^{11}**v**^{27}: *περὶ* cett. ‖ 16 *τόδε*] *τοῦτο* **v**^{25} **π** ‖ 17 *μεμίμηται* **π** | *ἀρασμοί* **O G**: *ἀρρ-* **c**^{4} **v**^{26}**p**^{11}**L**: *ἁρμοί* **v**^{25}: om. **h**^{1}**m**^{15}**v**^{27} ‖ 18 *καὶ* om. **π** ‖ 21 an *παρὰ πάντα* vel *πρὸ πάντων* legendum?

γεώδους οὐσίας τὸ μέν τι ἀναμέμικται τῷ ὑγρῷ, τὸ δέ τι μένει καθ' ἑαυτό, ἄμικτον πρὸς τὴν ἐναντίαν ποιότητα τηροῦν τὴν ξηρότητα· αὖθις δὲ τοῦ ὕδατος τὸ μέν τι τὴν γῆν ὑποδέδυκε καὶ ὑπὸ ταύτην ἢ ἐφησυχάζον πέφυκεν ἢ παφλάζει στενοχωρούμενον, τὸ δὲ ἐπὶ ταύτης 25 *ὀχεῖται ὥσπερ τὴν ταύτης σφαῖραν ἐπαναβεβηκός. τοιαύτης οὖν οὔσης τῆς τῶν δύο στοιχείων τούτων, ὕδατός φημι καὶ γῆς, διαιρέσεως, πρὸς ἀμφότερα ὁ ἥλιος δρᾷ· θερμαίνει γὰρ ἄμφω καὶ ἀραιοῖ τοὺς πόρους αὐτῶν καὶ εἰς ἀτμοὺς διαλύων τὸ νοτερὸν ταῖς ἐκεῖθεν ἀναθυμιάσεσι τὸν ἀέρα καταπυκνοῖ.* 30

Διττὴ γοῦν, ὡς ὁ λόγος ὑπέδειξεν, ἐκ τῶν περὶ γῆν χώρων ἀναθυμίασις εἰς οὐρανὸν ἕλκεται, ἡ μὲν ὑγρὰ καὶ ψυχρά, ἡ δὲ ξηρὰ καὶ ψυχρά. αὗται δὲ αἱ ἀναθυμιάσεις μέχρι μέν τινος συμπλέγδην πρὸς τὸ ἄναντες ἀναφέρονται· εἶτα τῆς μιᾶς περὶ μέσα που τοῦ ἀέρος ὑφισταμένης διὰ τὴν πρὸς τὸ κάτω ῥοπὴν τῆς ὑγρότητος, ἡ ἑτέρα κουφίζε- 35 *ται, ἐπιτόνιον ἔχουσα τῆς ἀναγωγῆς τὴν ξηρότητα. τῆς γοῦν κοινῆς ἐντεῦθεν μεριζομένης ἀναθυμιάσεως, ἄλλα μὲν τῶν φυσικῶς γινομένων παρὰ τῆς ὑγρᾶς καὶ ἀτμιδώδους ἀποτελεῖται, ἄλλα δὲ παρὰ τῆς ξηρᾶς καὶ καπνώδους, ὡς Ἀριστοτέλης φησί· πάχναι μὲν γὰρ καὶ ψεκάδες καὶ δρόσοι καὶ ὑετοὶ χιόνες τε καὶ χάλαζαι ἀπὸ τῆς ἀτμιδώδους ἐκ-* 40 *φέρονται, δαλοὶ δὲ καὶ αἶγες καὶ κομῆται δοκίδες τε καὶ πωγωνίαι καὶ διάττοντες ὅ τε παντοῖος τῶν ἀστραπῶν ἐκπυρηνισμὸς ἀπὸ τῆς ὑπερτέρας ἐξάλλονται.*

Ἀρκτέον οὖν ἀπὸ τῆς πάχνης καὶ περὶ ταύτης πρῶτον φυσιολογητέον. αὕτη τοιγαροῦν ἐν ἀλεεινοῖς μὲν χωρίοις καὶ θέρους ἥκιστα γίνε- 45 *ται, ἐν δὲ καταψύχροις καὶ χειμῶνος οὐχ ἥκιστα. ἡ δὲ αἰτία αὕτη· ὁ ἥλιος, πρὸς βορρᾶν καὶ νότον τὴν οἰκείαν δύναμιν μερισάμενος, ἐν οἵῳ δὴ ἐμφιλοχωρεῖ κλίματι, ἐν ἐκείνῳ δυνατώτερος πέφυκεν. ὅθεν ἐν τῷ καθ' ἡμᾶς μέρει γινόμενος βορειότερος καὶ τὸν ὑπὲρ κεφαλῆς ἡμῶν ἀνελίττων ἀέρα, θερμότερος ἐν τῇ τοιαύτῃ ὥρᾳ πρὸς ἡμᾶς ἵσταται.* 50 *ὁπότε δὲ τὸ καθ' ἡμᾶς κλίμα παγετοῖς καὶ ψύχει πιέζεται, ἡ δυτικὴ Αἰθιοπία καύσεσιν ἀφορήτοις ἐνίσχεται, θερμοτέραν ἐκεῖσε τοῦ ἡλίου*

31–41 cf. infra 20, 16 sqq.; Olymp. in Mete. 79, 33–80, 19 || 38–39 cf. Arist. Mu. 394 a 13–19 || 45–46 cf. Arist. Mete. 347 a 17–18 || 48–50 cf. Psell. Omn. doct. 136,8–10

22 et 24 *μέν τι*] *μέντοι* **O** π || 26 *οὖν* om. π || 27 *τούτων* om. **v**[25] π || 28 *δρᾷ*] *ὁρᾷ* π || 29 *ἀτμὸν* π || 32 *ἡ δὲ ψυχρὰ καὶ ξηρά* π || 40 *ἀτμιδώδους* **G**: *ἀτμιώδους* **m**[23] **m**[14]: *ἀτμίδος* cett. || 49 *μέρει* **μ G**: *θέρει* **λ v**[27] || 52–53 *τοῦ ἡλίου τὴν ἀκτῖνα βάλλοντος* **λ**: *τοῦ ἡλίου βάλλοντος τὴν ἀκτῖνα* **μ**: *τὴν ἀκτῖνα τοῦ ἡλίου βάλλοντος* π

τὴν ἀκτῖνα βάλλοντος. τότε γοῦν ἀσθενὴς ἐν τῷ καθ' ἡμᾶς κλίματι ἡ
τοῦ φωστῆρος ἀκτὶς πέφυκεν· οὔτε γὰρ τὴν ἐν τῷ βάθει ἕλκει νοτίδα,
55 οὔτε μήν, εἴ τινα δὴ καὶ ἑλκύσειεν, ἀνάγει πρὸς οὐρανόν, ἀλλ', ὥσπερ
οἱ ἀσθενέστεροι τῶν ἀχθοφορούντων, ὁμοῦ τε τὸ βάρος τῆς ἀναθυμιά-
σεως ἥρπασε καὶ αὖθις κατήνεγκε· τοῦτο δὲ ἡ πάχνη ἐστίν. μὴ γὰρ
ἰσχύων ἐπὶ πολὺ τοῦ ἀέρος ταύτην ἀνενεγκεῖν, καὶ διὰ τὸ εὐθὺς τῇ
τοῦ ἀέρος ψυχρότητι συμπαγῆναι καὶ βαρυνθῆναι, ἀφῆκεν εἰς γῆν. ἐξ
60 οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει· πάχνη γὰρ ἐπωνόμασται οἷον πεπηγμένη
ἄχνη, τουτέστι λεπτομερὴς τοῦ ἀτμοῦ οὐσία ἀθρόον παγεῖσα. ἐπεὶ οὖν,
ὡς ἔφθημεν ἀνωτέρω εἰπόντες, {ὅτι} ἐν ψυχροῖς τόποις καὶ χειμῶνος
ἡ πάχνη γίνεται, διὰ ταῦτα δὴ τάχιον καταφέρεται, τῆς ἀναγωγοῦ τοῦ
ἡλίου μὴ ἰσχυούσης τότε θερμότητος.
65 Ἡ δὲ ψεκὰς τὸ ἐναντίον ἐν εὐδιεινοῖς τε χωρίοις καὶ θέρους γίνε-
ται· τοῦ γὰρ ἡλίου τὴν πᾶσαν τῶν νεφῶν κατὰ τὸ θέρος ἀνιμῶντος
ὑγρότητα καὶ οἷον τὴν τοῦ ἀέρος λιβάδα ἀποξηραίνοντος, ὀλίγον ἐστὶ
τὸ καταλειπόμενον πρὸς γένεσιν ὑετοῦ· ὃ δὴ καὶ ψεκὰς ἰδίως ὠνόμα-
σται, τῆς τῶν νεφῶν οὐσίας εἰς βραχὺ ἀποτελευτησάσης, εἶτα διασπα-
70 σθείσης καὶ κατὰ μόρια διαιρεθείσης καὶ ἀμυδράν τινα τοῖς ὑπὸ σελή-
νην ἀποθλιβούσης ὑγρότητα.
Ἡ δὲ δρόσος ἐπὶ πλέον τῆς ψεκάδος ἐστί, καὶ διὰ τοῦτο μάλιστα
μετοπώρου καὶ ἔαρος γίνεται. ἔστι δὲ αὕτη ὅταν κατὰ σταγόνας αἱ
περὶ τὸν ἀέρα νεφέλαι τοῖς περὶ γῆν ἀποστάζωσιν.
75 Ὑετὸς δέ ἐστιν ἡ ῥαγδαία τῶν οὐρανίων ὑδάτων καταφορά· ὃς δὴ
χειμῶνος ἐπὶ μάλιστα ἔχει τὴν γένεσιν. τοῦ γὰρ ἡλίου τότε ἐς τὸν
νότον ἀπελαθέντος, ψυχρὸς ὁ ὑπὲρ κεφαλῆς ἀὴρ τοῖς τὸν βορρᾶν οἰ-
κοῦσιν ἡμῖν γίνεται· ἐντεῦθεν γοῦν τὰ νέφη συνιστάμενά τε καὶ συμ-
πιλούμενα τὸν ὑετὸν ἀποτίκτουσιν. εἰ μὲν οὖν ἡ ἀναθυμίασις εἰς ὕδωρ
80 μεταβληθῇ καὶ τὸ μεταβληθὲν εὐθέως ἀπαγὲς κατενεχθῇ, ὑετοῦ τοῦτο
γένεσις πέφυκεν· εἰ δὲ μεταβληθῇ μέν, παγῇ δὲ μεταξὺ τοῦ ἀέρος
καταφερόμενον, χάλαζα τοῦτό ἐστί τε καὶ ὀνομάζεται. εἰ δέ, πρὶν ἢ
μεταβληθῇ εἰς ὕδωρ, ὁ ἀτμὸς ὑπομείνῃ τὴν πῆξιν, ἡ χιὼν ἀποτίκτεται.
ἔστι γὰρ ἡ χιὼν ἀμετάβλητος ἀναθυμίασις παγεῖσα διὰ ψυχρότητα.

62 ἀνωτέρω] 46 || 79–83 cf. infra 20, 24–27; Olymp. in Mete. 80, 8–14

57 δὲ] δὴ **π** || 58 an ⟨διὰ⟩ τοῦ ἀέρος legendum? || 62 ὅτι secl. Bidez | χειμῶσιν **π** || 63 ἀναγωγοῦ **c**^{4} **v**^{25} **v**^{26} **p**^{11} **L**: ἀναγωγῆς **O h**^{1} **m**^{15} **π** || 64 τότε θερμότητος] τοῦτο θερμαίνειν **π** || 69 ἀποτελευτησάσης] ἀποτελεσθείσης **G** (om. **v**^{27}) | διασπασθείσης **κ** (cf. 156): διασπαρείσης **π** || 72 post πλέον add. τι **π**

Ἃ μὲν οὖν ἀπὸ τῆς ἀτμιδώδους ἀναθυμιάσεως ἀποτίκτεται, ταῦτά 85
ἐστιν· ἀπὸ δὲ τῆς καπνώδους οὓς εἰρήκαμεν διᾴττοντας καὶ οἱ κομῆ-
ται καὶ οἱ κατὰ τὰ διάφορα σχήματα τὰς ὀνομασίας λαμβάνοντες.
Ἔστιν οὖν ὁ διᾴττων ὃ δὴ πολλάκις ἡμεῖς ὁρῶμεν αἰθριώδους οὔ-
σης τῆς νυκτὸς ῥιπτούμενον ἐξ οὐρανοῦ πῦρ. ὃ δὴ καί τινες τῶν
ἀγροικοτέρων ἄστρον οὐράνιον οἴονται, καί φασιν ὡς ἑκάστου τῶν 90
ἄστρων κατ' ἀριθμὸν τῶν γεννωμένων δημιουργηθέντος, ἀπορρεύσαντι
συναπορρεῖ τοῦτο καὶ συναπολήγει· οἷον γάρ τινα θάνατον τοῦ
ἀστέρος τὴν πτῶσιν ὁρίζονται. ἀλλὰ τοῦτον μὲν τὸν λόγον γελάσας
οἶδα καὶ ὅτε πρῶτον ἤκουσα, καὶ μετὰ τῶν μύθων ἠρίθμησα. ἡ δὲ
τοῦ διᾴττοντος γένεσις αὕτη· ὑπὸ τὴν ἀπλανῆ πᾶσαν καὶ τὴν τῶν 95
ἀστέρων περιφορὰν τὸ τοῦ πυρὸς στοιχεῖόν ἐστιν, ὃ δὴ ἐκ τῆς ξηρᾶς
ἀναθυμιάσεως, ὡς ἔφαμεν, ἔχει τὴν γένεσιν. τοῦτο δὲ οὐκ ἐνεργείᾳ
πῦρ ἐστιν, ἀλλὰ καπνὸς μὲν κατὰ τὴν οὐσίαν, φλὸξ δὲ κατὰ τὴν δύνα-
μιν, ὅθεν καὶ ὑπέκκαυμα τῷ Ἀριστοτέλει ὠνόμασται, τουτέστιν ὑφει-
μένον πῦρ. ὁ γὰρ καπνὸς θερμὸς μέν ἐστιν, ὡς ἴσμεν, οὐ μέντοι πῦρ 100
αὐτενέργητον, ἐξάπτεται δὲ κινηθείς. ἐπεὶ οὖν τοιαύτη ἡ τοῦ ὑπεκκαύ-
ματος φύσις ἐστί, κινεῖται δὲ διὰ τὴν συμπεριφορὰν τοῦ παντός, κατ'
ἔνια τῶν μορίων, ἔνθα δὴ ἐπιτηδεία ὕλη ὑπόκειται, ἴσχει τὴν ἔξαψιν·
ἀλλ' ἡμέρας ⟨μὲν⟩ οὐ φαίνεται, τοῦ ἡλίου διὰ τὴν ὑπερβάλλουσαν τῶν
ἀκτίνων μαρμαρυγὴν τὰ τοῦ ὑπεκκαύματος ἀμαυροῦντος πυρσά, νυ- 105
κτὸς δὲ διάδηλος δείκνυται. ἐπειδὰν οὖν τι μέρος τοῦ ὑπεκκαύματος
διὰ τὴν κίνησιν ἐξαφθῇ, τοῦτο δὴ τὸ ἐξημμένον εὐθὺς φέρεται· φερό-
μενον δέ, εἰ μὲν μὴ ἐντύχῃ ἑτέραις οὐσίαις ἐπιτηδείαις εἰς ἔξαψιν,
θᾶττον ἐναποσβέννυται, εἰ δὲ ἐντύχῃ, κατὰ μετάδοσιν ἀπ' ἄλλης εἰς
ἄλλην τῆς φλογὸς φερομένης, εἶτα κατὰ σχῆμα δόρατος ἀπομηκυνθεί- 110
σης, ᾗ μὲν διαδόσιμον τὸ πῦρ γίνεται, ὥσπερ ἀλλόμενον, διᾴττων ὠνό-
μασται· ᾗ δὲ κατ' ἰθυτένειαν ἀπλατῆ φέρεται, δοκὶς κέκληται. οὔτε δὲ
εὐθεῖά ἐστιν αὐτῷ ἡ φορὰ πρὸς τὸ κάταντες οὔτε μὴν ἀνωφερὴς κατὰ
τὴν τοῦ πυρὸς φύσιν, πλαγία δὲ καὶ ὡς ἐπίπαν λοξή· πέφυκε γὰρ ἡ

89 *τινες*] cf. (?) Procl. in Tim. III 265,2–6 ‖ 99 Arist. Mete. 341 b 19; cf. Psell. Omn. doct. 130,8–9

85 *ἀπὸ*] *παρὰ* **v**^{27}: *περὶ* **G** ‖ 88 *ὃ δὴ*] *ὅπερ* **π** ‖ 89 *τῆς* **h**^{1} **m**^{15} **π**: om. cett. | *ῥιπτούμενον* **c**^{4} **v**^{25} **μ** (cf. 141): *ῥιπτόμενον* **π**: *τριβόμενον* **O** ‖ 91 *ἀπορρεύσαντι* **O c**^{4}: *ἀπορρεύσαντος* **v**^{25} **μ**: *ἀπορρυήσαντι* **v**^{27}: *ἀπορρυήσαντ( )* **G** ‖ 92 *τοῦτο* **v**^{25} **L h**^{1}**m**^{15}**v**^{27}: *τούτω* cett. praeter **c**^{4} (*τούτων*) | *οἷον* – 93 *ὁρίζονται* om. **π** ‖ 104 *ἡμέρα* **v**^{25} **π** | *μὲν* addiderunt ut vid. **v**^{25}**h**^{1}**m**^{15}**m**^{14} ‖ 106 *διάδηλος* **L π**: *διάδηλα* cett. ‖ 107 *εὐθὺς* codd. praeter **v**^{26}**p**^{11}**v**^{27} (*εὐθὺ*) ‖ 112 *ἀπλατῆ* **κ** (cf. Olymp. in Mete. 60, 4–5 *οὐ κατὰ πλάτος*): *ἀπλανῆ* **π**

115 ῥοπὴ τοῦ πυρὸς ἀνωφερής. ὁ δὲ διᾴττων ἄνωθεν πρὸς τὸ κάταντες βιαζόμενος, καθὸ μὲν τυραννεῖται πρὸς τὴν παρὰ φύσιν κίνησιν, ἐπὶ τὸ κάτω χωρεῖ· καθὸ δὲ τῆς οἰκείας οὐκ ἐπιλέλησται φύσεως, τῆς ἄνω φορᾶς ἐφίεται· ταλαντευόμενος δὲ ἑκατέρωθεν καὶ παρὰ μέρος νικῶν καὶ νικώμενος πλάγιος φέρεται.

120 Οὗτος οὖν ὁ διᾴττων καὶ δοκίας, ἂν εἰς παχὺ νέφος ἀποτελευτήσῃ κωλῦον αὐτοῦ τὴν πάροδον, ἐκεῖσε ἐνίσχεται· ὃ δὴ νέφος κατὰ πᾶν ἐξαπτόμενον αἴξ τε καὶ κομήτης λέγεται· ἀποσπινθηρίζων γὰρ κατὰ κύκλον δοκεῖ κόμην τινὰ ἔχειν καθειμένην καὶ οἷά τισι μαλλοῖς κατὰ τὰς αἶγας βρίθεσθαι. οὗτος δὲ ὁ κομήτης ἐνίοτε καὶ πολυήμερός ἐστιν, 125 ἀρκούσης τῆς ὑποκειμένης αὐτῷ οὐσίας εἰς χρονίαν ἔξαψιν. δοκεῖ δὲ ἀστὴρ εἶναι κυρίως, ὅτε καὶ μάλιστα κατὰ κάθετον ἀληθῆ ὑπέλθῃ ἀστέρα, ὃς δή, ὅταν ὀφθῇ, σύμβολον τοῖς ἀστρολόγοις γίνεται ἐκπυρώσεως· ὅθεν ἀνομβρίας τε καταμαντεύονται καὶ πυρετοὺς προμηνύουσιν. ὁ δὲ λόγος τούτου οὐκ ἀστρολογικός, ἀλλὰ φυσικός· οἱ γὰρ κομῆ-130 ται τότε κατὰ πλῆθος ὁρῶνται, ὅταν πολλὴ ᾖ ἡ καπνώδης ἀναθυμίασις, ἥτις ξηροτέρα τοῦ δέοντος οὖσα ἀντικειμένως ἔχει πρὸς τὴν ὑγράν· ἀπὸ γοῦν τοῦ ταύτην πληθύνειν ἐκείνην ὑστερεῖν ἀστρολογικῶς τερατεύονται. καὶ ταῦτα μὲν οὕτω κατὰ κεφαλαιώδεις ἐπιτομάς.

Ὁ δὲ κεραυνὸς πῇ μὲν κατ' ἐκπυρηνισμὸν γίνεται, πῇ δὲ κατὰ σύγ-135 κρουσιν τῶν νεφῶν. ἐκπυρηνίζεται δέ τι, ὅταν κατὰ συμπίεσιν ἀκοντίζηται, ὥσπερ ἡμεῖς τὰ τῶν ἐλαιῶν ὀστᾶ τοῖς δακτύλοις συμπιέζοντες ἢ ἄνω ἢ κάτω ἐξακοντίζομεν. ὁπόταν οὖν πυρώδης οὐσία ἐμπέσῃ τοῖς νέφεσιν, εἰ μὲν μὴ παχὺ ᾖ τὸ περιέχον, πρὸς τὸν οἰκεῖον χῶρον αὖθις ἀποκαθίσταται· εἰ δὲ ἡ τοῦ νέφους παχύτης ἄνωθεν καὶ μάλιστα πυ-140 κνωθεῖσα τὸ πυρῶδες τοῦτο σπέρμα κωλύσειεν ἀναφέρεσθαι, τοῦτο δὴ συμπιεζόμενον καὶ οἷον ὑπὸ τοῦ νέφους ὠθούμενον κάτω ῥιπτεῖται.

Ὃ δή, εἰ μὲν μόνον ἐξενεχθῇ ἄτερ νεφώδους σώματος, ἀστραπὴ κέκληται· εἰ δὲ καὶ τὸ νέφος ἀμφιασάμενον καταρραγῇ, τυφὼν ἐπωνόμασται, ἀπὸ τοῦ τύπτειν τὴν ἐπωνυμίαν λαβών· ὃ δὴ καὶ προσπῖπτον

122–124 cf. Olymp. in Mete. 37, 39–38, 2 || 136–137 cf. Arist. Mete. 369 a 22–23 || 143–144 cf. infra 22, 30–31

118 περὶ π || 123 μαλλοῖς O L: μαλοῖς c[4] v[26] p[11] h[1] m[15] G: μᾶλλον v[25] v[27] || 130 ᾖ ἡ v[27]: ἡ O m[15]: ᾖ cett. || 132 γοῦν] γὰρ v[25] π | ad πληθύνειν desinit p[11] || 135 τις π | ἀκοντίζηται O c[4] L G: ἀκοντίζεται cett. || 138 μὴ λ v[26]: οὖν h[1] m[15]: om. π || 140 σπέρμα] fort. σῶμα vel πνεῦμα scribendum | δὴ λ: δὲ μ π || 141 ῥιπτεῖται codd. praeter c[4] m[15] (ῥίπτεται), h[1] (ῥίπτειται): cf. 89

σώμασι καὶ πλήττει καὶ μελαίνει, πῇ δὲ καὶ διχοτομεῖ. εἰ δέ, πρὶν ἢ 145
τοῦ νέφους ἐκραγῇ, κυκλούμενον ἐκπέσῃ καὶ ἑλιττόμενον, ἐκνεφίας λέ-
γεται. οὗτος δὲ ὁ ἐκνεφίας καὶ μετὰ τὴν ⟨ἀπὸ⟩ τοῦ νέφους ἔκρηξιν
κατὰ κύκλον καὶ περὶ τὴν γῆν εἱλεῖται καὶ πρὸς τὴν οἰκείαν αὖθις
ἐπανακάμπτει ἀρχήν. ὅθεν καὶ λίθους ἐφέλκεται καὶ λέμβον ἀνασπᾷ
καὶ χοῦν ἐπισύρεται, ἃ δὴ αὖθις ἐν ἄλλοις τόποις καταρρηγνύμενα ἔκ- 150
πληξιν καὶ θαῦμα παρέχει τοῖς θεωμένοις· ὥσπερ δὴ καὶ ὁ ἐν Αἰγὸς
ποταμοῖς καταρραγείς ποτε λίθος δεισιδαίμονας τοὺς ἐποίκους πε-
ποίηκε.

Τοιοῦτος μὲν ὁ κατ' ἐκπυρηνισμὸν κεραυνός· ὁ δ' ἕτερος ἀποτίκτε-
ται τῶν νεφῶν πρὸς ἄλληλα συντριβομένων κἀντεῦθεν διαρρηγνυμέ- 155
νων· ἡ μὲν γὰρ ῥῆξις τὸν κεραυνὸν ἀπεγέννησε, τοῦ νέφους βίᾳ δια-
σπασθέντος, ὁ δὲ ὑετὸς ὥσπερ θυλάκου διαρραγέντος κατηνέχθη
εὐθύς, ὁ δὲ τῆς ῥήξεως ἦχος τὴν βροντὴν ἀπετέλεσεν. ἀλλ' ἐκεῖ μὲν
δεῖ πρῶτον ῥαγῆναι τὸ νέφος καὶ οὕτω φανῆναι τὴν ἀστραπήν, ἡμεῖς
δὲ τοῦ πυρὸς ἀντιλαμβανόμεθα πρότερον. τούτου δ' αἴτιον ἡ τῶν 160
ὀφθαλμῶν καὶ τῶν ὤτων διοργάνωσις· οἱ μὲν γὰρ ὀφθαλμοὶ οἷα δή τι-
νες βολβοὶ ἔξω πεπήγασι καὶ τοῦ ὁρατοῦ θᾶττον ἀντιλαμβάνονται· τῷ
δὲ ὠτὶ ὁ προβεβλημένος κοχλοειδὴς πόρος βραδέως εἰσάγει τὸν
ψόφον. εἰ μὲν οὖν ἀπὸ ξηροτέρου τοῦ νέφους ὁ κεραυνὸς ἐκραγῇ, φοι-
νικοῦς τε τὴν χροιάν ἐστι καὶ τὴν οὐσίαν φλογώδης· εἰ δὲ ἀφ' 165
ὑγροτέρου, λευκόν τε ἔχει τὸ χρῶμα καὶ καυσώδης ἥκιστα.

Δαίμονες δὲ ἥκιστα ὑπὸ πυρὸς καίονται· οὐ γὰρ πειστέον ταῖς Χαλ-
δαϊκαῖς ληρῳδίαις, ὡς ἔστι τι δαιμόνων γένος τόν τε ἀδάμαντα λίθον
φοβούμενον καὶ τὸ κουράλιον καὶ τὸ ἀνδροφόνον ξίφος καὶ τὸν κε-
ραυνόν, ἃ δὴ καὶ οἱ ἀποτρεπόμενοι τὸ τοιοῦτον γένος Χαλδαῖοι μάν- 170
τεις ἐν ταῖς ἀνιέροις αὐτῶν πράξεσι τοῖς βωμοῖς ἐπιφέρουσιν. εἰ γὰρ
δὴ τὸ ξίφος οἱ δαίμονες πεφόβηνται καὶ τὸ πῦρ, ἐμπρησμοὺς καὶ
τομὰς ὑποπτεύουσιν· εἰ δὲ ταῦτα, καὶ σώματα περιβέβληνται. ἀλλ' οὐ-
δεὶς οὐδὲ τῶν πάνυ ληρούντων σωματικὸν γένος δαιμόνων ὑπέστησεν,

151–152 cf. Arist. Mete. 344 b 31–32 || **156–160** cf. 369 b 3–8; Ps.-Ioh. Damasc. *Περὶ δρακόντων* PG 94, 1601 C || **159–164** cf. infra 31, 46 sqq. || **168–169** cf. Psell. Sathas *MB* V 57, 8

147 *ἀπὸ* addiderunt ut vid. **c**[4] **v**[25] **v**[27]: *ἐκ* **O**: om. cett. || **149** *ἀνακάμπτει* **π** || **155** *πρὸς ἄλληλα* post *συντριβομένων* trsp. **v**[25] **π** || **156** *διασπασθέντος* **κ**: *σπασθέντος* **π** || **158** *ἀπετέλεσεν* **κ**: *ἀπεγέννησεν* **π** || **160–161** *ἡ τῶν ὤτων καὶ τῶν ὀφθαλμῶν* trsp. **π** || **167** *πειστέον* **c**[4] **L G**: om. **h**[1] **m**[15]: *πιστέον* cett. || **168** *ἀδάμαντα* **λ π**: *ἀδαμάντινον* **μ** || **173** *προβέβληνται* **π** || **174** *δαιμόνων* ante *γένος* trsp. **π**

175 *ἀλλ' ὁ τερατολόγος Πρόκλος, τὰς Χαλδαϊκὰς ὑποτυπώσεις ἐπεξηγού-*
μενος, ἔφη τινὰς τῶν δαιμόνων καὶ κολακεύεσθαι· διὸ δὴ καὶ ὕμνους
ἐπὶ τὴν Ἄρτεμιν συντέθεικε, καὶ παρεγγυᾶται τοῖς φαντασιουμένοις
ταύτην ξιφηφόρον τε καλεῖν αὐτὴν καὶ σπειροδρακοντόζωνον καὶ
λεοντοῦχον καὶ τρίμορφον· τούτοις γὰρ αὐτήν φησι τοῖς ὀνόμασιν ἕλ-
180 *κεσθαι καὶ οἷον ἐξαπατᾶσθαι καὶ γοητεύεσθαι.*
Ἀλλὰ ταῦτα μὲν τῷ μύθῳ δοτέον καὶ τῇ σκηνῇ· περὶ δὲ τῶν
δρακόντων οὐδέπω μὲν ἐς τὴν σήμερον ἐντετύχηκα συγγραφῇ φυ-
σιολογούσῃ δι' ὅ τι τὰς ἀστραπὰς οὗτοι πεφόβηνται· ὃ δ' αὖ ἕτερος
πρῶτος ἐφυσιολόγησε, τοῦτο καὶ αὐτὸς εἰς τὴν ἐμὴν ἀνοίσω φύσιν,
185 *κἀντεῦθεν ἴσως ἕτερος ἀκριβέστερον περὶ τούτου διερμηνεύσειεν.*
Ἐγὼ γοῦν φημι ὅτι τὸ τῶν δρακόντων γένος ξηρόν τε τὴν φύσιν
ἐστὶ καὶ τὴν οὐσίαν διάπυρον· πῦρ γοῦν αὐτῶν καὶ οἱ ὀφθαλμοὶ ἀνα-
βλέπουσι, καὶ ὃν δὲ ἐξεμοῦσιν ἰόν, καπνώδης τέ ἐστι καὶ διαιρεῖ τὰ
σώματα ψαύσας αὐτῶν. ὅθεν καὶ εὔπρηστός ἐστιν ὁ δράκων δι' ἣν
190 *ἔχει ξηρότητα καὶ πρὸς κατάφλεξιν ἐπιτήδειος. πεφόβηται γοῦν διὰ*
ταῦτα τὸν κεραυνὸν καὶ ἀλλόμενος φέρεται διαέριος ἐπί τε στεγανοὺς
τόπους καὶ καταγαίους καὶ μάλιστα περὶ λίμνας καὶ φρέατα, ἅτε δὲ
ὤν, ὡς ἔφθην εἰπών, διὰ τὴν ξηρότητα εὔπρηστος καὶ ἀπὸ διαστή-
ματος τῷ κεραυνίῳ πυρὶ καταφλέγεται. διὸ ἔνθα δὴ δράκων φανῇ συ-
195 *ρίττων καὶ διιών, ἐκεῖσε δὴ ἐναποσκήπτων ὁ κεραυνὸς τὰ παρακεί-*
μενα μέρη σίνεται. πολλάκις δὲ καὶ δράκοντος ἄτερ οἱ λεγόμενοι
ἀρασμοὶ καὶ σισμοὶ καὶ γρυλλισμοὶ ἐξακούονται· τὸ γὰρ θεῖον τοῦτο
πῦρ ἐπιπῖπτον τοῖς γεώδεσι σώμασιν, εἰ μὲν ἐφ' ὑγρὰν ἐμπέσῃ οὐσίαν,
σίζει ὥσπερ ἀποσβεννύμενον, εἰ δὲ ἐπὶ ξηράν, εἰ μὲν μανοτέραν, χοι-

178 cf. Psell. Ep. 187 (Sathas V 474,18–20); Mich. Ital. Ep. 28 (Gautier 190,10–12) ‖
179 *λεοντοῦχον*] cf. Psell. Phil. min. II 134,10

175 *ὑπεξηγούμενος* **O π** ‖ 176 *καὶ κολακεύεσθαι* om. **π** ‖ 178 *ταύτην* **π**: *αὐτὴν* **λ**: *αὐτῇ* **v**^{26} **L** (om. **h**^{1} **m**^{15}) | *αὐτὴν* **v**^{27}: *ταύτην* **κ**: om. **G** ‖ 182 *οὐδέπω* – 185 *διερμηνεύσειεν* om. **μ** | *συγγραφῇ* **λ**: *γραφῇ* **π** ‖ 188 *διαιρεῖ* **λ h**^{1} **m**^{15} **G v**^{37}: *διαιρεῖται* **L v**^{27}: *ἀναιρεῖ* **v**^{26} ‖ 189 *ὅθεν* **O v**^{25}**v**^{26}**G v**^{37}: *ἔνθεν* **c**^{4}**L h**^{1}**m**^{15}: *ἔνθα* **v**^{27} ‖ 191 *ἀλλόμενος ... διαέριος* **O** (per corr.?) **π**: *-ον ... -ον* cett. ‖ 192 post *λίμνας* add. *χωρεῖ* **O v**^{26} | *καὶ φρέατα* om. **π** | *δὲ* **λ**: *δὴ* **v**^{27} **v**^{37} **G**: om. **μ** ‖ 194 *συρίττων φανῇ* trsp. **π** ‖ 196 *καὶ* om. **π** ‖ 197 *ἀρασμοὶ* **O h**^{1}**m**^{15} **v**^{27}: *ἀρρ-* **c**^{4}**v**^{26}**L G v**^{37}: *ἀρμοὶ* **v**^{25} | *σισμοὶ* **O c**^{4}**L G v**^{37} (cf. 199 *σίζει*): *σεισμοὶ* **v**^{27}: *συισμοὶ* **v**^{26}: *συριγμοὶ* **h**^{1} **m**^{15}: om. **v**^{25} | *γρυλλισμοὶ* codd. praeter **c**^{4} **h**^{1} **m**^{15} (*-υλισ-*) | *θεῖον* (sensu *οὐράνιον*?) codd. praeter tres (*ἀέριον* **h**^{1} **m**^{15}: *ἀέριον θεὸν* **v**^{27}) ‖ 198 *ἐμπίπτον* **π** ‖ 199 *μανοτέραν* **O**, **h**^{1} **m**^{15} (*μαιν-*), **π**: *μανωτέραν* **c**^{4} **v**^{25} **L**: *μανώτερον* **v**^{26} **v**^{37} | *χοιρογρυλλίου* **v**^{26} **G v**^{37}: *-υλίου* **c**^{4} **v**^{27}: *-ύλλου* **v**^{25} **L h**^{1}**m**^{15}: ambig. **O**

ῥογρυλλίου ἦχον ἀποτελεῖ, χωροῦντος τοῦ πνεύματος διὰ βάθους καὶ 200
τὸν τοιοῦτον ἦχον ἀποτελοῦντος· εἰ δὲ ἐπὶ ναστὴν καὶ στερράν, τὸν
λεγόμενον ἀρασμὸν ἀποτελεῖ, ὃς δὴ πεποιωμένος ψόφος ἐστὶ καὶ τὴν
ὀνομασίαν εἴληχεν ἀπὸ τῆς τῶν ὀδόντων συγκρούσεως· σκληροὶ γὰρ
καὶ οὗτοι ὄντες πρὸς ἀλλήλους ἀντικτυποῦντες ἀράσσουσιν.
Ὅσοι δέ φασι τῶν ἐντετυχηκότων ταῖς τοιαύταις καύσεσιν ὅτι 205
χοῖρον τεθέανται γρυλλίζοντα ἢ μηκάζον αἰπόλιον ἢ βοῦν μυκώμενον
ἢ ὅσα δὴ τερατολογοῦσιν, ἑαυτῶν τε καὶ τῶν ἀκροατῶν καταψεύδον-
ται· οὐδὲν γὰρ τούτων τεθέανται, ὡς ὁ παρ' Εὐριπίδῃ Ὀρέστης, ἀλλ'
ὁ φόβος αὐτοῖς τὰς τοιαύτας μορφώσεις εἰδωλοποίησεν. εἰ δ' ἴσως καὶ
βάσκανος δαίμων τὸ σῶμα τοῦ δράκοντος ἐνδυσάμενος εἰς ἐκεῖνα τῶν 210
μερῶν ἄγει τὸν θῆρα ὑπὸ τοῦ πυρὸς διωκόμενον, οἷς δὴ ἐξ ἀρχῆς βα-
σκαίνειν εἴωθεν, οὐδ' οὗτος ὁ λόγος ἀπόβλητος· ἀρχαῖον γὰρ αὐτῷ ἐν-
διαίτημα τὸ τοιοῦτον γένος καὶ διὰ τούτου πάλαι μὲν ἡμᾶς ἐξῶσε τοῦ
παραδείσου, νῦν δὲ καὶ τῆς γῆς ἐπιβασκαίνων ἐξάγειν πειρᾶται.
Ὑμεῖς μὲν οὖν δοκεῖτέ μοι οἴεσθαι, ὅτι πλέον τοῦ δέοντος τὸν 215
λόγον ἐξέτεινα· ἐγὼ δὲ καὶ περὶ τοὺς ἄλλους λόγους τὸν Φωκίωνα με-
μιμημένος, ὃς δὴ ἐκκόπτειν εἰώθει τὸν οἰκεῖον λόγον ἀεί, ἐνταῦθα καὶ
μᾶλλον ἐμιμησάμην. τὰς γὰρ τῶν προτεθέντων θεωρίας ἀπείρους οὔ-
σας ἐς τὸ βραχὺ συνήγαγον, οὐδὲν ἧττον ἢ Ἰσαῖος ὁ σοφιστὴς ὁ Ἀσ-
σύριος, ὃς δή, ἐν περιόδοις ἀεὶ τὰς ἐννοίας ὑπολαμβάνων, ἐς ὀλίγας 220
συλλαβὰς ταύτας συνέκλειεν. ἔστωσαν οὖν ὑμῖν τὰ ἐκδεδομένα οἷον
ὑπομνηματισμοί τινες κεφαλαιωδῶς τὰ διὰ πολλῶν τοῖς φιλοσόφοις
ῥηθέντα ὑποτιθέντες.

206 Syn. Ep. 148 (p. 262, 21); Psell. Theol. I 14, 110 ‖ **208** cf. Eur. Or. 255–259, cf. Iphig. Taur. 285 sqq.; Psell. Sathas *MB* V 570, 15–16 ‖ **216** *Φωκίωνα*] cf. Plut. Vit. Phoc. 5, vit. Demosth. 10 ‖ **219** *Ἰσαῖος*] cf. Philostr. Vit. Soph. I 20

201 *στερράν* **v**[26]**h**[1]**m**[15] **π**: *ξηράν* **c**[4] **L**, **O** ut vid.: *ξηρὰν καὶ στερράν* **v**[25] ‖ **202** *ἀρασμὸν* **O v**[26]**h**[1]**m**[15], **v**[27] (*ἐρασμὸν*): *ἀρρ-* **c**[4] **L G v**[37]: *ἀρμὸν* **v**[25] ‖ **204** *καὶ* om. **O π** | *ἀντικτυποῦν-τες* **λ v**[27] **v**[37] **G**: *ἀντιτυποῦντες* **μ** ‖ **206** *τεθέανται* **π**: *τεθέαμαι* **κ** | *μηκάζον* **O c**[4] **G v**[37]: *μυ-* cett. ‖ **208** post *γὰρ* add. *τι* **v**[25] **v**[27] **G** ‖ **214** *ἐξάγειν* om. **π** | ad *πειρᾶται* desinunt **O c**[4] **v**[37] ‖ **215** *οὖν* **π**: *ἴσως* **v**[26] **L** (et **κ**?): *ὅσοις* **v**[25] (*Ὑμεῖς* – **216** *ἐξέτεινα* om. **m**[15]) ‖ **217** *εἰ-ώθει* **v**[25] **v**[26] **L**: *εἴωθεν* **h**[1] **m**[15] **v**[27]: om. **G** ‖ **219** *ἰσαῖος* **v**[25] **v**[26]: *ἰσσαῖος* **L**: *ἰεσσαῖος* **h**[1] **m**[15]: *ὁ ἰουδαῖος* **π** ‖ **220** *ὑπολαμβάνων* **π**: *ἀπολαμβάνων* cett. ‖ **221** *ἀπέκλεισεν* **π** | *ὑμῖν* **v**[25] **m**[15] **π**: *ἡμῖν* **v**[26] **L h**[1] ‖ **223** post *ὑποτιθέντες* add. *ὑμῖν* **v**[25] **v**[26] **L h**[1], *ἡμῖν* **m**[15]

20

Τοῦ αὐτοῦ περὶ ὑετοῦ, χαλάζης, χιόνος, πάχνης καὶ δρόσου

Εἶτα δὴ καὶ περὶ πολλῶν ἐρωτῶν, ὧν ἕκαστον μακρᾶς δεῖται τῆς διηγήσεως, βούλει βραχεῖαν λαβεῖν τῶν ἠρωτημένων ἀπόκρισιν, ἵν' ὁμοῦ καὶ πολλὰ εἰδείης καὶ συμπεπερασμένα τῷ συνήθει μέτρῳ τοῦ
5 *γράμματος; πέντε γοῦν ὄντων περὶ ὧν ἠρωτήκεις, ὑετὸς μὲν καὶ χάλαζα καὶ χιὼν ἐν τῷ ἀπογείῳ μέρει τοῦ κάτω ἀέρος γίνεται, πάχνη δὲ καὶ δρόσος ἐν τῷ περιγείῳ συνίσταται, καὶ τὰ μὲν πρῶτα ἐπέτειά ἐστιν, τὰ δὲ ὕστερα διὰ πάσης ἡμέρας γίνεται. ὑετοῦ μὲν γὰρ καὶ χιόνος καὶ χαλάζης θέρους ἡ ὕλη ἀθροίζεται, χειμῶνος δὲ τὸ εἶδος*
10 *αὐτῶν ἐπιγίνεται· δρόσου δὲ καὶ πάχνης ἡμέρας ἡ ὕλη σωρεύεται, ἐπιγίνεται δὲ τὸ εἶδος ἐν τῇ νυκτί. τούτων δὲ ποιητικὸν προσεχὲς ὁ ἥλιος αἴτιον, τῶν μὲν πρώτων τριῶν διὰ τὴν ἰδίαν κίνησιν, τῶν δὲ δευτέρων δυοῖν διὰ τὸ συμπεριφέρεσθαι τῷ παντί. καὶ αὖθις ὑλικὸν μὲν αὐτῶν αἴτιον ἡ ἀτμίς, ἡ δὲ ψῦξις ποιητικόν. ἡ δὲ γένεσις αὐτῶν αὕτη· τὸ*
15 *περὶ τὴν γῆν ὕδωρ ταῖς ἡλιακαῖς ἀκτῖσι θερμαινόμενον ἱκανῶς ἐξατμίζεται καὶ ὑπέργειον γίνεται μετὰ καπνώδους ἀναθυμιάσεως. διττὸν γὰρ τὸ ἀναφερόμενον κάτωθεν, τὸ μὲν ἐξ ὑδάτων ἢ διύγρων χωρίων, τὸ δὲ ἀπὸ ξηρᾶς γῆς διακρινόμενον. καὶ τὸ μὲν ἀτμιδῶδες ὑγρὸν καὶ βαρύ, τὸ δὲ καπνῶδες κοῦφόν τε καὶ ξηρόν. καὶ μέχρι μέν τινος συμ-*
20 *μέμικται ταῦτα κάτωθεν ἀνιόντα, εἶτα μέχρι πολλοῦ προϊόντα τὸ μὲν ἀτμιδῶδες ὑφίσταται, τὸ δὲ καπνῶδες πρὸς τὸ συγγενὲς ὑπέκκαυμα φέρεται. ἡ τοίνυν ἀτμὶς ἢ μετεωροτέρα γίνεται, ὑπὸ πλείονος ἀναφερομένη θερμότητος, ἢ μένει κάτω ποι τοῦ ἀέρος διὰ τὴν βραχύτητα τοῦ θερμοῦ. ἄνω μὲν οὖν γενομένη ἢ μεταβάλλεται καὶ ποιεῖ ὑετὸν*
25 *καὶ ψεκάδα, ψεκάδα μὲν κατὰ μέρος, ἡνίκα ἐνεχθῇ, καὶ τῆς ἀλλοιώ-*

20 **L** 267r–268v **h**[1] 55r–57r **m**[15] 29r–30v ‖ **1** cf. Psell. Omn. doct. 140 (tit.) ‖ **5–11** cf. Olymp. in Mete. 79, 12–19 ‖ **11–13** cf. 79, 20–22; 25–27 ‖ **13–14** 79, 31–32 ‖ **15–16** 79,33–80,3 ‖ **20–22** 80,5–6 ‖ **24–28** 80,8–14

20 **1** *περὶ τῶν εἰρημένων ἐντιωτέρως* **h**[1]**m**[15] ‖ **2** *Εἶτα* – **5** *ἠρωτήκεις*] *Ἀριδήλως ταῦτα εἰδέναι γινώσκειν χρή* **h**[1]**m**[15] ‖ **7** *καὶ τὰ* – **8** *γίνεται* om. **h**[1]**m**[15] ‖ **8** *γὰρ* om. **h**[1]**m**[15] ‖ **10–11** *τὸ δὲ εἶδος ἐν τῇ νυκτὶ ἐπιγίνεται* trsp. **h**[1]**m**[15] ‖ **14** *ἡ*[1] – *αὐτῶν* om. **h**[1]**m**[15] ‖ **15** *ἡλιακαῖς* **h**[1]: ex *ὑλιακαῖς* corr. **m**[15]: *ὑλικαῖς* **L** ‖ **16** *μετὰ*] *μετὰ καὶ* **h**[1]**m**[15] ‖ **18** *διακρινόμενον* Hansen: *-μένης* codd. | post *μὲν* add. *ἐστιν* **h**[1]**m**[15] ‖ **19** *τε* om. **h**[1]**m**[15] | *μέχρι* – **20** *προϊόντα* om. **h**[1]**m**[15] ‖ **21** *ἀτμῶδες* **h**[1]**m**[15] ‖ **23** *κάτω πη* **h**[1]: *κάτωθεν* **m**[15] | *βραδύτητα* **m**[15]: *βρα* (in fin. lin.) **h**[1] ‖ **25** *ἐνεχθῇ* sec. Olymp. 80, 10 et Psell. Omn. doct. 140, 8 scripsi: *ἐνέχθη* ut vid. **L**: *ἠνέχθη* **h**[1]**m**[15]

*σεως γενομένης, ὑετὸν δὲ ἀθρόως τῆς ἀτμίδος εἰς ὕδωρ μεταβαλλού-
σης, ἢ πήγνυται καὶ ποιεῖ χιόνα· εἰ δὲ μεταβαλοῦσα εὐθὺς παγῇ, ἀπο-
τελεῖ χάλαζαν. ἡ δὲ ἐν τῷ περιγείῳ τοῦ ἀέρος ὑποστᾶσα ἀτμὶς ἢ ἀλ-
λοιοῦται καὶ μεταβάλλεται καὶ γίνεται τὸ ἀνάλογον τῷ ὑετῷ, φημὶ δὲ
ἡ δρόσος, ἢ πήγνυται καὶ γίνεται ὁ παγετός, ὅστις ἀναλογεῖ τῇ χιόνι.* 30
*τὸ δὲ ἀναλογοῦν τῇ χαλάζῃ οὐκέτι γίνεται ἐν τῷ περιγείῳ· οὐ γὰρ
ἀλλοιουμένη πήγνυται διὰ τὸ μὴ εἶναι πολὺ τὸ ἐν τῷ μεταξὺ διά-
στημα· ὁ γὰρ κρύσταλλος οὐκ ἐξ ἀτμίδος οὐδ' ἐν ἀέρι, ἀλλ' ἐξ ὕδατος
ἐν γῇ πηγνυμένου γίνεται. ἔστι δὲ ἡ μὲν ἐξ ὕδατος ἀναθυμίασις ἀτμίς,
ἡ δ' ἐξ ἀέρος εἰς ὕδωρ νέφος· ἡ μὲν γὰρ ἀπὸ τοῦ ὕδατος εἰς ἀέρα με-* 35
*ταβολὴ διὰ μέσης ἀτμίδος γίνεται, ἡ δὲ ἀπὸ τοῦ ἀέρος εἰς ὕδωρ διὰ
μέσου νέφους. ὃ δ' ἂν εὑρεθῇ ἄγονον ἐν τῇ νεφέλῃ καὶ μὴ δυνάμενον
εἰς ὕδωρ μεταβληθῆναι, τοῦτο πίπτει κάτω καὶ ποιεῖ τὴν ὁμίχλην·
ὅθεν καὶ εὐδίας ἡ ὁμίχλη σημαντική· ἔστι γὰρ ἡ ὁμίχλη νεφέλη
ἄγονος· ὡς μὲν γὰρ ξηροτέρα, οὐ μεταβάλλει εἰς ὕδωρ, ὡς δὲ ψυ-* 40
χροτέρα, κάτω πίπτει· τὸ γὰρ ψυχρὸν κατωφόρον ἀεί.

*Καὶ ἡ μὲν πάχνη πηγνυμένης τῆς ἀτμίδος γίνεται, ἡ δὲ δρόσος ἀλ-
λοιουμένης· καὶ ἡ μὲν πάχνη ἐν τοῖς ψυχροτάτοις χωρίοις γίνεται καὶ
χειμῶνος, ἡ δὲ δρόσος ἐν τοῖς εὐκράτοις καὶ ἐν ἔαρι καὶ φθινοπώρῳ.
ὅθεν δῆλον ὡς ψυχροτέρα μὲν ἡ πάχνη τῆς δρόσου, ψυχροτέρα δὲ τοῦ* 45
*ὑετοῦ ἡ χιών, ψυχροτέρα δὲ καὶ χιὼν χαλάζης, εἴ τις ἀκριβῶς βού-
λοιτο κατανοεῖν. ἡ μὲν γὰρ χιὼν θερμοτέρου ὑποκειμένου πῆξίς ἐστι,
φημὶ δὴ τῆς ἀτμίδος· ἡ δὲ χάλαζα ψυχροτέρου, λέγω δὴ τοῦ ὕδατος.
ὥσπερ δὲ χιὼν χαλάζης ψυχροτέρα, οὕτως καὶ πάχνη κρυστάλλου·
ἀλλὰ διὰ τὸ ἀντιβαίνειν χάλαζά τε δοκεῖ χιόνος εἶναι ψυχροτέρα καὶ* 50
*κρύσταλλος πάχνης, καθάπερ καὶ ὁ πεπυρακτωμένος σίδηρος τῆς
φλογὸς δοκεῖ εἶναι θερμότερος.*

*Γίνεται δὲ δρόσος καὶ πάχνη αἰθρίας οὔσης καὶ νηνεμίας, ἐφημερι-
νήν τε ἀμφότερα ἔχει τὴν γένεσιν. πλὴν ἡ μὲν δρόσος, ὥσπερ εἰρήκα-
μεν, ἐν τοῖς ἀλεεινοτέροις μάλιστα γίνεται καὶ καιροῖς καὶ τόποις, ἡ* 55

28–32 80, 16–21 ‖ **32–34** 80, 26–29 ‖ **34–35** 84, 17–18 (= Arist. Mete. 346 b 32) ‖ **35–37** 84, 19–20 ‖ **37–41** 84, 29–85, 5 ‖ **42** sq. 86, 15–17 ‖ **43–52** 86, 24–87, 4 ‖ **53–54** 87, 24–29 ‖ **54–57** Psell. Omn. doct. 141, 3–5; Olymp. in Mete. 88, 3–6

27 *μεταβαλλοῦσα* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **33** (et ubique) *κρύσταλος* $\mathbf{L}\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **43** *τοῖς ψυχροτάτοις*] *ψυχροῖς* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **44** *ἔαρι*] *ἀέρι* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **46** *εἴ τις* – **47** *κατανοεῖν* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **48** *λέγω*] *λόγω* $\mathbf{h}^1\mathbf{m}^{15}$ | *δὴ* Bidez: *δὲ* $\mathbf{L}\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **52** *εἶναι δοκεῖ* trsp. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **53** *δὲ*] *ἡ* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **54** *τε* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ | *πλὴν* – **56** *ψυχροτέροις* om. $\mathbf{h}^1\mathbf{m}^{15}$

δὲ πάχνη ἐν τοῖς ψυχροτέροις, καὶ ἡ μὲν δρόσος νοτίων πνευμάτων ἐπικρατούντων, ἡ δὲ πάχνη βορείων. ἡ δὲ χάλαζα λαβρότερον μᾶλλον φέρεται ἔαρος καὶ φθινοπώρου καὶ ὀπώρας ἤπερ χειμῶνος. ἐν δὲ ταῖς ἀλεεινοτέραις ὥραις καὶ χώραις ἡ χάλαζα γίνεται, ἐπειδὴ γίνεταί τις
60 *ἀντιπερίστασις ἐν τῷ θέρει τοῦ ψυχροῦ· θερμότητος γὰρ τηνικαῦτα οὔσης πολλῆς ἀντιπεριίσταται τὸ ψυχρὸν ἐν τῷ βάθει καὶ ἀποκλειόμενον πλουσιώτερον γίνεται.*

Εἰ δὲ ἀποροίη τις τί δήποτε μὴ γίνεται ἐν θέρει μᾶλλον χάλαζα ἤπερ ἐν φθινοπώρῳ, ἐπειδὴ καὶ πλείων τηνικαῦτα ἡ θερμασία,
65 *σύντομον αὐτῷ τὴν λύσιν ἐπάγομεν, ὅτι διὰ τὴν τῆς ὑλικῆς αἰτίας ἔνδειαν, λέγω δὴ τῆς ὑγρότητος· βραχεῖα γὰρ τηνικαῦτά ἐστι. μᾶλλον δὲ φθινοπώρου ἢ ἔαρος ἡ χάλαζα γίνεται διὰ τὸ προθερμανθῆναι τὸν ἐν τῷ φθινοπώρῳ ἀέρα ὑπὸ τοῦ προηγησαμένου θέρους· τὰ γὰρ προθερμανθέντα ταχύτερον ψύχεται. εἰ δὲ ἀπορεῖς ὡς, εἰ διὰ τὴν ἔνδειαν τῆς*
70 *ὑγρότητος ὑετὸς οὐ γίνεται θέρους, τί δήποτε ἐν Ἀραβίᾳ καὶ ἐν Αἰθιοπίᾳ μάλιστα θέρους ὁ ὑετὸς κάτεισιν, ἀποκρινόμεθά σοι ὅτι καὶ ὁ τηνικαῦτα γινόμενος ὑετὸς ἐν ταῖς εἰρημέναις χώραις ἐξ ὑγρότητος γίνεται, ἀλλ' οὐκ ἐν ταύταις γινομένης, ἀλλ' ἑτέρωθεν σωρευομένης. ἐπειδὴ γὰρ ἐν τῷ θέρει πνέουσιν οἱ ἐτησίαι, βόρειοι ὄντες, ἐξωθοῦσιν ἐκεῖ τὰ*
75 *νέφη· ταῦτα δὲ προσπταίοντα τοῖς Σεληναίοις ἐκεῖσε ὄρεσι καλουμένοις, τῇ πιλήσει εἰς ὕδωρ μεταβάλλεται κἀντεῦθεν κατάγεται ὑετός. καὶ ἡ συναθροισθεῖσα δὲ ἐν τοῖς τοιούτοις ὄρεσι χιὼν ἀναλυομένη πλημμύραν ἐν τῷ θέρει ποιεῖ. καὶ αἱ τοῦ Νείλου δὲ ἀρχαὶ ἐν τῇ ἀντοικουμένῃ εἰσίν. ἐπειδὴ οὖν, ὅτε ἐκεῖ ἐστι χειμών, ἐν ἡμῖν θέρος*
80 *ἐστίν, συμβαίνει πλεονεξίας ἐκεῖ ὑδάτων οὔσης καταρρεῖν ἐνταῦθα τὰ ὕδατα καὶ διὰ τοῦτο πλεονάζειν τὸν Νεῖλον. καὶ θερμότητος δὲ τοῦ θέρους οὔσης πλείονος, τὸ ψυχρὸν ἀντιπεριιστάμενον πυκνοῖ καὶ ὕδωρ γεννᾷ.*

57–58 88, 27 ‖ **58–59** 92, 4–5 ‖ **59–62** 92, 28–30 ‖ **63–69** 93, 27–35 ‖ **69–83** 94, 4–17

57 post *ἐπικρατούντων* add. *γίνεται ἐν τοῖς ἀλεεινοτέροις τόποις* $\mathbf{h}^{1}\mathbf{m}^{15}$ | post *βορείων* add. *ἐν τοῖς ψυχροτέροις* $\mathbf{h}^{1}\mathbf{m}^{15}$ | *λαυρότερον* $\mathbf{L}\mathbf{h}^{1}\mathbf{m}^{15}$: corr. Bidez ‖ **58** *καὶ ὀπώρας* non habent Psell. Omn. doct. 141, 9 et Olymp. 88, 27 ‖ **63** *μᾶλλον* om. $\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **64** *πλέον* $\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **65** *σύντομον – ἐπάγομεν* om. $\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **66** *μᾶλλον* sec. Olymp. 93, 31 corr. Bidez: *μάλιστα* $\mathbf{L}\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **67** *ἔαρος*] *ἀέρος* $\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **68** *θέρους*] *ἀέρος* $\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **71** *ἀποκρινόμεθά σοι* om. $\mathbf{h}^{1}\mathbf{m}^{15}$ ‖ **73** *ἑτέρωθεν* Bidez: *ἑτέρωθι* $\mathbf{h}^{1}\mathbf{m}^{15}$: *ἑτέρωθ( )* **L** ‖ **74** *ἐτήσιοι* $\mathbf{h}^{1}\mathbf{m}^{15}$

21

Περὶ ἀνέμων

Ἠιτιάσω με ἐν τῷ γράμματι, ὅτι μὴ καὶ περὶ πνευμάτων ἐν τῇ προτέρᾳ σοι διελέχθην ἐπιστολῇ· ἐγὼ δὲ μᾶλλον ἀνταιτιῶμαί σε, ὅτι με κατεμέμψω ἀπερισκέπτως. οὐ γὰρ ἐκ τῆς αὐτῆς ὕλης ἐκεῖνά τε καὶ ἡ τῶν ἀνέμων φύσις ἐστίν, ἀλλὰ τὰ μὲν εἰρημένα ἐκ τῆς ἀτμιδώδους 5 *ἀναθυμιάσεως ἔχει τὴν γένεσιν, ἀπὸ δὲ τῆς καπνώδους οἱ ἄνεμοι· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἄνεμος ἢ καπνώδης ἀναθυμίασις ἐν τῷ περιγείῳ κινουμένη τόπῳ· διότι καὶ λοξὴν τὴν κίνησιν ποιοῦνται οἱ ἄνεμοι. ἡ γὰρ καπνώδης ἀναθυμίασις πλησίον τοῦ ἀπογείου ἀέρος γενομένη καὶ κύκλῳ φερομένῳ προσπελάσασα σώματι τρέπεται καὶ πεπλάνηται καὶ* 10 *εἰς τὰ πλάγια ποιεῖται τὴν κίνησιν. οὐ θαυμαστὸν δὲ εἰ ἐκ τῆς καπνώδους ὄντες ἀναθυμιάσεως οἱ ἄνεμοι, φημὶ δὴ τῆς θερμοτέρας ὥρας, ψῦχος ἡμῖν ἐμποιοῦσιν· ἐξωθοῦντες γὰρ τὸν προεκθερμανθέντα ἐξ ἡμῶν ἀέρα, ψυχρότερον ἀντεισφέρουσιν, ὥσπερ καὶ ἡ ῥιπὶς ποιεῖν εἴωθεν. οὐκ ἔστι δὲ ὁ ἄνεμος ἀὴρ κατὰ τὸν Ἱπποκράτη κινούμενος. ἀλλ'* 15 *οὐδὲ εἷς ⟨ὁ⟩ ἄνεμος, διότι πᾶς ἐκ τῆς αὐτῆς ὕλης ἐστίν· εἰ γὰρ καὶ μία ἐστὶν ἡ τῶν ἀνέμων ὕλη, ἀλλὰ τὰ εἴδη διάφορα· εἴδη δὲ τῶν ἀνέμων οἱ διάφοροι τόποι ἐξ ὧν πνέουσι καὶ εἰς οὓς φέρονται. ἀλλ' οὐδέ ἐστιν ἐνεργείᾳ ἡ ὕλη τῶν ἀνέμων συναθροιζομένη, ἀλλὰ γίνεται διηνεκῶς τῆς ἀτμίδος μεταβαλλούσης.* 20

Τεσσάρων δὲ ὄντων ἀνέμων καθολικωτέρων – δώδεκα γὰρ τὸν ἀριθμὸν οἱ σύμπαντες, ὡς προϊόντες ἐροῦμεν –, τεσσάρων γοῦν ὄντων ἐκείνων οἱ μὲν δύο, ἀπηλιώτης φημὶ καὶ ζέφυρος, οὔκ εἰσι σφοδρότατοι, βορρᾶς δὲ καὶ νότος τυραννικώτατοι. αἴτιον δὲ ὅτι ἐν μὲν τῷ βορείῳ καὶ νοτίῳ πόλῳ οὐ παραγίνεται ὁ ἥλιος, ὅθεν οὐδὲ 25 *ἀναξηραίνεται ἡ ἐκεῖσε γινομένη ἀναθυμίασις, ἥτις ὕλη τῶν ἀνέμων ἐστίν. ἐν δὲ τοῖς ἀνατολικοῖς καὶ τοῖς δυτικοῖς χωρίοις εἰωθὼς ὁ ἥλιος*

21 **L** 268^{v}–269^{v} **h**^{1} 57^{r}–58^{v} **m**^{15} 30^{v}–32^{r} ‖ **4–6** cf. Olymp. in Mete. 96,28–97,3 ‖ **6–8** cf. 97,3–5 ‖ **8–11** 97,18–20 ‖ **11–15** 98,19–23 ‖ **15** 97,39–98,1 (Hippocr. *Περὶ φυσῶν* 3) ‖ **16** cf. 98,35–36 ‖ **16–17** 99,1–2 sq. ‖ **18–20** cf. 99,9–10; 19–20 ‖ **21–27** 170,22–26; Psell. Omn. doct. 146,6–10 ‖ **27–29** cf. Olymp. 170,29–33; Psell. Omn. doct. 146,14–17

21 **2** *Ἠιτιάσω* – **5** *ἐστίν* om. **h**^{1}**m**^{15} ‖ **5** *ἀλλὰ*] *καὶ* **h**^{1}**m**^{15} ‖ **6** *ἀπὸ* – *ἄνεμοι*] *οἱ δ' ἄνεμοι ἀπὸ τῆς καπνώδους* **h**^{1}**m**^{15} ‖ **7** *ἄλλο* **h**^{1}**m**^{15}: om. **L** ‖ **12** *δὴ*] *δὲ* **h**^{1}**m**^{15} ‖ **13** *ψύχη* **h**^{1}**m**^{15} ‖ **16** *ὁ* add. Bidez ‖ **16–17** *καὶ μία*] *ὁμοία* **h**^{1}**m**^{15} ‖ **19** *ἐστιν* **h**^{1}**m**^{15}: om. **L** ‖ **20** *μεταβαλούσης* **h**^{1}**m**^{15} ‖ **22** *ὡς* – **23** *ἐκείνων* om. **h**^{1}**m**^{15} ‖ **23** *φημὶ* om. **h**^{1}**m**^{15} ‖ **26** *γινομένη*] *ἀναγινομένη* **h**^{1}**m**^{15} ‖ **27** *τοῖς*^{2} om. **h**^{1}**m**^{15} | *χωρίοις* post *ἀνατολικοῖς* trsp. **h**^{1}**m**^{15}

παραγίνεσθαι οὐκ ἐᾷ ψῦξιν γενέσθαι πολλήν, καὶ διὰ ταῦτα οὐ πνέου-
σιν ἐνταῦθα σφοδρότατοι ἄνεμοι. εὔτονοι δὲ οἱ νότιοι ἄνεμοι καὶ οἱ
30 βόρειοι ὅτι τὸ πλέον τῆς ξηρᾶς γῆς ἐν τοῖς νοτίοις ἐστίν, ἐν δὲ τοῖς
βορείοις ὀλίγη μέν ἐστιν ἡ γῆ, ἀλλ' ἔνικμος. διὰ γοῦν τὴν ψῦξιν πλεί-
ους οἱ ὄμβροι γίνονται καὶ διὰ τὸ ἔνικμον τῆς γῆς πολλὴ ἡ καπνώδης
ἀναθυμίασις. εἰ δὲ λέγει ὁ Ἀριστοτέλης τὰ νότια μέρη ψυχρὰ εἶναι,
φαμὲν ὅτι οὐ πρὸς ἡμᾶς ταῦτα λέγει ψυχρά, ἀλλ' ὡς πρὸς τὸ πᾶν.
35 Γίνονται δὲ οἱ ἐτήσιαι βόρειοι μετὰ ἡμέρας εἴκοσι τῆς θερινῆς
τροπῆς· τηνικαῦτα γὰρ τῆς χιόνος λυομένης γίνονται αὖραι ψυχραὶ
κατὰ τὸν βορρᾶν, αἵτινες ἐτήσιαι λέγονται. εἰσὶ δὲ καὶ νότιοι ἐτήσιαι
ὡς ἀπὸ τοῦ πρὸς τὸ πᾶν νότου, ἴσως δὲ ἢ καὶ ἀπὸ τοῦ καθ' ἡμᾶς·
ἀλλ' οἱ μὲν ἀπὸ τοῦ πρὸς τὸ πᾶν ἀνεπαίσθητοι ἡμῖν εἰσι διὰ τὸ πλεῖ-
40 στον ἡμῶν ἀφίστασθαι, οἱ δὲ ἀπὸ τοῦ καθ' ἡμᾶς νότου μετὰ
ἑβδομήκοντα ἡμέρας τῆς χειμερινῆς τροπῆς ἄρχονται πνεῖν. καὶ ἀρχό-
μενος μὲν ὁ ἄνεμος πνεῖν ἀμυδρῶς πνεῖ, προκόπτων δὲ ὡς ἐπὶ ἄλλην
γῆν φερόμενος γίνεται σφοδρότερος διὰ τὸ συγκαταμίγνυσθαι αὐτῷ
ἄλλας ἀναθυμιάσεις.
45 Δώδεκα δὲ τῶν ἀνέμων ὡς εἰρήκαμεν ὄντων – μᾶλλον δὲ ια´ τὸν
ἀριθμὸν εὕρομεν –, δεῖ μέγιστον κύκλον νοῆσαι περὶ τὰ πέρατα τῆς
γῆς ὄντα καὶ ἐμπεριέχοντα τὴν σύμπασαν, καὶ κεκλήσθω οὗτος ὁρί-
ζων. εἶτα ἕτερος κύκλος κατὰ τὸ μέσον τούτου τεμνέτω καὶ ὀνομαζέ-
σθω ἰσημερινός· ἄλλος δέ τις κύκλος μέγιστος ἐγκαρσίως τοὺς δύο
50 τεμνέτω· τεμνέσθω δὲ καὶ αὐτὸς ὑπὸ τοῦ ὁρίζοντος καὶ καλείσθω με-
σημβρινός. εἶθ' ἑξῆς τοῦ ἰσημερινοῦ δύο παράλληλοι κύκλοι ἐπινοεί-
σθωσαν κατ' ἴσον ἀλλήλοις τοῦ μέσου καὶ μεγίστου ἀπέχοντες. καὶ
τούτων οὕτω κατασκευασθέντων μεταξὺ τῶν παραλλήλων καὶ τοῦ
ὁρίζοντος ς̅ʹ χῶραι ἀπολαμβάνονται, τρεῖς μὲν ἐκ δεξιῶν τοῦ μέσου

29–33 cf. Olymp. 170, 38 sq.; 171, 6–8; 187, 8–10; Psell. 146, 17–21 ‖ **33–34** Olymp. 170, 33–36 ‖ **35–37** 176, 28–30; Psell. 146, 28–31 ‖ **37–41** Olymp. 177, 15–20; Psell. 146, 31–34 ‖ **41–44** Olymp. 178, 31–33 ‖ **46–50** cf. 183, 19–24 ‖ **53–61** 183, 25–184, 10

28 *παραγίνεται* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **29** *δὲ* $\mathbf{h}^1\mathbf{m}^{15}$: om. **L** | *ἄνεμοι* post *βόρειοι* trsp. $\mathbf{h}^1$: om. $\mathbf{m}^{15}$ | *καὶ* $\mathbf{h}^1\mathbf{m}^{15}$: *ἢ* **L** ‖ **30** *βόρειοι* $\mathbf{h}^1\mathbf{m}^{15}$ *(βόριοι)*: *βορέαι* **L** ‖ **31** *ἐστιν* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **32** *οἱ* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **33** *εἰ δὲ* – **34** *πᾶν* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ qui tit. *περὶ ἐτησίων ἀνέμων* hic habent ‖ **35** *δὲ οἱ*] *οὖν* $\mathbf{h}^1\mathbf{m}^{15}$ | *ἐτήσιοι βορέοι* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **38** *ὡς ἀπὸ* – **40** *νότου* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **41** *ἄρχονται* $\mathbf{h}^1\mathbf{m}^{15}$: *-εται* **L** ‖ **45** *ὄντων* post *ἀνέμων* trsp. $\mathbf{h}^1\mathbf{m}^{15}$ | *μᾶλλον* – **46** *εὕρομεν* **L** (qui *εὕρωμεν* habet): *καὶ πρόσσχες ἵνα τὸν ἀριθμὸν εὕρῃς* (*-οις* $\mathbf{m}^{15}$) $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **48** *τούτου* Olymp. (183, 22) conferens scripsi: *τούτων* **L**: *τοῦτο* $\mathbf{h}^1\mathbf{m}^{15}$: *τοῦτον* voluit Bidez ‖ **50** *μεσημερινός* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **51** *ἑξῆς* $\mathbf{h}^1\mathbf{m}^{15}$: *ἑξίης* **L**

παραλλήλου, τρεῖς δὲ ἐξ ἀριστερῶν. καλοῦνται δὲ οἱ μὲν ἀκρόπολοι 55
παράλληλοι, ὁ μὲν ἀρκτικός, ὁ δὲ ἀνταρκτικός, ὁ δὲ ἐφεξῆς τῷ ἀρ-
κτικῷ θερινός, εἶτα ἰσημερινός. καὶ αἱ μὲν μεταξὺ δύο χῶραι τῶν
πόλων ὀμφαλοὶ ὀνομαζέσθωσαν, ἐπειδὴ τμήματα μικρὰ κύκλου εἰσίν,
αἱ δὲ μεταξὺ τῶν τροπικῶν καὶ τῶν πόλων τύμπανα διὰ τὸ ἐοικέναι
κώνοις κολούροις. ἡ δὲ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ⟨χειμε- 60
ρινοῦ⟩ τροπικοῦ χώρα διακεκαυμένη κεκλήσθω.

Δώδεκα οὖν ἀνέμων ὄντων ἀπὸ μὲν τοῦ δυτικοῦ ὁρίζοντος πνεῖ ὁ
ζέφυρος, ἀπὸ δὲ τοῦ ἀνατολικοῦ ὁ ἀπηλιώτης, καὶ ἀπὸ μὲν τοῦ ἀρ-
κτικοῦ πόλου ὁ ἀπαρκτίας, ἀπὸ δὲ τοῦ ἀνταρκτικοῦ ὁ νότος, καὶ ἀπὸ
μὲν τῆς θερινῆς ἀνατολῆς ὁ καικίας, ἀπὸ δὲ τῆς χειμερινῆς δύσεως ὁ 65
λίψ, εἶτα ἐξ ἀμφοτέρων τῶν μερῶν ὁ εὖρος καὶ ὁ ἀργέστης, ὃν ὁ
Πτολεμαῖος Ἰάπυγα προσαγορεύει. ὁ δὲ ἀπὸ τῆς μιᾶς τομῆς τοῦ ἀρ-
κτικοῦ πόλου πνέων βορέας καλεῖται ἢ μέσης, ὅστις μεταξύ ἐστιν και-
κίου καὶ ἀπαρκτίου. ὁ δὲ ἀπὸ τῆς ἑτέρας τομῆς ὁ θρασκίας ἐστὶ με-
ταξὺ ὢν ἀπαρκτίου καὶ Ἰάπυγος. καὶ ἐν τῷ νοτίῳ δὲ πόλῳ ὡσαύτως 70
ἀφ' ἑκατέρων τομῶν, καὶ ὁ μὲν εὐρόνοτος ὀνομάζεται μεταξὺ ὢν
εὔρου καὶ νότου, ὁ δὲ λιβόνοτος. βορέαι δὲ πλείους εἰσὶ τῶν νοτίων
πνευμάτων διὰ τὸ εἶναι πολλὴν ὕλην ἀνέμων ἐν τῷ βορείῳ τόπῳ. εἰ δὲ
καὶ πολλὰ τὰ ἐντεῦθεν πνεύματα, ἀλλ' οὐκ εὔτονα διὰ τὸ ἀπὸ πολλῆς
ὑγρότητος πνεῖν. τὰ δὲ νότια ὀλίγα μὲν διὰ τὴν ἔνδειαν τῆς ὕλης, 75
εὔτονα δὲ διὰ τὴν τῆς γῆς ξηρότητα. ὁ δὲ νότος οὐκ ἀπὸ τοῦ ἀνταρ-
κτικοῦ πόλου πνεῖ, ἀλλ' ἀπὸ τοῦ θερινοῦ τροπικοῦ.

62–67 185, 26–35; Psell. 146, 35–41 ‖ **67–70** Olymp. 186, 4–7; Psell. 146, 42–45 ‖ **70–72** cf. Olymp. 186, 10–187, 1; Psell. 146, 46–48 ‖ **72–73** Olymp. 187, 3–5 ‖ **73–76** 187, 8–10; Psell. 146, 48–51 ‖ **76–77** Olymp. 189, 14–15

55 *τρεῖς*] *καὶ τρεῖς* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **57** *χώρων* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **58** *οὐφαλοὶ* $\mathbf{h}^1\mathbf{m}^{15}$ | *ἐπεὶ* $\mathbf{h}^1\mathbf{m}^{15}$ | *μικρὰ* $\mathbf{h}^1\mathbf{m}^{15}$ (qui ante *τμήματα* ponunt): *μικροῦ* **L** ‖ **60** *κολλούροις* **L**: *κωλλούροις* $\mathbf{h}^1\mathbf{m}^{15}$ | *χειμερινοῦ* ex Olymp. (184,9) addidi ‖ **62** *Δώδεκα – ὄντων*] *καὶ* tantum $\mathbf{h}^1\mathbf{m}^{15}$ (qui tit. *ὅθεν πνέουσιν οἱ ἄνεμοι* habent) ‖ **63** *ὁ* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ | *μὲν τοῦ* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **64** *ἀπὸ*^{2} $\mathbf{h}^1\mathbf{m}^{15}$: *ὁ ἀπὸ* **L** ‖ **65** *μὲν* om. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **67** *ἰάπυγα* post *ὃν* trsp. $\mathbf{h}^1\mathbf{m}^{15}$ | *προσαγορεύει*] *λέγει* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **68** *μέσης*] *μέσος* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **71** *ἀφ'*] *ἐφ'* $\mathbf{h}^1$, et $\mathbf{m}^{15}$ ante vel post corr. | *τομῶν*] *τῶν μερῶν* $\mathbf{h}^1\mathbf{m}^{15}$ | *εὐρόνοτος ὀνομάζεται*] *εὐρ. λέγεται* et post *νότου* (72) trsp. $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **72** *βορέοι* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **74** *ἐνταῦθα* $\mathbf{h}^1\mathbf{m}^{15}$ ‖ **76** *ὁ δὲ* – **77** *τροπικοῦ* post *λιβόνοτος* (72) trsp. $\mathbf{h}^1\mathbf{m}^{15}$

22

Τοῦ αὐτοῦ περὶ βροντῆς, ἀστραπῆς, κεραυνοῦ, πρηστῆρος, ἐκνεφίου καὶ τυφῶνος

Εἰκός τι ποιεῖς ἐπισυνάπτων ἡμῖν ἐν ταῖς ἐπερωτήσεσι νῦν ὁπόσα
τῆς αὐτῆς ὕλης ἀπογεννᾶται. καὶ γὰρ καὶ ἡ βροντὴ καὶ ἡ ἀστραπὴ
5 *καὶ ὁ πρηστὴρ καὶ ὁ κεραυνὸς ὅ τε ἐκνεφίας καὶ ὁ τυφὼν ἐκ τῆς κα-*
πνώδους ἀναθυμιάσεως τίκτονται. καὶ οὐ μόνον ἐκ τῆς αὐτῆς ὕλης τὰ
διηριθμημένα γίνεται, ἀλλὰ καὶ κατὰ ἐκπυρηνισμὸν φέρεται. αὐτὸ γὰρ
τὸ πνεῦμα τὸ ἐκ τῶν νεφῶν ἐκκρινόμενον ἀμετάβλητον μὲν ὂν καὶ
σποράδην διαχεόμενον ⟨καὶ⟩ λεπτομερέστερον ὂν βροντὰς ἀποτίκτει,
10 *ἐξαφθὲν δὲ τῇ λεπτύνσει καὶ ἐκπυρηνισθὲν ἀστραπάς. εἰ δὲ λεπτομε-*
ρὴς ἡ ἀναθυμίασις ᾖ καὶ ἐκπεπυρωμένη καὶ ταχέως διιοῦσα τὸ σῶμα
διὰ λεπτομέρειαν, κεραυνὸς λέγεται ὀξύτατα διερχόμενος τὸ σῶμα καὶ
μὴ καταφλέγων μηδὲ μελαίνων αὐτό. εἰ δὲ παχυτέραν ἔχει τὴν ὕλην
τὸ ἐξαφθὲν πνεῦμα, ὡς μὴ διιέναι ταχέως, ἀλλ' ἐμβραδύνειν καὶ με-
15 *λαίνειν τὸ σῶμα, συνεπισπᾶται δὲ μεθ' ἑαυτοῦ καὶ παχυμερεστέραν*
οὐσίαν ἐκ τοῦ νέφους καὶ ἐκπυροῖ καὶ ταύτην, πρηστὴρ καλεῖται· τοῦ
δὲ πρηστῆρος καὶ προηγεῖται πνεῦμα καὶ σύνεστιν αὐτῷ καὶ ἐπ-
ακολουθεῖ. εἰ δὲ ἰσχυρὸς ἄνεμος ἀποδιώξει τὰ νέφη, εἶτα ἐκείνου παυ-
σαμένου ἄλλος ἰσχυρότερος ἀντεπαναστὰς ἀντωθήσει ταῦτα, ὡς παλίρ-
20 *ροιαν γίνεσθαι τῶν νεφῶν, ὁ ἐκνεφίας ἄνεμος γίνεται. εἰ δὲ παχεῖα*
οὖσα ἡ ἀτμὶς φέρεται κατευθὺ ἐπὶ τὸ κάταντες ἢ κατὰ γῆς ἢ κατὰ
θαλάττης, εἶτα προσπταίουσά τινι ἀντιτύπῳ ἀναπάλλεται, ὡς εἰς τοὐ-
πίσω ἀναστρέφειν, ἐπειδὴ δὲ κωλύεται τὸ ἀναπαλλόμενον αὐτῆς μέρος
εἰς τοὐπίσω ἀναπάλλεσθαι ὑπὸ τοῦ ὄπισθεν ἐπακολουθοῦντος αὐτῆς

22 **L** 270^{r}–271^{v} **O** 433^{r}–433^{v} **h**^{1} 59^{r}–60^{v} **m**^{15} 32^{r}–33^{r} ‖ **4–7** cf. Olymp. in Mete. 202, 35–203, 3 ‖ **7–9** 203, 4–6 (= Arist. Mete. 370 b 4–7) ‖ **9–10** cf. Psell. Omn. doct. 150, 10–12 ‖ **10** cf. Olymp. in Mete. 203, 7–9 ‖ **10–13** 202, 2–7; Psell. Omn. doct. 149, 2–6 ‖ **13–18** cf. Olymp. 202, 8–15 ‖ **15–18** cf. Psell. 150, 3–5; 9–10 ‖ **18–20** Olymp. 197, 10–12 ‖ **20–29** 200, 6–14; Psell. Omn. doct. 147, 4–11

22 **1** *Τοῦ αὐτοῦ* **L**: om. **Oh**^{1}**m**^{15} ‖ **4** *ἀπογεννᾶται* **Lh**^{1}**m**^{15}: *ἐπιγεννᾶται* **O** | *καὶ γὰρ* **Lh**^{1}**m**^{15}: om. **O** ‖ **5** *ὅ τε* **L**: *ὁ* **h**^{1}**m**^{15}: *ὅταν* ut vid. **O** ‖ **9** *διαχεόμενον* **Lh**^{1}**m**^{15}: *δια-δεχόμενον* **O** | *καὶ* sec. Arist. et Psell. Omn. doct. 150, 10 addidi ‖ **13–14** ad *κεραυνός* pertinet apud Olymp. ‖ **13** *παχυτέραν* **Lh**^{1}**m**^{15}: *πλεωτέραν* **O** ‖ **17** *καὶ προηγεῖται* **L** (om. **h**^{1}**m**^{15}): *καταπροηγεῖται* **O** | *ἐπακολουθεῖ* **L** (om. **h**^{1}**m**^{15}): *ἀντακολουθεῖ* **O** ‖ **18** *ἀποδιώξει* **Lh**^{1}**m**^{15}: *ἀποδιώκει* **O** ‖ **22** *προσπταίουσά* **L**: *προσπεσὼν* **h**^{1}**m**^{15}: *προπταίουσα* **O** ‖ **23** *ἀναστρέφειν* **Lh**^{1}**m**^{15}: *-ει* **O**: exspectaveris *-ουσα* (*ἀναστρέψουσα* Olymp.) | *δὲ* **L** (loc. om. **h**^{1}**m**^{15}): om. **O** ‖ **24** *αὐτῆς* **O** (cf. 23 et Olymp.): *-ῷ* **L**: *-οῦ* **h**^{1}**m**^{15}

μέρους, ἐπὶ τὰ πλάγια ἀνακλᾶται δηλονότι, κἀνταῦθα συναντήσασα 25
ἑτέρῳ τινὶ πνεύματι ἢ σώματι ἀντιτύπῳ, κἀκεῖθεν αὖθις ἀναπάλλεται,
καὶ οὕτως διὰ τῶν συχνῶν ἀποπάλσεων γίνεται ἕλιξ καὶ συστροφὴ τοῦ
ἀνέμου, χωροῦσα ἐπὶ τὸ νέφος ἀπὸ τῆς γῆς καὶ μετεωρίζουσα τὸ
προστυχόν. εἰ οὖν οὕτω ταῦτα γίνεται, τὸ πολλαχόθεν ἀποπαλλόμενον
πνεῦμα καὶ ἀντωθούμενον ἀντίτυπον ὂν καὶ παχὺ τυφὼν ὀνομάζεται 30
ἀπὸ τοῦ τύπτειν τὸ προστυχόν, ὁποῖός ἐστιν ὁ ἐν τοῖς ἐντέροις
βορβορυγμός. διττὸν δὲ τρόπον ὁ τυφὼν γίνεται· ἢ γὰρ τὸν εἰρημένον
τρόπον ἀπὸ τῆς γῆς ἔχων τὴν ἀρχήν, ἢ ἄνωθεν ἀπὸ τοῦ νέφους τῆς
ἕλικος ἄρχεται· τοῦ γὰρ νέφους πεπυκνωμένου πάντοθεν ὑπάρχοντος
καὶ τῆς ἔνδον ἐναπειλημμένης καπνώδους ἀναθυμιάσεως πολυπλα- 35
σιαζομένης καὶ ἑλιττομένης πολυειδῶς, ἐξαίφνης ῥήγνυται τὸ νέφος
διὰ τὴν βίαν τῆς ἔνδον ἑλιττομένης καπνώδους ἀναθυμιάσεως καὶ φυ-
λάττει κἂν τῇ προόδῳ τὸ ἐκπυρηνισθὲν πνεῦμα τὸ σχῆμα τῆς ἕλικος.
καὶ ὁ ἐκνεφίας δὲ οὐ τὸν εἰρημένον πρότερον τρόπον, ἀλλὰ καὶ τὸν
ὅμοιον τῷ τυφῶνι τὴν γένεσιν ἔχει· καὶ κατὰ μὲν τὸ εἶδος οὐ διαλ- 40
λάττουσιν ἐκνεφίας καὶ τυφών, παρὰ δὲ τὴν ἐπίτασιν καὶ τὴν ἄνεσιν
διαφέρουσιν. ὁ γὰρ τυφὼν οὐδὲν ἄλλο ἐστὶν ἢ ἐκνεφίας ἐπιτεταμένος.
καὶ ὁ μὲν ἐκνεφίας οὐχ ὁρᾶται, ὁ δὲ τυφὼν ὁρᾶται διὰ τὸ παχυμερε-
στέραν οὐσίαν συνεφέλκεσθαι ἐκ τοῦ νέφους ἐκκρινομένην τὴν κα-
πνώδη ἀναθυμίασιν. καὶ τὸν μὲν ἐκνεφίαν παύει ὑετός· κατασβέννυσι 45
γὰρ τὴν καπνώδη ἀναθυμίασιν ὁ ὑετὸς τὴν ποιητικὴν τοῦ ἐκνεφίου,
ψυχρὸς ὑπάρχων· τὸν δὲ τυφῶνα οὐχ ἱκανός ἐστιν ὁ ὑετὸς παῦσαι,
ἀλλὰ δεῖται ἄλλου τινὸς ψυχροτέρου, καὶ διὰ τοῦτο ὑπὸ τοῦ βορρᾶ
κατασβέννυται.

Ὁ δὲ βορρᾶς ἀεὶ ἀποσοβεῖ τὰ νέφη καὶ αἰθρίαν ποιεῖ, μάλιστα ὅταν 50
μὴ ψυχρὸς πνεῖ· εἰ γὰρ εἴη ψυχρός, παχύνει τὴν ἀτμίδα πρὶν ἢ ἀπο-
σοβῆσαι καὶ εἰς ὕδωρ μεταβάλλει.

Εἰ δὲ πολλάκις ὁ φιλόσοφος Ἀριστοτέλης νῦν μὲν ψυχρόν, νῦν δὲ

31–32 Olymp. 200, 21–22 || 32–38 200, 22–201, 5 || 40–45 201, 22–27 || 40–49 cf. Psell. 148, 2–9 || 45–49 Olymp. 201, 30–33 || 50–52 cf. Olymp. 198, 13–15; Psell. 146, 56–59 || 53–55 cf. Olymp. 199, 6–8

27 *οὕτως* **Lh**¹**m**¹⁵: *ὄντως* **O** | *ἀποπάλσεων* **Lh**¹**m**¹⁵: *ἀποπαλμάτων* **O**: ad *ἀπο-* cf. 29 (*ἀποπαλλόμενον*): *ἀναπάλσεων* Olymp. || 28–29 *τὸ προστυχεῖν* **O**: *πρὸς τὸ τυχόν* **Lh**¹**m**¹⁵: sec. Olymp. correxi || 29 *ἀποπαλλόμενον* **O**: *ἀποστελλόμενον* **Lh**¹**m**¹⁵ || 31 *ἐντέροις* **O**: *ἑτέροις* **L** (om. **h**¹**m**¹⁵) || 41 *παρὰ* **L** (om. **h**¹**m**¹⁵): *περὶ* ut vid. **O** || 43 *ὁ μὲν* **Lh**¹**m**¹⁵: *ὁ μὲν ὁ* **O** || 46 *τοῦ* **L** (om. **h**¹**m**¹⁵): *τῆς* **O** || 51 *πνεῖ* **Oh**¹**m**¹⁵ (cf. Olymp.): *πνῇ* **L**

θερμὸν λέγει τὸν ζέφυρον, ῥητέον ὅτι ψυχρὸς μέν ἐστι κατ' οὐσίαν,
55 *θερμὸς δὲ γίνεται ἐν ὥρᾳ θερμῇ.*
Πνέουσι δὲ οἱ ἐτησίαι μάλιστα θέρους διὰ τὸ ἀνιόντα τὸν ἥλιον ἐπὶ
βορρᾶν λύειν τὴν χιόνα καὶ ὑγραίνειν τὴν γῆν καὶ τὴν τῶν ἀνέμων
ὕλην ἀπογεννᾶν. οἱ μέντοι γε ἀπηλιῶται παύονται διὰ τὸ διαφορεῖσθαι
τὴν ὕλην αὐτῶν διὰ τῆς θερμότητος.
60 *Δώδεκα δὲ τοὺς πάντας ἀνέμους ἀπαριθμησάμενος ὁ φιλόσοφος,*
συναιρεῖ τούτους εἰς τέσσαρας, εἰς ἀπηλιώτην, εἰς ζέφυρον, εἰς ἀπαρ-
κτίαν καὶ εἰς νότον. εἶτα δὴ καὶ τούτους εἰς δύο συγκεφαλαιοῖ, εἰς
βορρᾶν καὶ νότον, καὶ δίδωσι τῷ μὲν βορρᾷ τοὺς δυτικοὺς ἀνέμους
καὶ ἀρκτικοὺς ὡς ψυχροὺς ψυχρῷ, τῷ δὲ νότῳ τοὺς ἀνατολικοὺς πάν-
65 *τας καὶ νοτίους ὡς θερμοὺς θερμῷ. θερμότερα γὰρ τὰ ἀνατολικὰ μέρη*
τῶν δυτικῶν· ἀνερχόμενος γὰρ ὁ ἥλιος καὶ πρὸς ταῖς ἀνατολαῖς τέως
ὑπάρχων θερμαίνει μὲν τὰ ἀνατολικὰ μάλιστα, ἧττον δὲ τὰ δυτικά·
μεσουρανήσας δὲ καὶ πρὸς δυσμὰς ἐρχόμενος ἄρχεται τὰ μὲν δυτικὰ
μέρη μᾶλλον θερμαίνειν, ἧττον δὲ τὰ ἀνατολικά. ἀλλ' ὅσον ἐπὶ τούτῳ
70 *φαίη τις ἂν ἀντανίσωσιν γίνεσθαι καὶ ὁμοίως εἶναι θερμὰ τὰ ἀνα-*
τολικὰ τοῖς δυτικοῖς. ἀλλὰ λέγομεν ὅτι μεσουρανήσαντος τοῦ ἡλίου
καὶ ἐπὶ δυσμὰς κλίναντος μεμένηκεν ἔτι τὸ θερμὸν ἐν τοῖς ἀνατολι-
κοῖς, ἐπειδὴ ὑπὲρ γῆν ἐστιν ὁ ἥλιος, ἐλθόντος δ' εἰς τὰς δυσμὰς τοῦ
ἡλίου καὶ δύναντος οὐκέτι ἐφυλάχθη ἐν τῇ δύσει ἡ θερμασία.
75 *Τῶν δ' ἀνέμων οἱ μὲν ἐναντίοι ἀλλήλοις οὐ συμπνέουσιν, ὥσπερ*
βορρᾶς καὶ νότος καὶ οἱ λοιποὶ ἐναντίοι, οἱ δὲ μὴ κατὰ διάμετρον
συμπνέουσι. καὶ ἐν μὲν ταῖς θερμοτέραις ὥραις, θέρει καὶ φθινοπώρῳ,
οἱ ψυχροὶ ἄνεμοι πνέουσι, ζέφυρός φημι καὶ οἱ ἀπὸ τοῦ δυτικοῦ πάν-
τες, ἐν δὲ ταῖς ψυχραῖς ὥραις χειμῶνος καὶ ἔαρος οἱ θερμοί, ἀπηλιώ-
80 *της καὶ οἱ ἄλλοι ἀνατολικοί. ἐκδαπανωμένης γὰρ τῆς ὕλης τοῦ ἀνέμου*
ἐν τοῖς ἀνατολικοῖς μέρεσιν ἐν θέρει ἀνατολικὸς ἄνεμος οὐ γίνεται,

54–55 cf. Psell. 146, 55–56 ‖ **56–59** cf. Olymp. 198, 21–24 ‖ **60–74** cf. 194, 4–24 ‖ **75–77** cf. Olymp. 195, 5–6; 14; 16–17 ‖ **77–80** cf. 195, 18–21 ‖ **80–86** 195, 28–35

56 *δὲ* **Oh**^{1}**m**^{15}: *δὲ καὶ* **L** | *ἀνιόντα* **Lh**^{1}: *ἀνιῶντα* **m**^{15}: *ἀνισότ(   )τ(   )* **O** | *ἀνιόντα τὸν ἥλιον* ut Olymp. test. a: *ἀνιόντος τοῦ ἡλίου* Olymp. codd. VG ‖ **57** *λύειν* **Lh**^{1}**m**^{15}: *-ει* **O** | *τὴν*^{3} **Lh**^{1}**m**^{15}: om. **O** ‖ **60** *ἀπαριθμησάμενος* **L** (om. **h**^{1}**m**^{15}): *ἐπταριθμησάμενος* **O** ‖ **63** ante *νότον* add. *εἰς* s. l. **L** ‖ **64** *ψυχροὺς* **L** (om. **h**^{1}**m**^{15}): *-ὸς* **O** ‖ **65** *θερμοὺς* **L** (om. **h**^{1}**m**^{15}): *-ὸς* **O** ‖ **69** *τούτῳ* Olymp.: *τοῦτο* **O**: *τούτου* **L** (om. **h**^{1}**m**^{15}) ‖ **70** *θερμὰ τὰ ἀνατολικὰ* **L** (om. **h**^{1}**m**^{15}): *-οὺς τοὺς -οὺς* **O** ‖ **71** *τοῖς* **L** (om. **h**^{1}**m**^{15}): *καὶ τοῖς* **O** ‖ **74** *δύναντος* **LO**: *δύνοντος* **h**^{1}**m**^{15} | *δύσει* **L** (ut Olymp.): *δυνάμει* **h**^{1}**m**^{15}**O** ‖ **77** *καὶ*^{1} – **78** *πνέουσι* **O**: om. **L** (plura om. **h**^{1}**m**^{15}) ‖ **77** *ἐν* scripsi: *αἱ* **O**

ἀλλὰ μὴν οὐδὲ ἐν χειμῶνι δυτικός· ἐπειδὴ γὰρ ψυχρά εἰσι τὰ δυτικὰ μέρη, χειμῶνος ἀφισταμένου τοῦ ἡλίου ψυχρότερα γίνονται, καὶ ἐκ τῆς πολλῆς ψύξεως κατασβέννυται ἡ καπνώδης ἀναθυμίασις καὶ δυτικὸς οὐ γίνεται ἄνεμος. παύει δὲ ὁ βορρᾶς τὸν νότον οὐχ ὡς ἰσχυρός, 85 *ἀλλ' ὡς ὑγρότερος καὶ βαρύτερος. καικίας δὲ καὶ λὶψ κατὰ διάμετρον ὄντες ὑγροί εἰσιν ἄμφω. εὗρος δὲ καὶ ἀργέστης ξηροί, ὁ δὲ εὗρος προϊὼν ὑγραίνεται. καὶ χιονώδεις μὲν βορρᾶς καὶ ἀπαρκτίας, χαλαζώδεις δὲ ἀπαρκτίας αὖθις καὶ θρασκίας, ἀστραπαῖοι δὲ βορέας καὶ ἀπαρκτίας καὶ θρασκίας, ἐπινέφελοι δὲ καικίας τε καὶ βορέας.* 90

23

(433v) *Περὶ ἅλω καὶ ἴριδος ῥάβδων τε καὶ παρηλίων*

Περὶ ἅλω καὶ ἴριδος ῥάβδων τε καὶ παρηλίων ταῦτα ἐπίστασο· ἡ ἅλως ὡς ἐπὶ τὸ πλεῖστον κύκλος φαίνεται τέλειος ὑπάρχων περὶ τὸ λαμπρόν. ὅταν δ' ἐλάττων κύκλου φαίνεται, ἀόριστον γίνεται τὸ μέγεθος τοῦ τμήματος· ποτὲ μὲν γὰρ ἡμικύκλιον φαίνεται, ποτὲ δὲ μεῖ- 5 *ζον ἡμικυκλίου, ποτὲ δ' ἐλάχιστον. ἡ δ' ἶρις οὐχ οὕτως· αὕτη γὰρ κύκλος μὲν τέλειος οὐδέποτε φαίνεται, ἀλλ' ἀεὶ ἐλάττων κύκλου. αὐτὸ δὲ τὸ σχῆμα ἀεὶ ὡρισμένον ἐστὶ τῆς ἴριδος· ἢ γὰρ καθ' ἡμικύκλιον φαίνεται ἢ κατὰ ἐλάχιστον ἡμικυκλίου σχῆμα. ἀλλ' ὅταν μὲν κατὰ ἡμικύκλιον φαίνεται, τηνικαῦτα ἐλάττονος κύκλου ἡμικύκλιον τὸ φαινόμενόν* 10 *ἐστι σχῆμα τῆς ἴριδος· ὅταν δ' ἔλαττον ἡμικυκλίου ᾖ τὸ σχῆμα τῆς ἴριδος, τηνικαῦτα μείζονος κύκλου τμῆμα φαίνεται τὸ φαινόμενον. καὶ ἡνίκα μὲν περὶ τὸν ὁρίζοντα ὄντος τοῦ ἡλίου γένηται ἡ ἶρις, τηνικαῦτα τὸ ἡμικύκλιον ⟨φαίνεται⟩ σχῆμα τῆς ἴριδος· ὅταν δ' ὑπὲρ τὸν ὁρίζοντα ὁ ἥλιος ἱκανόν τι διάστημα ᾖ, τότε ἐλάττων ἡμικυκλίου φαί-* 15 *νεται ἡ ἶρις. καὶ ἡ μὲν ἅλως περὶ τὴν σελήνην ὡς ἐπὶ τὸ πλεῖστον καὶ*

86–90 196,2; 6–8; 11–12; 31–32; 38–39
23 O 433v–434r || 1 cf. titulos Psell. Omn. doct. 143–145 || 3–16 cf. Olymp. in Mete. 217,28–218,9 || 3–4 cf. Psell. Omn. doct. 143,3–4 || 16–17 cf. Olymp. 218,10–14; Psell. 143,5–6

82 *ἐν* **Lh¹m¹⁵**: *οὐ* **O** || 83 *ἀφισταμένου* **Oh¹m¹⁵**: *ἐφ-* **L** | *ἐκ* **Lh¹m¹⁵**: *ἐν* **O** || 88 *χιονώδης ... χαλαζώδης* codd.: sec. Olymp. correxi
23 4 *ἀδιόριστον* Olymp. || 7 *ἐλάττω* **O** || 8 *ἢ* Olymp.: *ἡ* **O** || 9 *σχῆμα*] *τμῆμα* testes Olymp., fort. recte || 10 *φαινόμενον* Olymp.: *φάμενον* **O** || 13 *ὄντος* Olymp.: *ὄντως* **O** || 14 *φαίνεται* Olymp.

νύκτωρ γίνεται, σπανίως δ' ἐν ἡμέρᾳ καὶ περὶ τὸν ἥλιον· ἡ δ' ἶρις τὸ ἀνάπαλιν. καὶ ἡ μὲν ἅλως ἁπλῆ ἐστιν, ἡ δ' ἶρις διπλῆ, καὶ ἡ μὲν ἅλως μονόχροος, ἡ δ' ἶρις τρίχροος· ἡ μὲν γὰρ ἐντὸς ζώνη φαίνεται φοινι-
20 *κοῦν ἔχουσα τὸ χρῶμα, ἡ δὲ δευτέρα πράσινον, ἡ δὲ τρίτη ἀλουργόν, ὅπερ ἐπὶ τὸ μελάντερον ῥέπει καὶ πορφυρίζον, οἷόν ἐστι τὸ ἐν τῇ ἀλουργίδι χρῶμα· ἡ δ' ἅλως λευκὸν μόνον ἔχει τὸ χρῶμα. καὶ ἡ μὲν ⟨ἅλως ἐπὶ ὁμαλοῖς καὶ ὁμοιομερέσι γίνεται νέφεσι, ἡ δ'⟩ ἶρις ἐπὶ ἀνωμάλοις καὶ ἀνομοιομερέσι γίνεται νέφεσι· δεῖται γὰρ τῶν μὲν ἐπιπολαι-*
25 *ότερον κειμένων νεφῶν, τῶν δὲ βαθύτερον, καὶ τῶν μὲν παχυτέρων, τῶν δὲ λεπτοτέρων πρὸς τὸ συστῆναι, ἡ δ' ἅλως ὁμαλῶν καὶ ὁμοιομερῶν. καὶ ἡ μὲν ἶρις κατὰ διάμετρον συνίσταται τοῦ λαμπροῦ, ἡ δ' ἅλως κατὰ κάθετον· ῥάβδοι δὲ καὶ παρήλιοι ἐκ πλαγίων μόνων γίνονται. καὶ ἶρις μὲν καὶ ἅλως νύκτωρ καὶ μεθ' ἡμέραν γίνονται, παρήλιοι*
30 *δὲ καὶ ῥάβδοι ἡμέρας μόνον καὶ περὶ τὸν ἥλιον καὶ περὶ τὸν ὁρίζοντα τὸν δυτικόν, ἔστι δ' ὅτε καὶ ἐν τῷ μεσημβρινῷ ὥσπερ ἡ ἶρις. καὶ αἱ μὲν ῥάβδοι ἐπὶ ἀνωμάλων καὶ ἀνομοιομερῶν γίνονται νεφῶν ὥσπερ καὶ ἶρις, ὅθεν καὶ τρίχροος ἡ ῥάβδος, | οἱ δὲ παρήλιοι ἐπὶ ὁμαλῶν καὶ* 434r *ὁμοιομερῶν ὥσπερ ἡ ἅλως, ὅθεν καὶ μονόχροοί εἰσι.*

35 *Φαίνεται δ' ἡ ἅλως κρίκος καὶ οὐ τύμπανον συνεχές. πάντα δὲ τὰ σχήματα κατὰ ἔμφασιν γίνεται καὶ κατὰ ἀνάκλασιν· φερομένη γὰρ ἡ ὄψις ἐπὶ τὸ νέφος ἀνακλᾶται πρὸς τὴν σελήνην· διὰ γὰρ τὴν ἀσθένειαν τῶν ἐπὶ τῶν πλαγίων πεμπομένων ἀκτίνων γίνεται ἡ ἀνάκλασις· συνεχῶς γὰρ ἐκπεμπομένων τῶν ἀκτίνων καὶ ἀνακλωμένων ἐπὶ τὴν*
40 *σελήνην γίνεται ἡ ἅλως. ἐν τοῖς νέφεσιν οὖν ἡ ἅλως γίνεται καὶ κύκλος φαίνεται· τῆς γὰρ ὄψεως ἐκπεμπομένης ἐπὶ τὸ νέφος καὶ ἀνακλωμένης πρὸς τὴν σελήνην ἡ ἅλως γίνεται. κυκλικὸν δὲ τὸ σχῆμα φαίνεται, διότι ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον αἱ ἴσαι {κατα}κλασθήσονται ἐπὶ κύκλον γραμμαὶ ἀεί.*

45 *Καὶ ἡ μὲν ἅλως ἀπὸ λευκοτέρου καὶ λεπτοτέρου γίνεται νέφους καὶ*

17-26 Olymp. 218, 25–34 || 19-22 Psell. 142, 11–12 || 23 Psell. 143, 8–9 || 23-24 Psell. 142, 12–13 || 27-34 Olymp. 218, 37–219, 7 || 29-34 cf. Psell. 144, 4–7; 145, 3–8 || 35 cf. Olymp. 222, 29–30 || 36-37 cf. 222, 27–28 || 37-38 227, 1–2 || 39-40 227, 22–23 || 42-43 228, 32 || 43-44 229, 2–4 (= Arist. Mete. 373 a 4–5) || 45-53 cf. 234, 10–16; 23–27

23 *ἅλως – ἡ δ'* Olymp. || 30 *περὶ*[1,2] Olymp.: *πρὸς* **O** | post *ἥλιον* habent *μόνον* Olymp. et Psell. l. c. || 39 *ἀνακλωμένων* Olymp.: *ἀνακλασμένων* **O** || 44 *κατακλασθήσονται* **O**: sec. Olymp. et Arist. correxi | *γραμμαὶ* Olymp.: *γραμμεῖ͂* **O**

ἧττον ὑγροῦ, ἡ δ' ἶρις ἀπὸ μελαντέρου καὶ παχυτέρου ⟨καὶ⟩ καθύγρου, καὶ διὰ τοῦτο ποικιλώτερον χρῶμα ἴσχει ἡ ἶρις, λευκὸν δ' ἡ ἅλως. καὶ ἐπὶ μὲν τῆς ἅλω ἔλαττον ποιεῖ διάστημα ἡ ὄψις πρὸς τὴν σελήνην – κατὰ κάθετον γὰρ ἐκπέμπεται – καὶ οὐκ ἀτονεῖ, καὶ τούτου χάριν λευκὸν ὁρᾷ τὸ χρῶμα τῆς ἅλω· ἐπὶ δὲ τῆς ἴριδος, ἐπειδὴ 50 *ἐπὶ πλέον ἐκτείνεται – ἀπὸ γὰρ ἡμῶν ἐπὶ τὸ νέφος καὶ ἀπὸ τοῦ νέφους ἐπὶ τὸν ἥλιον –, τούτου χάριν ἐξασθενοῦσα ἡ ὄψις ποικίλα χρώματα ὁρᾷ ἐπὶ τὸ μελάντερον ὁδεύοντα. καὶ ἐξασθενοῦσαι αἱ ὄψεις διὰ τὸ διάστημα καὶ διὰ τὸν πολὺν αὐχμώδη ἀέρα εἰς τὸ μελάντερον χρῶμα περαίνεται. παρεμφαίνεται δὲ τοῖς τρισὶ χρώμασι, τῷ φοινικῷ* 55 *λέγω καὶ τῷ πρασίνῳ ⟨καὶ⟩ τῷ ἁλουργῷ, τὸ ξανθόν, ὅπερ οὐ γίνεται κατὰ ἀνάκλασιν, ἀλλὰ μᾶλλον κατὰ κρᾶσιν τοῦ φοινικοῦ καὶ τοῦ πρασίνου.*

Ἀρθέντος δὲ τοῦ ἡλίου ἀπὸ τοῦ ὁρίζοντος φαίνεται ἡ ἶρις ἐλάττων ἡμικυκλίου καὶ γίνεται τὸ κέντρον αὐτῆς ὑπὸ γῆν καὶ ὁ πόλος. καὶ 60 *ὅσῳ ἐξαίρεται ὁ ἥλιος, τοσούτῳ ἐλαχίστη φαίνεται ἡ ἶρις· καὶ ὅταν γένηται πρὸς τῷ μεσημβρινῷ, καταπίνεται.*

Καὶ αἱ μὲν ῥάβδοι ποικίλαι εἰσὶ τοῖς χρώμασι καὶ ἰθυτενεῖς, ὁ δὲ παρήλιος μονόχροος· λευκὸς γὰρ ὥσπερ ἡ ἅλως. γίνεται δὲ καὶ ταῦτα κατὰ ἀνάκλασιν. γίνονται δ' αἱ ῥάβδοι οὐ προσπιπτούσης τῆς ὄψεως 65 *πρὸς τὸ νέφος κἀκεῖθεν ἀνακλωμένης πρὸς τὸν ἥλιον, ἀλλ' ἀπὸ νέφους εἰς νέφος μετατιθεμένης κἀκεῖθεν ἀνακλωμένης πρὸς ἕτερον νέφος λευκόν. καὶ αἱ μὲν ῥάβδοι ἐπὶ ἀνωμάλων νεφῶν συνίστανται καὶ οὐ πυκνῶν· ὅπερ δῆλόν ἐστι τοῦ μὴ ἀνακλᾶσθαι πρὸς τὸν ἥλιον τὴν ὄψιν· προσπίπτουσα γὰρ ἡ ὄψις ἄλλῳ νέφει, ἂν οὕτω τύχῃ μέλανι, καὶ* 70 *ἀνακλωμένη ἐπὶ τὸ λευκὸν νέφος ποιεῖ τὰς ῥάβδους. διὰ ταύτην δὲ τὴν ἀνωμαλίαν τῶν νεφῶν καὶ ποικίλλονται κατὰ τὴν χροιὰν αἱ ῥάβδοι. ἡ γὰρ ὄψις ἀνακλασθεῖσα πρὸς τὸ λευκόν, εἰ προσπέσῃ μέλανι, ποιεῖ τὸ φοινικοῦν χρῶμα, εἰ δὲ κατὰ ἅλω ἀπὸ λευκοῦ μὴ κρατοῦντος, τὸ ξανθόν, κρατουμένου δὲ τοῦ λευκοῦ ὑπὸ τοῦ μέλανος τὸ πράσινον,* 75 *ἔτι δὲ μᾶλλον κρατουμένου τὸ ἁλουργόν. αἱ μὲν οὖν ῥάβδοι γίνονται*

53-55 cf. 237,8–9; 2–3 || **55-58** 243,21–25 || **59-62** 260,21–25 || **63-65** 263,11–13 || **63** *ἰθυτενεῖς*] cf. Psell. Omn. doct. 144,9 (*κατ' εὐθυωρίαν*) || **65-68** Olymp. 263,28–31; Psell. 144,9–11 || **68-76** Olymp. 264,8–16 || **76-83** 264,24–32

46 *καὶ* addidi || **47-48** *ἡ ἶρις* ... *ἡ ἅλως* scripsi: *ἡ ἅλως* ... *ἡ ἶρις* **O** || **54** *αὐχμώδη*] immo *ἀχλυώδη* ut Olymp. || **56** *καὶ* addidi || **67** *μετατιθεμένοις* ut vid. **O**: correxi || **69** post *ἐστι* habent *αἴτιον* codd. Olymp. praeter G || **71** *ταῦτα* **O**: correxi || **73** *μέλαν* **O**: correxi || **74** *κατὰ ἅλω*] apud Olymp. *κατὰ ἄλλο* habent codd. V G, om. a

ἀπὸ νέφους εἰς νέφος τῆς ἀνταναϰλάσεως γινομένης ϰαὶ ἐν ἀνωμάλοις ϰατὰ τὸ χρῶμα, οἱ δὲ παρήλιοι τῆς ἀναϰλάσεως γινομένης ἀπὸ νέφους πυϰνοῦ ϰαὶ στερεμνίου πρὸς τὸν ἥλιον. διὰ γὰρ τοῦτο ϰαὶ λευϰὸς φαί-
80 νεται ὁ παρήλιος, ἐπειδὴ ἐπὶ πυϰνοῦ ἡ ὄψις ῥᾳδίως μᾶλλον ἀναϰλᾶται ϰαὶ συντόμως, ἀπὸ δ' ὁμαλοῦ ἓν ϰαὶ τὸ αὐτὸ χρῶμα διασῴζεται. ἐπεὶ οὖν ἀπὸ πυϰνοῦ ϰαὶ ὁμαλοῦ ἡ ἀνάϰλασις γίνεται πρὸς τὸν ἥλιον, ϰαὶ ὁ παρήλιος ἄρα ὁμόχρους τῷ ἡλίῳ φανήσεται, τουτέστιν λευϰός.

24

Περὶ τῶν ϰατ' οὐρανὸν φασμάτων ϰαὶ περὶ ϰομητῶν ϰαὶ γαλαξίου (434r)

Ἀπεδεξάμην τὸ μεγαλοφυὲς ⟨τοῦ⟩ ἠρωτηϰότος, εἰ ϰαὶ πάθη τινὰ τῶν ἐν μετεώροις ϰοινά εἰσι τῆς διττῆς ἀναθυμιάσεως, τῆς τε ἀτμιδώδους ϰαὶ τῆς ϰαπνώδους. εἰσὶ γοῦν, φλόγες φημὶ ϰαὶ δαλοὶ ϰαὶ
5 αἶγες ϰαὶ διᾴττοντες ϰαὶ ἕτερά τινα ἀπὸ τῶν σχημάτων τὰς τοιαύτας ὀνομασίας λαμβάνοντα. ἐϰφλογούμενον γὰρ τὸ ὑπέϰϰαυμα ἢ ϰατὰ συνέχειαν ἐϰφλογοῦται ἢ διεσπαρμένως· ϰαὶ εἰ ϰατὰ συνέχειαν ἐξαφθῇ ϰαὶ ϰατὰ μῆϰος μόνον, ἢ ἀποσπινθηρίζει ϰαὶ γίνονται αἱ αἶγες διὰ τὸ ἐοιϰέναι τοὺς ἀποσπινθηρισμοὺς τοῖς ἐϰϰρεμέσι μαλλοῖς τῶν αἰγῶν, ἢ
10 οὐϰ ἀποσπινθηρίζει ϰαὶ γίνονται οἱ δαλοί· εἰ δὲ διεσπαρμένη εἴη ἡ ἀναθυμίασις, γίνονται οἱ διᾴττοντες. γίνονται δὲ διᾴττοντες ϰαὶ ὑπὸ ψύξεως· ὁ γὰρ ὑπέργειος ἀὴρ ψυχρὸς ὢν πυϰνοῖ τὴν ἀτμίδα, ϰαὶ ἐϰπυρηνίζεται βίᾳ ἡ ϰαπνώδης ἀναθυμίασις ϰαὶ φέρεται ἀϰοντιζομένη ἔξω ϰαὶ ποιεῖ τὸν διᾴττοντα. φαίνεται δ' ὁ διᾴττων ὀξύτερον ϰινεῖσθαι
15 τῆς ἀπλανοῦς, ἐπειδὴ ὀλίγον ἡμῶν {οὐϰ} ἀφέστηϰε. ϰάτω δὲ ῥίπτεται ἡ ἀναθυμίασις, διότι ὥσπερ ἀϰοντίζεται ἄνωθεν. ἀλλ' ἐπεὶ φύσει ἄνω φέρεται τὸ θερμόν, εἰϰότως λοξὴν ποιεῖται τὴν ϰίνησιν οἱονεὶ ἐϰ τῶν ἐναντίων ϰινήσεων μεσότητος γενομένης.

Φαίνονται δ' αἱματώδη χρώματα ἐν τῷ οὐρανῷ, ὅταν μέλαν εἴη νέ-

78–81 Psell. 145,9–14
24 O 434r–434v ‖ 3–5 cf. Olymp. in Mete. 37,35–37 ‖ 6–11 Olymp. 37,37–38,3; Psell. Omn. doct. 124,1–7 ‖ 11–12 Olymp. 38,10–11 ‖ 12–14 38,22–24 ‖ 14–15 39,6–7 ‖ 15–16 cf. 43,1 (= Arist. Mete. 342 a 12) ‖ 16–18 43,4–7 ‖ 19–23 44,8–11 ‖ 19–28 Psell. Omn. doct. 125,1–12

24 2 ⟨*τοῦ*⟩ *ἠρωτηϰότος* temptavi (potest et ⟨*σου*⟩ *ἐρώτημα* vel sim.; cf. 68): *εἰρητηϰότο*( ) ut vid. **O** ‖ 5 *διάττονες* **O** ‖ 6 *ὑπέϰαυμα* **O** ‖ 7 *ἐξαφθῇ* Olymp.: *ἐξανθῇ* aut -*αν*- **O** ‖ 9 *μαλοῖς* **O** ‖ 10 *δαλλοί* **O** ‖ 11 *ἀναθυμίασις*] *ἔϰϰαυσις* Olymp. | *διάττονες* bis **O** ‖ 13 *ἀϰοντιζομένη* Olymp.: *ἀϰοντίζειν* **O** ‖ 15 *ἡμῶν* Olymp.: *ἡμῖν* **O** | *οὐϰ* seclusi

434v *φος εἰς τὰ πλάγια τοῦ λαμπροῦ τυγχάνον | ἢ κατὰ κάθετον. ἀλλ' εἰ* 20
μὲν εἰς τὰ πλάγια εἴη, κατὰ ἀνάκλασιν γίνεται αὐτῶν ἡ φαντασιώδης ὅρασις· οὐ γὰρ κατὰ ἀλήθειαν κίρνανται· πόρρω γάρ εἰσι τὸ νέφος καὶ τὸ λαμπρόν. εἰ μέντοι κατὰ κάθετον εἴη τοῦ λαμπροῦ τὸ νέφος, τότε κατὰ διάκλασιν γίνεται αὐτῶν ἡ ὅρασις. βόθυνοι δὲ καὶ χάσματα φαίνονται, ἐπειδὰν τὸ μέλαν νέφος καὶ τὸ λαμπρὸν ἐν τῷ αὐτῷ ὦσιν 25 *ἐπιπέδῳ· τότε γὰρ ἐὰν τύχῃ πέριξ μὲν εἶναι τὸ λαμπρόν, ἐν δὲ τῷ μέσῳ τὸ μέλαν, ἐπειδὴ τὸ μὲν λαμπρὸν μᾶλλον κινεῖ τὴν ὄψιν, ἐπ' ἔλαττον δὲ τὸ μέλαν, συμβαίνει βαθύτερον γίνεσθαι τὸ μέσον. ἀλλ' εἰ μὲν ἐπ' ὀλίγον φαίνεται, χάσμα καλεῖται, εἰ δ' ἐπὶ πολύ, βόθυνος.*

Καὶ ὁ κομήτης δὲ διᾴττων πώς ἐστιν, ὥσπερ ὁ γαλαξίας οὐδὲν ἕτε- 30 *ρόν ἐστιν εἰ μὴ κομήτης κυκλικός. πλὴν ὁ κομήτης ἐν τῷ ὑπεκκαύματι γίνεται καὶ συμπεριάγεται τῷ παντὶ καὶ ἔξαψίς ἐστιν, ὡς δηλοῖ τὸ πυρῶδες αὐτοῦ, οὔτε σφοδροτάτη οὔτε ἀμυδροτάτη. καὶ ἐκ τῆς γῆς ἐπιτηδεία λιγνὺς ἀνάγεται ὥστε γενέσθαι, ὡς δηλοῖ τὸ μὴ ἀεὶ αὐτὸν γίνεσθαι, ἀλλ' ὅταν πλεονάσῃ ἡ καπνώδης ἀναθυμίασις. ἐὰν γὰρ ἐπι-* 35 *τύχῃ καταντήσασα ἡ ἔξαψις εἰς παχυτέραν ὕλην, ἵσταται καὶ ποιεῖ τὸν κομήτην. καὶ γίνεται αὕτη πέρας μὲν τοῦ διᾴττοντος, ἀρχὴ δὲ τοῦ κομήτου καὶ ἢ κατὰ μῆκος μόνον ἐστὶν ἡ ἔξαψις καὶ γίνεται δοκίας καλούμενος, ἢ κατὰ μῆκος καὶ πλάτος καὶ γίνεται ὁ κυρίως κομήτης, ἢ καὶ ἐν βάθει ἔχει οἷον ἀποσπινθηρισμούς τινας καὶ καλεῖται* 40 *πωγωνίας. εἰσὶ δὲ καὶ ἕτερα σχήματα κομητῶν διάφορα τὰ ἀποτελέσματα προμηνύοντα. δοκεῖ δὲ πολλάκις ἄστρον εἶναι ὁ κομήτης καὶ πλανᾷ τοὺς πολλούς· ἡνίκα γὰρ κατὰ κάθετον τύχῃ ὁ κομήτης τινὸς ἄστρου ἢ ἀστέρος, ἡ ὄψις διὰ τοῦ λαμπροῦ τοῦ κομήτου διαδιδομένη ὡς ἐπὶ τὸν ἀστέρα λαμπρότερον ὄντα νομίζει κορυφὴν αὐτοῦ εἶναι τὸν* 45 *ἥλιον. φησὶ δ' ὁ φιλόσοφος· ὁ κομήτης ἐστὶν οἷον ἅλως καὶ ἶρις ἐν ὑπεκκαύματι· ἐκεῖνα γὰρ περὶ τὰ ὑγρὰ νέφη συνίσταται. καὶ αὖθις κομήτης ἐστὶν ἅλως καὶ ἶρις ἀληθής· ἐπὶ γὰρ ἴριδος καὶ ἅλω τὸ χρῶμα ἀπατηλόν. ὁπηνίκα δὲ γένηται κομήτης, ἄνεμοι κινοῦνται σφο-*

23-24 Olymp. 44,14–15 || **24-29** 44,33–45,1 || **30-31** cf. 45,12–16 || **31-33** 59,25–28 || **33-37** 59,29–60,1 || **35-37** Psell. Omn. doct. 139,6–8 || **37-41** Olymp. 60,2–7 || **37-42** Psell. 139,9–13 || **43-46** Olymp. 60,9–12 || **46-49** 60,18–21 || **49-51** 61,1–3

20 *τοῦ* Olymp.: *τῆς* **O** || **29** *ὀλίγον* Olymp.: *-ω* **O** || **31** *ὑπεκαύματι* **O** || **33** *σφοδροτάτη … ἀμυδροτάτη* Olymp.: *-ότατα* aut *-ότητα* comp. **O** || **42** *προμηνίοντα* **O** || **44** *λαμπροῦ τοῦ* Olymp.: *λαμπροτέρου* **O** || **46** *ἥλιον*] *ἀστέρα* Olymp. || **48** *ἀληθεῖς* Olymp.

50 δρότατοι καὶ αὐχμὸς κατέχει τὸ πᾶν διὰ τὸ δηλοῦσθαι πολλὴν τὴν γένεσιν τῆς καπνώδους ἀναθυμιάσεως.

Ὁ δὲ γαλαξίας, ὅπερ ἐστὶν ὁ κομήτης περὶ ἕνα ἀστέρα καὶ ὅπερ ἐστὶν ἅλως περὶ σελήνην ἢ περὶ ἥλιον, τοῦτό ἐστιν ἐκεῖνος περὶ ὅλον κύκλον. οὐκ ἔστι δ' ἐν αὐτῷ τῷ ζῳδιακῷ, ἀλλὰ πέριξ, ὡς ἐπιλαμβάνειν
55 τῶν τροπικῶν· ὥσπερ γὰρ ὁ κομήτης οὐ γίνεται περὶ τὴν διακεκαυμένην ζώνην διὰ τὸ ἐκδαπανᾶσθαι τὴν ὕλην, οὕτως οὐδ' ὁ γαλαξίας περὶ τὴν ὁδὸν τοῦ ἡλίου γίνεται· ἐκδαπανᾶται γὰρ κἀκεῖσε ἡ γεννῶσα αὐτὸν ὕλη. μέγιστος δ' ἐστὶν ὁ γαλαξίας, ἐπειδὴ πάσῃ τῇ διαμέτρῳ τοῦ ζῳδιακοῦ ἐπεκτείνεται, συμβάλλει δ' αὐτοῦ ὁ κύκλος κατά τε τὸν
60 Τοξότην καὶ τοὺς Διδύμους, ἅπερ ἐκ διαμέτρου εἰσί. καὶ ἔστι κατὰ τὴν Ἀριστοτελικὴν δόξαν πάθος ἀστέρος, ὅπερ οὔτε μοι δοκεῖ ἀληθὲς εἶναι οὔτε πρὸ ἐμοῦ Ἀμμωνίῳ τῷ φιλοσόφῳ· εἰ γὰρ πάθος ἦν ὁ γαλαξίας, ἔδει αὐτὸν ἀλλοιοῦσθαι καὶ ἐν μὲν τῷ θέρει λαμπρότερον γίνεσθαι, ἐν δὲ τῷ χειμῶνι ἀμαυροῦσθαι, καὶ ἔδει καθὰ συμβάλλει τῷ Το-
65 ξότῃ καὶ τοῖς Διδύμοις ἐκεῖνα μηδ' ὅλως φαίνεσθαι. νῦν δὲ τοὐναντίον ἐστίν. ὅλην δέ φησι τὴν καπνώδη ἀναθυμίασιν ὁ φιλόσοφος ἐκδαπανᾶσθαι περὶ τὸν γαλαξίαν.

Ἐπεὶ δέ σοι πολλάκις περὶ ἀνακλάσεως καὶ διακλάσεως εἴρηκα, ῥητέον τίνι διαφέρει ἀνάκλασις διακλάσεως. ἐπὶ μὲν οὖν τῆς ἀνακλά-
70 σεως ἐπὶ τὰ αὐτὰ τοῦ ἐνόπτρου καὶ τὸ ὁρῶν καὶ τὸ ὁρώμενον ὑπάρχει, ἐπὶ δὲ τῆς διακλάσεως μεταξὺ τοῦ ὁρῶντος καὶ τοῦ ὁρωμένου ἐστὶ τὸ κάτοπτρον, ὡς ἔχει ἐπὶ τῶν διὰ ὕδατος ὁρωμένων. καὶ τὰ μὲν κατὰ διάκλασιν ὁρώμενα πρὸς ὃ ἀφίστανται μείζονα φαίνονται, τὰ δὲ κατὰ ἀνάκλασιν ὁρώμενα πρὸς ὃ ἀφίστανται μείωσιν τοῦ μεγέθους
75 ὑπομένουσιν.

Οὔ φησι δ' ὁ φιλόσοφος θερμὸν τὸν ἥλιον· οὐ γὰρ ἐρυθρὸς ἀλλὰ λευκός, φησί, φαίνεται, ἀλλὰ τὰς ἀκτῖνας αὐτοῦ φησιν ἀνακλωμένας φωτίζειν τὸν ἀέρα, καὶ οὗτος ζῳογονούμενος καὶ ὑπὲρ φύσιν κινούμενος ἀνακλᾶται καὶ πολυειδῶς κινούμενος θερμαίνεται. καὶ ἐν μὲν θέ-

52-53 Olymp. 74, 27–28; Psell. 123, 3–4 || 54-58 Olymp. 75, 15–19 || 58-60 Olymp. 75, 11–14; Psell. 123, 5–7 || 60-64 Olymp. 75, 23–29 || 64-65 76, 3–4 || 68-75 44, 15–20; 22–23 || 76 cf. Psell. 130, 1; 4–5; Arist. Mete. 341 a 12 sqq. || 76-77 cf. Arist. Mete. 341 a 35–36 || 77-79 Olymp. 32, 11–16 || 79-82 32, 25–30

54-55 ἐπιλαμβάνει τὸν τροπικόν **O**: sec. Olymp. correxi || 59 αὐτοῦ ὁ κύκλος Olymp. et Psell.: αὐτὸν τὸν τὸν κύκλον **O** || 70 ὁρῶν scripsi: ὁρῶ **O** || 71 ὁρῶντος Olymp.: ὁρῶν τοῦ **O** || 73 et 74 πρὸς ὃ] πρόσω Olymp. || 74 μείωσις **O**: correxi || 76 Οὔ scripsi: οὗ **O** || 78 φωτίζειν τὸν ἀέρα conferens Olymp. scripsi: φωτίζει τὸν ἀστέρα **O**

ρει πρὸς ὀρθὰς γωνίας ἀνακλώμεναι αἱ ἀκτῖνες ἐναπολαμβάνουσι τὸν 80
ἀέρα καὶ ἐκθερμαίνουσιν, ἐν δὲ τῷ χειμῶνι διὰ τὸ λοξὰς γίνεσθαι τὰς
ἀνακλάσεις χεῖται ὁ ἀήρ, καὶ διὰ τοῦτο οὐκ ἔστι πολλὴ θερμασία.

25

[De cometis]

(425)[r] *Τὸ τῶν κομητῶν σχῆμα εἰ μὲν οὖν ἀνθρωπόμορφόν ἐστι, πρόλεγε*
περὶ ἀνθρώπους εἶναι τὸ συμβησόμενον, εἰ δὲ θηριόμορφον, περὶ
θηρία, εἰ δὲ δοκίδες, περὶ φυτὰ καὶ τοὺς ἐκ τῶν φυτῶν. τὸ δὲ χρόνον
ὅσον ἔσται ἡ ἐνέργεια, ἐκ τοῦ χρόνου μαθήσῃ τοῦ ἐν ᾧ φαίνεται· ἐπ' 5
ὀλίγον γὰρ φανεὶς ἐπὶ βραχὺ ἔσται ἡ ἐνέργεια, ἐπὶ πολὺ δὲ ἐπὶ μήκι-
στον καὶ τὸ ἀποτέλεσμα γενήσεται.

26

425[r] *Περὶ σεισμῶν*

Σεισμὸς γίνεται τοῦ πυρὸς διεργαζομένου καὶ ξηραίνοντος τὴν ἐν
βάθει γῆν, καὶ δῆλον· τὰ γὰρ πλησιάζοντα τοῖς ἀναφυσήμασι καὶ ταῖς
τῶν θερμῶν ἀναβολαῖς ὑδάτων πυκνότερον σείεται, οἷα τὰ περὶ τὴν
Φρυγίαν Λαοδίκειαν καὶ τὴν παρ' αὐτὴν Ἱερὰν πόλιν καὶ τὴν καθ' 5
ἡμᾶς Φιλαδέλφειαν, καὶ καθόλου τὴν ἐπὶ τάδε Ἀσίαν, καὶ τὰ πλεῖστα
δὲ τῆς πρὸς δύνοντος ἡλίου Εὐρώπης, Σικελίαν καὶ Ἰταλίαν λέγω. καὶ
γὰρ ἡ τῶν σεισμῶν γένεσις πνεύματός ἐστι ξηροῦ διὰ σηράγγων φορά·
τοῦ δὲ πλεονασμοῦ αἰτίαι, πρώτη μὲν ἡ τοῦ καταγείου πυρὸς ἔξαψις,
δευτέρα ἡ τῆς θαλάσσης εἰς τοὺς σηραγγώδεις τόπους ἐπιδρομή. συν- 10
εργεῖ δὲ καὶ πολυομβρία ⟨χειμῶνος, καὶ θέρους ἀνομβρία⟩· ἡ μὲν γὰρ
πιλοῦσα τὴν γῆν καὶ εἰς τὸ βάθος ἀπωθουμένη τὸ πνεῦμα ἀρχὴν αὐτῷ
θλίψεως παρασκευάζει, ἡ δὲ ἐπισπωμένη καὶ σύρουσα. τῶν δὲ
σεισμῶν οἱ μέν εἰσιν ἐπικλινίαι, οἱ δὲ βράσται, ἐπικλινίαι μὲν οἱ κυ-
ματηδὸν ἐπὶ τὰ πλάγια σείοντες, βράσται οἱ τινάσσοντες καὶ σείοντες 15

25 **O** 425[r]
26 **O** 425[r] ‖ 1-24 Ioh. Lyd. Ost. 103, 8–105, 6

81 *ἀέρα* Olymp.: *ἀστέρα* **O**
26 2 *ξηραίνοντος*] *ἐξαραιοῦντος* Lyd. ‖ 7 *πρὸς δύνοντα ἥλιον* Lyd. ‖ 8 (et 10) *συραγγ.* **O**: correxi ‖ 8 *φορά* fort. recte **O**: aliter codd. Lyd. ‖ 11 e Lyd. supplevi

ἄνω καὶ κάτω. εἰσὶ δὲ αὐτῶν οἱ μὲν ῥῆκται μόνον, οἱ δὲ σεῖσται, οἱ δὲ ἰζηματίαι, καὶ σεῖσται μὲν οἱ τρόμον τινὰ τῆς γῆς καὶ σύμπτωσιν τῶν δεδονημένων ἐργαζόμενοι, ἰζηματίαι οἱ τοῖς κοιλώμασι τὴν γῆν τὴν ὑπερκειμένην ἐγκαθίζοντες, ῥῆκται δὲ οἱ τὰς καταπόσεις καὶ τὰ
20 *χάσματα διαπηδώσης τῆς γῆς ἀποσχίζοντες. ἐπὶ τῶν ῥηκτῶν δὲ οἱ μὲν πνεύματα ἀναβάλλουσιν, οἱ δὲ ὑγρὰ καὶ πηλόν, οἱ δὲ μυκήματα, ⟨ἐνίοτε μὲν σὺν σεισμῷ,⟩ ἐνίοτε δὲ καὶ ἄνευ τούτου· πιλούμενον γὰρ τὸ πνεῦμα καὶ μεταπῖπτον βρόμον τε καὶ ψόφον ποιεῖ ῥηγνυμένων τινῶν ὡς εἰκὸς ὑπὸ γῆν πετρῶν.*

27

Περὶ βροντῶν (425ᵛ)

Αἱ βρονταὶ γίνονται ἀπορρηγνυμένων τῶν νεφῶν καὶ ἐπικυλιομένων ἑαυτοῖς κινήσει σφοδρᾷ, τῇ τε προσαράξει ἐναπτομένων εἰς ἀστραπὰς καὶ ἤχους κάρτα βιαίους, ἀλλοιοῦσαι τὸν ἀνὰ μέσον τῆς ὑπηνέμου
5 *ζώνης καὶ τῆς γῆς ἀέρα. Χαλδαῖοι οἴονται δυνάμεων ἀερίων εἶναι φωνὰς μὲν τὰς βροντάς, δρόμους δὲ τὰς ἀστραπάς. τῷ δὲ Ἐπικούρῳ ἀπὸ ξηρᾶς ὀγκώσεως ἀναρπαζομένης ἐκ τῆς γῆς, εἶτα ἐγκλειομένης τοῖς νέφεσι, δίκην τῶν ἐν τοῖς σώμασιν ὄγκων διεξόδου ⟨οὐ⟩ τυχόντων στρόφους καὶ τροχώσεις ἐμποιεῖν τῷ κατ' αὐτὸν λεγομένῳ*
10 *κενῷ· οὐδὲ γὰρ δυνάμεων εἶναι πλήρη τὸν ἀνὰ μέσον οὐρανοῦ καὶ γῆς ἀέρα δίδωσι. καὶ ἀληθῆ ἀξιοῖ λέγειν τῷ μὴ καθ' ἑτέραν ἢ κατὰ τὴν θερινὴν ὥραν ὡς ἐπὶ τὸ πλεῖστον ὁρᾶν βροντὰς ἐπιρρηγνυμένας καὶ διαφερόντως ἐκδίδοσθαι ξηροτέρας, ἡνίκα βαθείας οὔσης τῆς ἐν τῷ μέσῳ χώρας ὄρεσιν ὑψηλοῖς ὁ τόπος ἐγκλείοιτο. καὶ ἅμα μὲν ἑκάτερα*
15 *γίνεται, ἐπεὶ δὲ ὀξυτέρα τῆς ἀκοῆς ἡ ὄψις, θᾶττον ὁρᾶσθαι συμβαίνει τὴν ἀστραπήν. πᾶσαι δὲ βρονταί, καὶ τούτων αἱ ἔξωροι καὶ διηχέσταται μάλιστα, σημαίνουσί τι, καὶ διαφερόντως αἱ ἐκ τοῦ ἀριστεροῦ μέ-*

27 **O** 425ᵛ ‖ 1-22 Ioh. Lyd. Ost. 48,20–50,7

18 *δεδομημένων* **O** ‖ 20 *ἐπὶ*] *ἔτι* Lyd. ‖ 22 e Lyd. addidi
27 2 *ἀπορηγν.* **O** ‖ 3 *προσρήξει ἐξαπτ.* Lyd. ‖ 5 *οἴονται* scripsi (*φασι* Lyd.): *οἵ ὄντα* **O** ‖ 7 *ἀναρπαζομένης* non habet Lyd. | *συγκλειομένης* Lyd. ‖ 8 *νέφεσι*] *ὄρεσι* Lyd. | *οὐ* sec. Lyd. *(οὔπω διεξόδων)* supplevi ‖ 9 *αὐτὸν* Lyd.: *-ῶν* **O** ‖ 10 *δυνάμεων … πλήρη* Lyd.: *δυναμένω … πλήρει* **O** ‖ 11 *δίδωσι* Lyd.: *διειδῶν* **O** | utrum *ἑτέραν* an *ἕτερον* incertum **O** ‖ 11 *κατὰ* – 12 *ἐπιρρηγν.*] aliter scripsit Lyd. ‖ 12 *ἐπιρηγν.* **O** ‖ 14 *ἐκκλείοιτο* Lyd. ‖ 16 *ἔξωροι*] *μετέωροι* Lyd. | *διηχέσταται* Lyd.: *διοχέστατοι* **O**

ρους τοῦ κόσμου· τοῦτο δ' ἂν εἴη τὸ νότιον· αἱ γὰρ πρὸς νότον εἰσὶ θειότεραι. καὶ παρὰ τοῦ τῆς γενέσεως ἐπέκεινα ἐπιτροπεύεται, τοῦ Κρόνου λέγω, οἱονεὶ τοῦ ἀπορρήτου νοῦ, ὥσπερ τὸ βόρειον ὑπὸ τοῦ 20 *τῆς γενέσεως αἰτίου. ὅθεν καὶ πρὸς νότον τὰ ἱερὰ ἀπευθύνεσθαι τοῖς Ἑβραίοις καὶ Αἰγυπτίοις δοκεῖ.*

28

(425v) *Περὶ κεραυνῶν*

Οἱ κεραυνοὶ ὡς ἐπὶ τὸ πλεῖστον οὔτε ἐν θέρει ἢ χειμῶνι συμβαίνουσι γίνεσθαι, ἀλλ' ἐν ἔαρι καὶ μετοπώρᾳ περὶ τὴν πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν. ὅθεν οὐδὲ ὑπὸ τὴν Σκυθίαν γίνονται καὶ συνελὼν εἰπεῖν ὑπὸ τὸ ἀρκτῷον κέντρον ἢ ὑπὸ τὸ νότιον διὰ τὸ ψυχρὸν καὶ 5 *θερμὸν τοῦ κατ' αὐτὸν χώρου κατάστημα. ἐπὶ δὲ τῆς Ἰταλίας ὡς μάλιστα· εὔκρατος γὰρ παρὰ πᾶν χωρίον ὁ κατ' ἐκείνους ἀήρ, ὅπου δίς τε τὰ θρέμματα τοῦ ἔτους ἀπογεννᾶν πέφυκε, τυρὸς δ' οὐ λείπει. διάφορος δὲ καὶ οὐ μονοειδὴς ἡ τῶν κεραυνῶν φύσις. τοὺς μὲν γὰρ ψολόεντας ἡ παλαιότης καλεῖ, τοὺς δὲ ἀργῆτας, σκηπτοὺς δὲ οὐ πάντας ἢ* 10 *μόνους ἐκείνους ὅσοι εἰς γῆν καταπίπτουσιν· οὐ γὰρ πάντες τουτὶ πάσχουσιν. εἰσὶ δὲ οἳ καὶ ἀναστρέφουσι πρὸς τὰ νέφη ὅθεν ἐξεθλίβησαν. καὶ οἱ μὲν διάπυροι πρηστῆρες, οἱ δὲ μὴ πυρώδεις τυφῶνες, οἱ δ' ἔτι μᾶλλον ἀνειμένοι ἐκνεφίαι. αἰγίδες τε μὴν λέγονται οἱ ἐν συστροφῇ πυρὸς καταστρεφόμενοι. ταύτῃ τοι αἰγίδα Διὶ περιτίθησιν ὁ* 15 *λόγος, οἱονεὶ τὸν ἀέρα. εἰσὶ δὲ καὶ ἕτερα σχήματα κεραυνῶν· ἑλικίας αὐτοὺς τὰ βιβλία καλεῖ, ὅτι ἑλικοειδεῖς ἀναφαίνονται ἐν τῷ καταφέρεσθαι. οὐ πάντες δὲ τὰ αὐτὰ ἐργάζονται καταφερόμενοι· ὁ γὰρ λεγόμενος ἐν αὐτοῖς ἀργής, ὃν καὶ λαμπρὸν ἐξαιρέτως οἱ ἀρχαῖοι καλοῦσιν, πολλάκις ἐμπεσὼν ἐπὶ πίθον ἢ ἄγγος ἁπλῶς οἴνου ἢ ὕδατος, τὸ μὲν* 20 *περιέχον ἀπήμαντον τὸ δὲ ἐμπεριεχόμενον ἄφαντον ἔδειξεν. οὐχ ἥκιστα δὲ καὶ σκεύεσι χρυσίον ἢ ἀργύριον ἔχουσιν ἐμπεσὼν τῷ ἴσῳ*

18–19 Hom. Od. 13,111
28 O 425v ‖ **1–7** *ἀήρ*] Ioh. Lyd. Ost. 91,15–92,6 ‖ **7** *ὅπου*- **27** 92,17–94,10 ‖ **9–10** cf. Arist. Mete. 371 a 21–22

19 *παρὰ* scripsi (*πρὸς* Lyd.): *πᾶσα* **O** | *γενέσεως ἐπέκεινα*] *γῆς ἐφόρου* Lyd.
28 3 *πλειάδος* Lyd.: *-α* **O** ‖ **4** *ἐπιτολήν* Lyd.: *ἔπιπλον* **O** ‖ **7** *ἐκείνην* Lyd. ‖ **11–12** *τουτὶ πάσχουσιν*] *ταὐτὸ πράττουσιν* Lyd. ‖ **15** *καταστρεφόμενοι*] *φερόμενοι* Lyd. ‖ **16** *ἑλικίας* Lyd.: *ἕλικας* **O**

τρόπῳ τὰ μὲν ἔνδον ἔτηξε, τὰ δὲ ἔξωθεν ἔσωσεν. καὶ τὸ δὴ πάντων θαυμασιώτατον καὶ ἐπὶ γυναικὸς ἐγκύμονος συμβῆναί φασιν· ἐμπεσὼν
25 *γὰρ αὐτῇ κεραυνὸς ⟨ὁ⟩ λεγόμενος ἀργὴς αὐτὴν μὲν οὐκ ἔβλαψεν, τὸ δ' ἐν αὐτῇ διεφόρησεν οὕτως ἀνεπαισθήτως, ὡς μηδ' αὐτὴν συνιδεῖν ὅτι γέγονε τὸ ἐν αὐτῇ.*

29

Περὶ σεισμοῦ καὶ κινήσεως γῆς

Τὸ μὲν ἡμέτερον δόγμα, λογιώτατε ἀδελφέ, περὶ σεισμοῦ καὶ κινήσεως γῆς 'ὁ ἐπιβλέπων' ἐστὶν 'ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν', σὺ δὲ περιεργότερος ὢν τοῦ δέοντος ζητεῖς καὶ προσεχεστέρας
5 *αἰτίας καθ' ἃς συμβαίνει κινεῖσθαι τὴν γῆν. ἔστι τοίνυν Ἀριστοτελικὸς λόγος ἐν τοῖς Μετεώροις αὐτῷ εἰρημένος, ὅτι πνεῦμά ἐστιν αὐτῇ τῆς κινήσεως αἴτιον, ὅταν τύχῃ ἡ ἀναφερομένη ἐκ ταύτης ἀναθυμίασις εἴσω ῥυεῖσα. διὸ γίνονται νηνεμίας οἱ πλεῖστοι καὶ μέγιστοι τῶν σεισμῶν. γίνονται δὲ καὶ πνεύματος ὄντος ἔνιοι διὰ τὸ διῃρῆσθαι τὴν*
10 *αἰτίαν αὐτῶν· ἔνθεν τοι καὶ ἐλάττους οὗτοι τὸ μέγεθος. νυκτὸς δὲ οἱ πλείους καὶ μείζους γίνονται, οἱ δὲ τῆς ἡμέρας περὶ μεσημβρίαν· κατὰ τοῦτο γὰρ τὸ μέρος ὁ ἥλιος μάλιστα κρατεῖ καὶ κατακλείει τὴν ἀναθυμίασιν εἰς τὴν γῆν, τῶν δὲ νυκτῶν φερόμενος ὑπὸ γῆν ὁ ἥλιος αἰτιώτατός ἐστι διὰ τὴν ἀπουσίαν νηνεμίας. ὥστ' ἔσω γίνεται πάλιν ἡ ῥύ-*
15 *σις, ὥσπερ ἄμπωτις, εἰς τοὐναντίον τῆς ἔξω πλημμυρίδος, καὶ πρὸς ὄρθρον μάλιστα· τηνικαῦτα γὰρ τὰ πνεύματα πέφυκεν ἄρχεσθαι πνεῖν.*

Γίνονται δὲ οἱ τῶν σεισμῶν ἰσχυρότατοι ὅπου θάλαττα ῥοώδης ἢ χώρα σομφὴ καὶ ὕπαντρος, οἷον περὶ Ἑλλήσποντον καὶ Ἀχαΐαν καὶ Σικελίαν καὶ Εὔβοιαν· αἱ γὰρ χῶραι ὅσαι σομφοὺς ἔχουσι τοὺς κάτω
20 *τόπους πολὺ δεχόμεναι πνεῦμα σείονται μᾶλλον.*

Τῶν δὲ ὡρῶν ἔαρος μάλιστα καὶ μετοπώρου γίνονται· αἱ γὰρ ὧραι αὗται πνευματωδέσταται. τὸ δὲ θέρος καὶ ὁ χειμών, τὸ μὲν διὰ τὸν πάγον, τὸ δὲ διὰ τὴν ἀλέαν ποιεῖ τὴν ἀκινησίαν. καὶ ἐν τοῖς αὐχμοῖς πνευματώδης ὁ ἀήρ, ἐν δὲ ταῖς ὑπερομβρίαις πλείω ποιεῖ τὴν ἐντὸς
25 *ἀναθυμίασιν· ὥσπερ γὰρ ἐν τῷ σώματι ἡμῶν τρόμων καὶ σφυγμῶν αἴ-*

29 P 107ʳ–107ᵛ (v³⁸ 98ᵛ–100ʳ) ‖ **2-9** cf. Psell. Omn. doct. 164, 1–6 ‖ **3** Ps. 103, 32 ‖ **6-9** Arist. Mete. 366a 4–6 ‖ **9-29** cf. 366a 8–b 33 ‖ **17-18** Omn. doct. 164, 7–8 ‖ **19-20** 164, 9–11

23 *τὰ δὲ* Lyd.: *τὸ δὲ* **O** ‖ **25** *ὁ* sec. Lyd. addidi ‖ **26** *διεφόρησεν* Lyd.: *διεφόνησεν* **O**

τιόν ἐστιν ἡ τοῦ πνεύματος ἐναπολαμβανομένη δύναμις, οὕτω καὶ ἐν τῇ γῇ τὸ πνεῦμα παραπλήσιον ποιεῖ. ὅθεν καὶ σεισμὸς ἐν τόποις γιγνόμενος οὐ πρότερον ἔληξε πρὶν ἐκρήξας εἰς τὸν ὑπὲρ τῆς γῆς τόπον ὥσπερ ἐκνεφίας ἐξῆλθεν ὁ κινήσας ἄνεμος.

Καὶ τὸ πρὸ τῶν ὀρθρίων δὲ σεισμῶν ἐνίοτε ἰσχυρὸν κρύος καὶ ἡ νηνεμία σημεῖα τῆς εἰρημένης αἰτίας ἐστί· τὸν γὰρ ἥλιον ἀχλυώδη καὶ ἀμαυρὸν ἀναγκαῖον εἶναι ὑπονοστεῖν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ διαλύοντος τὸν ἀέρα καὶ διακρίνοντος. τὸ δ' αὐτὸ αἴτιον καὶ τοῦ εἰωθότος ἐνίοτε γίνεσθαι σημείου πρὸ τῶν σεισμῶν· ἢ γὰρ μεθ' ἡμέραν ἢ μικρὸν μετὰ δυσμὰς αἰθρίας οὔσης νεφέλιον λεπτὸν φαίνεται διατεῖνον καὶ μακρόν, οἷον γραμμῆς [μῆκος εὐ]θύτητι διηκριβωμένον, τοῦ πνεύματος ἀπομαραινομένου διὰ τ[ὴν μετάστ]ασιν· τότε γὰρ νηνεμία γίνεται. 30 35

Καὶ περὶ τὰς ἐκλείψεις δὲ ἐνίοτε τῆς σελήνης συμβαίνει γίνεσθαι σεισμόν, ὅταν ἤδη πλησίον ᾖ ἡ ἀντίφραξις ἀντιμεθισταμένου τοῦ πνεύματος εἰς τὴν γῆν, ὃ ποιεῖ τὸν σεισμὸν πρὸ τῶν ἐκλείψεων. 40

Ποιεῖ δὲ καὶ τοὺς ψόφους τοὺς ὑπὸ τὴν γῆν γιγνομένους τὸ πνεῦμα καὶ τοὺς πρὸ τῶν σεισμῶν καὶ ἄνευ σεισμῶν· ὥσπερ γὰρ ῥαπιζόμενος ὁ ἀὴρ παντοδαποὺς ἀφίησι ψόφους, οὕτω καὶ τύπτων αὐτός. προέρχεται δὲ ὁ ψόφος τῆς κινήσεως διὰ τὸ λεπτομερέστερος εἶναι. ὅταν δὲ ἔλαττον ᾖ τὸ πνεῦμα ἢ ὥστε κινῆσαι τὴν γῆν διὰ λεπτότητα, | διὰ μὲν τὸ ῥᾳδίως διηθεῖσθαι οὐ δύναται κινεῖν, διὰ δὲ τὸ προσπίπτειν πολλοῖς ὄγκοις καὶ κοίλοις καὶ παντοδαποῖς σχήμασι παντοδαπὴν ἀφίησι φωνήν. 45

Ἤδη δὲ καὶ ὕδατα ἀνερράγη γινομένων σεισμῶν. 50

Ἐν δὲ ταῖς νήσοις ταῖς ποντίαις ἧττους γίγνονται σεισμοὶ τῶν προσγείων· τὸ γὰρ πλῆθος τῆς θαλάττης καταψύχει τὰς ἀναθυμιάσεις καὶ κωλύει τῷ βάρει καὶ ἀποβιάζεται.

Γίνεται δὲ ὀλιγάκις καὶ κατά τινας τόπους οἷον σφυγμὸς ἄνω κάτωθεν. διὸ καὶ ἐλαττονάκις σείει τοῦτον τὸν τρόπον· οὐ γὰρ ῥᾴδιον οὕτω πολλὴν συνελθεῖν ἀρχήν· ἐπὶ μῆκος γὰρ πολλαπλασία τῆς ἀπὸ τοῦ βάθους ἡ διάκρισις. ὅπου δ' ἂν γένηται τοιοῦτος σεισμός, ἐπιπο- 55

30–33 cf. Mete. 367a 21–25 || 31–33 Omn. doct. 164, 11–13 || 33–38 cf. Mete. 367b 7–12 || 39–41 367 b 19–25 || 42–49 368a 14–24 || 50 368a 26 || 51–53 368b 32–35 || 54–61 368b 24–32

27 *τόποις*] *τόποις τισὶν* Arist. || 36 et 37 sec. Arist. suppleta: spat. vac. **P** || 47 *πολλοῖς*] *στερεοῖς* Arist.

λάζει πλῆθος λίθων, ὥσπερ τῶν ἐν τοῖς λίκνοις ἀναβραττομένων· τοῦτον γὰρ τὸν τρόπον γενομένου σεισμοῦ τά τε περὶ Σίπυλον ἀνετράπη
60 *καὶ τὸ Φλεγραῖον καλούμενον πεδίον καὶ τὰ περὶ τὴν Λιγυστικὴν χώραν.*

Αἴτια μὲν οὖν τῶν σεισμῶν κατὰ τὸν Ἀριστοτέλην ταῦτα. Ἀναξαγόρας δὲ τὸν αἰθέρα φησί, πεφυκότα φέρεσθαι ἄνω, ἐμπίπτοντα εἰς τὰ κάτω κοῖλα τῆς γῆς, ὡς οὔσης κατ' αὐτὸν πλατείας καὶ διὰ τοῦτο
65 *ἐποχουμένης τῷ ἀέρι, κινεῖν αὐτήν. Δημόκριτος δέ φησι πλήρη τὴν γῆν ὕδατος οὖσαν καὶ πολὺ δεχομένην ἕτερον ὄμβριον ὕδωρ ὑπὸ τούτου κινεῖσθαι· πλείονός τε γὰρ γινομένου διὰ τὸ μὴ δύνασθαι δέχεσθαι τὰς κοιλίας ἀποβιαζόμενον ποιεῖν τὸν σεισμόν. Ἀναξιμένης δέ φησι βρεχομένην τὴν γῆν καὶ ξηραινομένην ῥήγνυσθαι καὶ ὑπὸ τούτων*
70 *τῶν ἀπορρηγνυμένων κολωνῶν ἐμπιπτόντων σείεσθαι.*

Αἱ μὲν οὖν περὶ τὸν σεισμὸν παρὰ τοῖς σοφοῖς τῶν Ἑλλήνων δόξαι τοσαῦταί τε καὶ τοιαῦται. πόσῳ δὲ κρείττων ἡ ἡμετέρα καὶ ἀληθεστέρα, ὅτι μὴ ὡς ἔτυχε πνεύματος ἢ ὕδατος κινουμένων τὰ τῆς κινήσεως γίνεται, ἀλλ' ὁ ἐκ μὴ ὄντων τὴν σύμπασαν κτίσιν παραγαγὼν
75 *θεὸς καὶ ἐπὶ πᾶσι δημιουργήσας τὸν ἄνθρωπον καὶ κύριον τοῦ ὁρωμένου καταστήσας συστήματος καὶ λόγῳ κοσμήσας καὶ τῇ πρὸς ἐκεῖνον εἰκόνι τιμήσας, ἐπειδὰν ἴδοι τοῦτον τῆς εὐθείας παρατρεπόμενον καὶ τῶν πατρικῶν συνθημάτων ἀμνημονήσαντα καὶ τῆς ἀθανάτου ζωῆς τὰς μυρίας κῆρας τῶν παθημάτων ἀνταλλαττόμενον, τοῦ μὲν*
80 *λο[. . . . .]του πλάσματος ἔτι φείδεται καὶ ἀναβάλλεται τὰς κατ' αὐτοῦ τιμωρίας, ἐπισημαίνεται δὲ τὴν ὀργὴν νῦν μὲν ἐν ἀέρι, νῶν δὲ τοῖς περὶ τὸν ἥλιον καὶ σελήνην σημείοις, καὶ νῦν μὲν τὴν θάλατταν κάτωθεν ἐκμοχλεύων ἐπὶ τὴν ξηρὰν γῆν τὴν ὑγρὰν ἐξελαύνει, νῦν δὲ αὐτὸ τὸ τῆς γῆς στοιχεῖον ἐφ' οὗ βεβήκαμεν παντοδαπαῖς ταλαντεύει*
85 *κινήσεσι, κατασείων τὸ βάθρον ἡμῖν καὶ ἀναρρηγνὺς τὸν θεμέλιον, ἵν' αὐτοὶ ἐπὶ τῶν οἰκείων σταίημεν λογισμῶν καὶ ἀκίνητοι μένωμεν τῇ τῆς γῆς κινήσει σωφρονιζόμενοι. τὸ γοῦν 'ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν' οὐ σωματικώτερον ἐγὼ δέχομαι, ἀλλ' ἀκριβέστερόν τε καὶ ἀληθέστερον. 'ἐπίβλεψιν' γὰρ ἐνταῦθα νοῶ οὐ τὴν δι'*
90 *ὀμμάτων ὅρασιν, ἀλλὰ τὴν περὶ ἡμᾶς ἐπισκοπὴν τοῦ θεοῦ· ὅταν γὰρ*

62–65 365a 19–21 || **65–68** 365b 1–4 || **68–70** 365b 6–8 || **87–88** Ps. 103, 32

64 *ὡς* – **65** *ἀέρι*] aliter Arist. || **65** *αὐτήν* Arist.: *αὐτόν* **P** || **80** spat. vac. c. 5 litt. **P**: *λογικοῦ τούτου* (Pallis) vel sim. legendum

τοὺς τῆς οἰκονομίας αὐτοῦ λόγους ἐμφανεῖς ἡμῖν ποιεῖν βουληθῇ καὶ τὴν οἰκείαν ἐνδείξασθαι δύναμιν, τότε σείει μὲν ὡς φύλλον τὴν γῆν, ἵν' ἡμῖν στήσῃ τὴν ἕξιν φερομένην ἐπὶ τὰ χείρω, κινεῖ δὲ τὸν ἀέρα πνεύμασιν ἐξαισίοις καὶ τὴν θάλατταν κάτωθεν ἀναρρήγνυσι, παιδεύων διὰ τῶν στοιχείων ἡμᾶς καὶ πατρικὴν τὴν σωτηρίαν πρυτανευόμενος. 95

30

(93r) *Εἰς τὸν σεισμὸν τὸν γενόμενον τῇ εἰκοστῇ τρίτῃ τοῦ Σεπτεμβρίου μηνός, τοῦ Προδρόμου*

Ἡ μὲν τοῦ λόγου ὑπόθεσις, ὦ θεῖον καὶ θεῷ φίλον ἀκροατήριον, οὐ μᾶλλον ἐργώδης ἢ φρικώδης καὶ πάθους μεστὴ καὶ τήν τε ἡμετέραν γλῶσσαν καὶ τὰς ὑμετέρας ψυχὰς αὐτίκα συγχέουσα. τί γὰρ ἂν γέ- 5 *νοιτο ἀπειλῆς θεοῦ φρικωδέστερον, μᾶλλον δὲ τί ἂν εἴη τῆς ἐκεῖθεν τιμωρίας φοβερώτερον ἢ βαρύτερον; σέσεισται γὰρ οὕτως εἰπεῖν τὸ σύμπαν καὶ τὸ τοῦ παντὸς κεκίνηται στήριγμα καὶ ἡ ἀσφαλὴς ἕδρα τῆς ἡμετέρας φύσεως τῆς ἀντερειδούσης δεῖται χειρός τε καὶ βάσεως. οὕτως εἰς ἔσχατον κίνδυνον τὰ καθ' ἡμᾶς περιέστηκε καὶ οὕτως ἐν* 10 *ἀκμῇ τοῦ κακοῦ τυγχάνομεν ὄντες καὶ ἐν ὀξείᾳ ῥοπῇ τοῦ κινδύνου σαλεύομεν.*

93v *Ἡ μὲν οὖν τοῦ λόγου ὑπόθεσις αὕτη· ἐγὼ δὲ οὐκ ἔχω ὅπως | ἂν ἀσφαλῶς τῇ πρὸς ὑμᾶς ὁμιλίᾳ χρήσομαι. τί δὲ τῶν πάντων ἐρῶ εἰς παραίνεσιν καὶ παραμυθίαν ἀρκοῦν; κυμαινόμεθα γὰρ ἄμφω καὶ* 15 *δεινὸς ἡμᾶς πανταχόθεν περιέστηκε κίνδυνος, ὥστε μὴ δύνασθαι καθεστῶσι τοῖς λογισμοῖς ἢ ἐμὲ τὸν λόγον διδόναι τῆς παραινέσεως ἢ ὁμαλῶς ὑμᾶς τοῦτον εἰσδέχεσθαι. παραμυθήσομαι δὲ πῶς, νῦν μᾶλλον ἀκμάζοντος τοῦ δεινοῦ καὶ ἄλλων ἐπ' ἄλλοις ἐπεγειρομένων κυμάτων ὥσπερ ἐν ναυαγίῳ καὶ πνευμάτων ὁμοῦ καταιγίδος καὶ λαίλαπος τὴν* 20 *κοσμικὴν τινασσόντων ὁλκάδα καὶ ἀναστρέψαι πειρωμένων τὴν πάνδημον καὶ κοινοτάτην ἀσφάλειαν; ἀλλ' εἰ καὶ χαλεπὰ ἄμφω καὶ ὁ λόγος ἠπόρηκεν, οὐκ ἀπαγορευτέον ἡμῖν παντάπασιν, ἀλλὰ τὴν δυνατὴν εἰσενεκτέον βοήθειαν, εἴ πως οἷοί τε γενοίμεθα τὰς ὑμετέρας στηρίξαι κλονουμένας ψυχάς.* 25

Ἵνα δὲ καθ' ὁδὸν ὁ λόγος προέλθοι ἡμῖν καὶ τοῦτο πρῶτον δυνηθείημεν τάξιν δοῦναι τοῖς ῥηθησομένοις, ἐξετάσωμεν, εἰ δοκεῖ, τί τὸ

30 P 93r–95r ‖ **1-2** anno 1063

τῆς τοῦ παντὸς συγκινήσεως αἴτιον, τί τὸ κλονῆσαν τὴν γῆν καὶ διασεῖσαν τὴν θάλατταν καὶ τὴν τῶν κτισμάτων ἀσφάλειαν σφαλερωτάτην
30 ἡμῖν ἐργασάμενον. πότερον ὁ διακοσμήσας τὰ σύμπαντα λόγος οὐκ ἐπ' ἀσφαλοῦς βάσεως ἕκαστον τῶν κτισμάτων ἥδρασεν ἢ ἐκίνησεν, ἀλλὰ τὸν μὲν οὐρανὸν ὥσπερ ἀνέδραστον εἴασε φέρεσθαι, τὴν δὲ γῆν οὐκ ἀσφαλεστάτην καὶ μόνιμον ἐτεκτήνατο, καὶ τοὺς ἀστέρας οὕτως καὶ τὸν ἀέρα καὶ τὴν ὑγρὰν φύσιν καὶ ὅσα μέρη τοῦ παντός ἐστι κόσμου,
35 ἢ τοῦτο μὲν οὐκ ἄν τις ἐνθυμηθείη ποτέ, οὐδ' ἀλογίαν τοῦ πρώτου καταγνοίη λόγου, οὐδ' εἰς τοσοῦτον ἐκπέσοι ἀσεβείας καὶ ἀθεότητος; ἀλλὰ μήποτε τεχνικὴ μὲν ἐξ ἀρχῆς καὶ εὐάρμοστος ἡ τοῦ παντὸς ἐγεγόνει φύσις, ὁ δέ γε χρόνος αὐτὴν μετατίθησι καὶ εἰς ἀταξίαν ἐκ τῆς τάξεως μεθιστᾷ; ἀλλὰ καὶ τοῦτο πῶς ἄν τις παραδέξαιτο τῇ
40 ψυχῇ; ὅ τε γὰρ λόγος καὶ ἡ αἴσθησις πρὸς τὴν τοιαύτην ἀντιμαρτυροῦσι δόξαν· δεῖ γὰρ ἡρμόσθαι τὴν τοῦ παντὸς φύσιν μέχρις ἂν βουλ[...] τῷ ἁρμόσαντι. ὁρῶμεν δὲ καὶ τὰ τοῦ κόσμου μέρη τὰ μὲν ἑστηκότα, τὰ δὲ κινούμενα κατὰ τὴν πρώτην δ[ιάταξιν· ὅ] τε γὰρ οὐρανὸς τὴν περιοχὴν τῶν σωμάτων τετήρηκε καὶ φυλάττει τὸ σχῆμα
45 τῆς φύσεως καὶ ὡσπερεὶ σπαρ[γανοῖ τὰ λοι]πὰ μέρη καὶ οὐκ ἐᾷ διαλύεσθαι, ὅ τε ἀὴρ ἁπαλῇ τῇ φύσει εἰς τὸν ἅπαντα χρόνον ἐκκέχυται καὶ [ἀναπν]οῆς ἐστι χορηγὸς καὶ ζωῆς προσεχῶς αἴτιος, καὶ ἡ θάλαττα δὲ τὴν οἰκείαν τάξιν τηρεῖ καὶ οὐκ ἐπικλύζει τὴν γῆν τοῖς ῥεύμασιν, ἀλλὰ τοῖς αἰγιαλοῖς περιγράφεται, καὶ τῇ τηλικαύτῃ τὸ μέγεθος
50 τὸ βραχύτατον, ἡ ψάμμος, καθέστηκεν ὅριον· τοῖς τε ποταμοῖς ἀκώλυτος ἡ φορά, καὶ οἱ μὲν 'ἐς τὴν θάλατταν' ἐμβάλλουσι, τὸ τῆς γραφῆς φάναι, 'ἡ δὲ οὐκ ἔστιν ἐμπιπλαμένη'· εἰ δὲ καὶ ἐμπίπλαται, ἀλλ' οὐκ ἐπέξεισι τῇ γείτονι γῇ, ἀλλὰ πληροῦται μὲν ἄνωθεν καὶ μεγάλας ἀφορμὰς λαμβάνει τῆς ἐπικλύσεως, δέδοικε δὲ ὥσπερ οὓς εἴληφε
55 νόμους παρὰ τοῦ κτίστου καὶ τὴν ἀναγκαιοτάτην δικαιοσύνην πληροῖ. ἀλλὰ καὶ τὸ κλονούμενον νῦν μέρος τῆς κτίσεως οὐδ' αὐτὸ τῆς μέσης πρὸς τὸ πᾶν μεθίσταται θέσεως, οὐδὲ {νῦν μὲν οὐδὲ} τὴν ἄρκτον ἀπολιποῦσα πρὸς τὸ ἀνταρκτικὸν κλῖμα ἀποκεχώρηκεν, ὥσπερ ἐν ὕδατι καὶ ἀέρι σαλεύουσα καὶ τῇδε κἀκεῖσε μετακλινομένη καὶ μετατρέ-
60 πουσα.

51–52 Eccl. 1,7

42 βουλητὸν vel βουλητὸν ᾖ ut vid. || 43 διάταξιν scripsi: δύναμιν Pallis | ὅ Gautier || 45 σπαργανοῖ suppl. Pallis | τὰ λοιπὰ scripsi: τὰ παντοδαπὰ Gautier || 47 ἀναπνοῆς supplevi: κινήσεως μὲν Pallis || 54 ἐπιλύσεως **P**: corr. Wk. || 57 νῦν μὲν οὐδὲ secl. Hansen || 59 μεταπρέπουσα **P**: corr. Gautier

Ἀλλὰ ταῦτα μὲν ἴσως οὐκ ἄν τις οἰηθείη ὡς ἀτοπώτατα, τύχην δὲ ἀντὶ προνοίας ἐπιστήσει τοῖς κτίσμασι. καὶ πόθεν ἡ τάξις καὶ πόθεν ἡ προσήκουσα γένεσις, πόθεν ἡ ἀκολουθία τῆς φύσεως, τί δὲ τοῦ κοσμικοῦ τούτου συστήματος ἐννομώτατόν τε καὶ ἀσφαλέστατον; ἀλλὰ ζητεῖν ἐοίκατε, πῶς καὶ προνοίας οὔσης καὶ λόγου δημιουργικοῦ τὰ 65 *πάντα παραγαγόντος καὶ κατευθύνοντος τὰ περὶ τὴν γένεσιν μέρη τῆς κτίσεως ἀτακτότερον φέρεται. καὶ τοῦτο μὲν ἀσυνήθεις ἀστέρες περὶ τὸν ὑπέργειον τόπον καινοτομοῦνται ἢ καινοτομεῖν τι δοκοῦσι τῶν καθεστώτων· νῦν δὲ τῶν κατ' οὐρανὸν φασμάτων διαδρομαὶ διαταράττουσι τὰς τῶν ὁρώντων ψυχάς. καὶ νῦν μὲν ἀὴρ πνεύμασι διακλονεῖται* 70 *βιαίοις, καὶ αὖθις ἡ θάλαττα παρὰ φύσιν εἰς οὐρανὸν αἴρεται καὶ τὸ ἄπλετον τῆς γῆς διακυμαίνεται μέγεθος, καὶ παρὰ μέρος θάλαττα μὲν τῶν ὑδάτων ἐπιλειπόντων ἤπειρος γίνεται, μέρη δὲ τῆς γῆς ἀθρόον εἰς θαλάττης σχῆμα μεθίσταται, καὶ τὰ μὲν οὕτως εἰς ἄλληλα μεταβάλλει τε καὶ μεθίσταται, κίνδυνοι δὲ ἐντεῦθεν καὶ τοῖς θαλαττίοις καὶ τοῖς* 75 *ἠπειρώταις ἐξαίσιοι περιγίνονται καὶ δεινὰ πάντα καὶ φρίκης μεστὰ καὶ ἄπορος ἡ καταφυγή, ὥσπερ νῦν ἡμῖν κεκινδύνευται.*

Πόθεν οὖν ταῦτα καὶ τίς ὁ λόγος τῆς τοιαύτης καινοτομίας; ἡμεῖς τούτων καθεστήκαμεν αἴτιοι, οὐχ ὡς κινοῦντες καὶ τὴν γῆν καὶ τὴν θάλατταν, ἀλλ' ὡς τὰς ἀφορμὰς διδόντες τῆς συγκινήσεως καὶ διὰ τῆς 80 *αὐτῶν παραλόγου μεταβολῆς καὶ κλονήσεως παιδευόμενοι. ἀλλ' οὐδὲ ταῦτα παρ' αὐτῶν ἔχει τὴν κίνησιν, ἀλλ' ὁ συστήσας τὸ σύμπαν θεὸς εὐνομοῦσι μὲν ἡμῖν καὶ τοῖς ἐκείνου νόμοις χρωμένοις ἀμετάστατον τὴν τῶν μερῶν τάξιν τηρεῖ, παραβάταις δὲ γενομένοις τῶν θείων χρησμῶν ἐπισείει τὴν σύμπασαν, οὐχ ἵνα τὴν ἁρμονίαν τοῦ παντὸς* 85 *διαλύσηται, ἀλλ' ἵνα ἡμᾶς στηρίξῃ καὶ συναρμόσηται διὰ τῆς τῶν στοιχείων κινήσεως. οὐ γὰρ ζωῆς μόνον ἀφορμὰς τὰ μέρη τοῦ κόσμου* 94r *ἡμῖν ἐτεκτήνατο, ἀλλὰ καὶ | πρὸς σωτηρίαν παρασκευάς. καὶ ὥσπερ βιβλίον ὁ κόσμος ἐστὶν ἐξαγγελτικὸν τῆς τοῦ θεοῦ πρὸς ἡμᾶς διαθέσεως· βοᾷ γοῦν καὶ σιγῶν, καὶ νῦν μὲν αὐτὸν ἱλεούμενον, νῦν δὲ* 90 *ὀργιζόμενον δείκνυσιν. οὐδὲ γὰρ ἀνέχεται ὥσπερ ἡ κτίσις ἡμῶν κακῶς τῷ λόγῳ κεχρημένων καὶ ἐκκειμένων τοῖς πάθεσιν, ἀλλὰ ταράττεται καὶ μεθίσταται, ὅπως ἂν ἡμεῖς γαλήνην ἐν ταῖς ψυχαῖς ἔχοιμεν καὶ ἀκύμαντοι ἀγοίμεθα πρὸς θεόν.*

65 sqq. cf. 29, 73 sqq. || 81 sqq. cf. 29, 78 sqq.

63–64 *τὸ* post *δὲ* vel post *συστήματος* addendum ut vid. || 71 *οὐρανοὺς* **P**: correxi (cf. 131) || 74 *μὲν* Hansen: *μὴ* **P**

95 *Αἰσχρὸν οὖν ἡμῖν καὶ πάντῃ ἄτοπον, εἰ τὸ μὲν τῆς γῆς στοιχεῖον, μήτε λόγου μετειληφὸς μήτε νοῦν κτησάμενον ἄνωθεν, ὥσπερ θείας μετεσχηκὸς γνώσεως ἕστηκε μὲν τὸν ἅπαντα χρόνον ἑδραῖον, κινεῖται δ' ἐφ' ἡμῖν ἁμαρτάνουσιν, ἡμεῖς δὲ τοὐναντίον ἅπαν περιτρεπόμενοι μὲν διηνεκῶς τοῖς πάθεσι, βραχὺ δέ τι δοκοῦντες ἵστασθαι, ἐπειδὰν*
100 *αὖθις συγκινηθῇ. μὴ τοίνυν ἐν ταῖς ἀθρωτέραις μόνον τῶν μερῶν τοῦ κόσμου μεταβολαῖς, μηδ' ἐν τῷ κλονεῖσθαι τὴν γῆν τὴν ἑαυτῶν στάσιν καὶ τάξιν ἐπιδεικνύωμεν, μηδ' ἐν οἷς μόνον τὰ φρικωδέστατα ἡμῖν ἐπαπειλεῖται θεὸς ὥσπερ ἀβούλητον καὶ ἐξ ἀνάγκης τὴν ἀρετὴν ἀσπαζώμεθα, ἀλλὰ τὸν ἅπαντα χρόνον ἀνθεκτέον αὐτῆς, καὶ μὴ διὰ τὴν*
105 *ἀπειλὴν μόνον σωφρονιζοίμεθα, ἀλλ' ὅπως ἂν μὴ τὰ τῆς ἀπειλῆς ἐπέλθοι βουλευώμεθά τε καὶ καταπράττωμεν. πόσῳ γὰρ κάλλιον μὴ ὀργὴν ἐφ' ἡμᾶς βαλεῖν τὸν θεὸν ἢ τότε μόνον τῆς ἑαυτῶν ἀπροσεξίας αἰσθάνεσθαι, ὁπηνίκα τὰ τῆς ἀγανακτήσεως ἡμῖν ἐπιδείξηται. ἔχει γὰρ οὕτως τὸ καθ' ἡμᾶς – ἵνα καὶ ἀναγκαίαν τὴν τῆς γῆς ὑμῖν ἐπιδείξω*
110 *κίνησιν –· δεσμὸς οἷον τῆς τοῦ παντός ἐσμεν φύσεως· εἰ γὰρ καὶ ἐν ἀλλήλοις πάντα, ἀλλὰ κατὰ τοὺς ἑαυτῶν ὄγκους τὰ στοιχεῖα διῄρηται. καὶ περιθεῖ μὲν τὸ πῦρ ἄνωθεν τὴν κύκλῳ φορὰν ἀμέθεκτον ὡς εἰπεῖν τῶν ἄλλων μερῶν, ἁπλοῦς δὲ περιχεῖται καὶ ὁ ἀὴρ καὶ ἡ θάλαττα, οὕτως καὶ ἡ ξηρὰ οὐδέν ἐστι τῶν ἑτέρων· μόνος δὲ ἄνθρωπος ἐκ πάντων*
115 *συμπέπηκται καὶ μέτεστιν αὐτῷ τῶν τεσσάρων κατὰ τὴν φύσιν τοῦ σώματος. καὶ ὅπερ ἐστὶ τοῖς στοιχείοις θεὸς συνάγων τὰ πάντα καὶ διαιρῶν καὶ ἕκαστα κατευθύνων πρὸς ἄλληλα, ὅπως ἂν ἁρμονία τοῖς μέρεσιν εἴη καὶ σύμπνοια, τοῦτο δὴ ψυχὴ τῷ οἰκείῳ προσεχῶς πέφυκε σώματι. καὶ οὐ τὴν συνθήκην τούτου μόνον φυλάττει, ἀλλὰ καὶ ζωὴν*
120 *ἐμπνεῖ καὶ εἰς αὐτὴν τῶν μερῶν καὶ τοῦ ὅλου πεποίηται τὴν ἀναφοράν. καὶ ἔστι κρείττων τῶν στοιχείων ὁ ἄνθρωπος, ἑκάστου μὲν ὅτι τὰ τέσσαρα οὗτος συνείληφε, συμπάντων δὲ ὅτι τὰ μὲν ἀπ' ἀλλήλων διῄρηται, ὁ δὲ πάντα ἡρμόσατο ἐμμελῶς, μᾶλλον δὲ ἡρμοσμένα παρὰ θεοῦ καὶ τῆς φύσεως εἴληφεν.*

125 *Εἰ μὲν οὖν τοῖς προσήκουσι λόγοις ὁ μικρὸς οὗτος κόσμος, τὸν ἄνθρωπόν φημι, διεξάγεται, καὶ τὸ σύμπαν ἐστήρικται συνεχόμενον τῷ δεσμῷ· εἰ δὲ ὁ λόγος ἐλάττων ὀφθείη ἢ ὥστε προσηκόντως ἄρχειν, καὶ ἡ τοῦ σύμπαντος κόσμου ἁρμονία τρόπον τινὰ δοκεῖ διαλύεσθαι. οὐ γὰρ ἐπὶ τούτῳ τὴν κτίσιν πεποίηκεν ὁ θεός, ὅπως ἂν ἐν οὐρανῷ*
130 *μὲν ἀσυνήθεις ἀστέρες καινοτομῶνται, ἐν ἀέρι δὲ παντοδαπὰ φάσματα*

107 *βαλεῖν* Gautier: *λαβεῖν* **P** || **119** *τούτου* Hansen: *τοῦτο* **P**

γίνηται, καὶ ἡ θάλαττα δὲ εἰς οὐρανὸν τοῖς κύμασιν αἴρηται, ἡ δὲ γῆ ὥσπερ ναῦς μὴ ἐπ' ἀγκύρων ὁρμῶσα σαλεύηται, ἀλλ' ἵνα ἡ πρώτη τάξις φυλάττηται καὶ ἠρεμοίη τὸ πᾶν, καὶ εὐδρομοίη μὲν οὐρανός, ἀὴρ δὲ προσηνέστατα διαχέοιτο, ἥ τε θάλαττα ἐξυπτιάζοι λειοκυμονοῦσα καὶ ἡμέροις ἐπιφρίττοι κύμασιν ὥσπερ ἀνθοῦν λήιον ὑπὸ λεπταῖς αὔραις ἠρέμα ἐπικλινόμενον, ἥ τε γῆ ἑστήκοι παγία, τὴν μέσην τοῦ παντὸς εἰληφυῖα χώραν καὶ τάξιν. 135

Ἀλλ' οὐκ ἐῶμεν ἡμεῖς τὰ μέρη τοῦ κόσμου ἀλλήλοις εἶναι σύμφωνά τε καὶ σύμπνοα, ἀλλὰ διιστῶμεν καὶ διαιροῦμεν καὶ αὖθις κλονοῦμεν καὶ ταράττομεν. ἀτεχνῶς γοῦν ἔνια τούτων ἐπιθρηνοῦσιν ἡμῖν καὶ ἐπιστενάζουσι καὶ οἷον ἐπιδακρύουσιν, ὁπόταν ἐπιλείβῃ μὲν ἀὴρ σταγόνας ἡμῖν αἵματος πλήρεις, ὑπηχῇ δὲ ἡ γῆ κάτωθεν καὶ ὥσπερ τι βύθιον ἀσθμαίνῃ πυρὶ σύμμικτον πνεῦμα ἀνάγουσα, ὁ δέ γε ἥλιος οὐδὲ φέρῃ τὰ πολλὰ τὴν φύσιν ἡμῶν αἰσχύνειν, ἀλλ' ἀχλὺν εἰς ἑαυτὸν ἕλκῃ καὶ νέφει καλύπτηται, ὑποχωρῇ δὲ καὶ ἡ θάλαττα, τὰ μὲν πρὸς βορρᾶν ἀνατρέχουσα, τὰ δὲ ὑπὸ γῆν καταρρέουσα. δι' ἡμᾶς γοῦν, ἀδελφοί, ὁ κλόνος τῆς γῆς· εἰ γὰρ πνεῦμα καὶ ἴσως τὸ συγκινοῦν, ἀλλὰ θεός ἐστιν ὁ τῷ πνεύματι ἐντελλόμενος κινῆσαι καὶ ταράξαι τὴν σύμπασαν γῆν. κἂν ὕδωρ ἄλλος τις φαίη τῶν φυσικῶν τῆς κινήσεως γίνεσθαι αἴτιον, μήτε ἀπιστήσωμεν τῷ λόγῳ μήτε πάνυ πιστεύσωμεν. ὅπως δ' ἂν ἔχῃ, θεὸς ἀμφοῖν ἐπιτάττει δι' ἡμᾶς αὐτοὺς ἡμῖν ἀπειλούμενος· ὥσπερ γὰρ καὶ ὑετίζων ἡμῖν νέφεσι πρὸς τὸν ὑετὸν κέχρηται καὶ τὰ πολλὰ οὕτως ἐργάζεται, ἄλλο τι ποιῶν ἵν' ἕτερον δι' αὐτοῦ ἐπαγάγοι, τάχα που καὶ τὴν γῆν κινῆσαι βουλόμενος, ὕδατι ταύτην διακυμαίνει ἢ πνεύματι. ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐξ Ἰόππης ἀποδιδράσκοντα καὶ διὰ θαλάττης ποιούμενον τὴν φυγὴν καταποντίσαι βουλόμενος κύμασιν ἐξαισίοις τὴν θάλατταν διετίναξεν, ἵνα διὰ τοῦτο ὥσπερ τινὰ φόρτου ἀποβολὴν καὶ τοῦτον οἱ ἐν τῷ σκάφει ποιήσωνται, τάχα μὲν καὶ τῆς ἀπειθείας ἕνεκα καὶ τῆς τοῦ προφήτου – πῶς ἂν εἴποιμι; – εὐλαβείας ἢ ἀθετήσεως τοῦ κηρύγματος, τὸ δέ γε ἀληθέστερον, ἵνα τὴν οἰκείαν ἀνάστασιν ἐν ἐκείνῳ διαχαράξῃ, οὕτω δὴ καὶ ἐφ' ἡμᾶς φυγάδας γινομένους τῶν προσταγμάτων αὐτοῦ ἄνωθεν μὲν οἷα δὴ βέλεσι κατατοξεύει τοῖς κεραυνοῖς, κάτωθεν δὲ ἀνακυμαίνει τὴν θάλατταν ἢ δοκεῖ τὸ τῆς γῆς ἀπορριζοῦν μέγεθος, ἐκείνην μὲν ἀνέμοις, ταύτην δὲ 140 145 150 155 160

149 *ἄλλος τις*] sc. Democrit.; cf. 29, 65–68 ‖ 155 Iona 1, 1–15

133 *ἠρεμαίη* **P**: corr. Wk.

165 *πνεύμασιν ὑπογείοις διασπαράττων τε καὶ κινῶν. τοῖς μὲν γὰρ ἔξω τοῦ καθ' ἡμᾶς λόγου ἡ φύσις ἀντὶ πάντων ἀρκεῖ πρός τε καινοτομίαν τῶν κτισμάτων καὶ πρὸς τὴν γένεσιν, καὶ τούτοις οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀλογωτέροις καὶ πρὸς τὴν αἴσθησιν ῥέπουσιν, οἳ θεὸν μὴ ἐφιστάντες μήτε δημιουργὸν τοῦ παντὸς μήτε προνοητὴν καὶ | ἔφορον ὧν πεποίηκε,* 94ᵛ
170 *τοῖς ποιήμασι τὴν ἐξουσίαν δεδώκασι τῆς γενέσεως καὶ αὐτὰ ὑφ' ἑαυτῶν κατευθύνεσθαί τε καὶ κατευθύνειν ἀνοήτως παντάπασιν ἀπεφήναντο. ἡμῖν δέ, οἷς ἀρχὴ τοῦ παντὸς ἐφέστηκεν ὁ θεὸς καὶ πρὸς ὃν τὰ σύμπαντα ἀναφέρεται καὶ ἀφ' οὗ οἱ λόγοι τῶν διοικήσεων τοῖς μέρεσιν ἐντίθενται τοῦ παντός, οὐδὲν ἄτοπον συμβαίνει, εἴτε χωρὶς μέσων*
175 *αἰτίων εἰς τὴν πρώτην ἀρχὴν ἀνάγομεν τὰς γενέσεις καὶ τὰ συμβαίνοντα, εἴτε διὰ μέσων τινῶν καὶ ταῦτα ἀποδεικνύοιμεν· οὐ γὰρ ἐπειδὴ τῶν προσεχῶν αἰτίων τοὺς λόγους διεξετάζομεν, τῆς ὑπερτέρας ἀρχῆς ἐπιλανθανόμεθα, οὐδ' ὥσπερ τὸν μὲν θεὸν ἀφρόντιδα ποιοῦμεν καὶ πᾶσι τοῖς γενομένοις ἀσύντακτον, τοῖς δὲ προσεχεστέροις αἰτίοις*
180 *τὴν πᾶσαν δύναμιν τῶν πραττομένων ἀνατιθέαμεν. ἀλλ' ὥσπερ τἄλλα τε καὶ τὴν φύσιν ἀπὸ θεοῦ παράγομεν, οὕτω δὴ ἐκεῖνά τε καὶ ταύτην εἰς θεὸν ἀναφέρομεν. πεποίηται μὲν οὖν παρὰ τοῦ πρώτου λόγου ὁ οὐρανός, οὗτος δὲ οὕτω δόξαν τῷ πεποιηκότι συνέχει τὸ πᾶν. ἀλλ' οὐκ ἐπειδὴ τὴν συνοχὴν οὗτος τοῖς στοιχείοις δίδωσι, διὰ τοῦτο ἡμῖν ἡθέ-*
185 *τηται ὁ θεός, ἀλλὰ τὸ μὲν πάντων εἶναι ἐκεῖνον αἴτιον ὥσπερ ἀξίωμα ἡμῖν ὡμολόγηται, τὸ δὲ καὶ προσεχεῖς ἑτέρας αἰτίας διδόναι τοῖς πράγμασι καὶ ἀπὸ τῆς αἰσθήσεως ἡμῖν κατείληπται. καταφωτίζει γοῦν τὴν ⟨γῆν⟩ σύμπασαν ἀνατέλλων ὁ ἥλιος καὶ αὖθις νύκτα ἐπάγει δυόμενος, καὶ κρύπτεται νέφους ὑποδραμόντος αὐτόν, καὶ δοκεῖ ἐκλείπειν*
190 *τῆς σελήνης ἀντιφραττούσης τοῦτον ἡμῖν. οὕτω τοιγαροῦν λόγος ἐστὶ καὶ ἀτμῶν καὶ νεφῶν καὶ χαλάζης καὶ ὑετοῦ, οὕτω δὴ καὶ ὑποχωρούσης θαλάττης καὶ αὖθις ἐπιρρεούσης καὶ γῆς κλονουμένης καὶ αὖθις καθισταμένης.*

Εἰ μὲν οὖν τὴν πρώτην ἀρχὴν βούλει τῶν γινομένων ἐπισκοπεῖν,
195 *ἀνάδραμε πρὸς θεόν· ἐκεῖνος γάρ ἐστιν ὁ τὴν ἡμέραν ποιῶν καὶ τὴν νύκτα, ἐκεῖνος ὁ νέφεσι καλύπτων τὴν γῆν καὶ διὰ τούτων σκιάζων τὸν ἥλιον, ἐκεῖνος ὁ τὴν σελήνην τῷ ἡλιακῷ ὑπάγων φωτὶ καὶ ταύτην αὐξάνων καὶ αὖθις ἀρτιγενῆ ἐργαζόμενος, ἐκεῖνος καὶ τὴν ὑγρὰν κυμαίνει καὶ διαταράττει τὴν γῆν, ἐκεῖνος ὁ πλάττων ἄνθρωπον καὶ ἀνα-*

165 *ὑπογείοις* Gautier (cf. 203; op. 31, 14): *-έοις* **P** || **188** *γῆν* add. Hansen || **190** *ἀντιφραζούσης* **P**: corr. Wk.

διδοὺς στάχυν καὶ τἆλλα οὕτω ποιῶν. εἰ δὲ καὶ τὰς ἐγγυτέρας αἰτίας 200
ἐθελήσεις ἀναζητεῖν, εὑρήσεις τροπῶν μὲν καὶ ἰσημερίας ἥλιον αἴτιον, ἀνατολῆς δὲ καὶ δύσεως οὐρανόν, καὶ ὑετῶν μὲν νέφη, νεφῶν δὲ ἀτμούς, κινήσεως δὲ γῆς ὑπόγεια πνεύματα. βούλονται μὲν γὰρ οἱ πολλοὶ αὐτὸν τὸν θεὸν ἀμέσως ἐφεστηκέναι τοῖς αἰσθητοῖς καὶ οἷον χερσὶ τὸ πᾶν διευθύνειν καὶ διοικεῖν. ἔστι δὲ πάντῃ ἀλογώτατον 205
τοῦτο· ἔξω τε γὰρ τοῦ παντὸς ἡ θεία φύσις καὶ ἀπερίληπτος, καὶ ἡ ἀπὸ τοῦ νεύματος ψῆφος ἀρκεῖ τοῖς πᾶσιν εἰς γένεσιν καὶ διοίκησιν. ἐπιτάττει δὲ πρὸς τὴν τούτων παραγωγὴν καὶ ἐπιτροπὴν νῦν μὲν θείαις δυνάμεσι, νῦν δὲ στοιχείοις, νῦν δὲ σώμασι. καὶ ἡ φύσις πλάττει μὲν τὸ ζῷον, ἔχει δὲ τὴν κίνησιν ἄνωθεν, καὶ ἵνα τὴν ἐφεστῶσαν λέγω 210
πληγήν, κινεῖ μὲν τὸ πνεῦμα τὴν γῆν, ἀλλὰ παρὰ θεοῦ τὸ τοῦ κινεῖν προσειληφὸς σύνθημα.

Ἐπειδὰν τοίνυν ὁ λόγος τῆς αἰτίας τῶν πραττομένων ἐφίκοιτο, θαυμασιωτέραν μᾶλλον τὴν δύναμιν ἐπιδεικνύει τοῦ πλάσαντος. εἰ γὰρ καὶ ἀληθεύει ὁ τῶν φυσικῶν λόγος, ὅτι τὸ ἀναθυμιώμενον πνεῦμα τοὺς 215
τῆς γῆς πόρους διιὸν ταύτην διασαλεύει, πῶς οὐκ ἂν ἐκπλαγείημεν καὶ τὴν ἄφατον τοῦ θεοῦ θαυμάσαιμεν δύναμιν; ἔπελθέ μοι γάρ, εἰ βούλει, τὸ πλάτος τῆς γῆς, τὸ ὕψος, τὸ βάθος, τὸ μῆκος, τὸ οἰκούμενον, τὸ ἀοίκητον, τὰ παντοδαπὰ ταύτης μέρη, ὁπόσα μὲν εἰς ὀρῶν ἀνῆκται κορυφάς, ὁπόσα δὲ διέρρηκται εἰς κοιλότητας καὶ ὁπόσα ἐφ' 220
ὁμαλῆς ἐπιφανείας ἐξήπλωται. πῶς οὖν ἡ ἁπαλὴ φύσις τοῦ πνεύματος πρὸς τηλικοῦτον ἄχθος ἐξήρκεσε; μὴ τοίνυν τῇ τούτου φύσει τὴν δύναμιν ἀναθῇς τῆς κινήσεως, ἀλλὰ παρὰ σεαυτῷ λόγισαι, ὅτι τὸ μὲν ὄργανον ἦν μόνον τοῦ θείου βουλήματος, ὁ δὲ τῆς ἰσχύος λόγος παρὰ τοῦ προστάξαντος ἐνεπάγη τῷ πνεύματι. μὴ τοίνυν εἰς ὑλικωτάτας 225
μόνας αἰτίας τὸν ἡμέτερον ἐπικλίνωμεν νοῦν, μηδὲ τὸ μὲν καθ' ἡμᾶς ἡμέτερον ὑπεξέλωμεν, ἄλλο δέ τι τῆς κινήσεως αἰτιώμεθα. διὰ τί γάρ, τοῦ πνεύματος ἁπανταχόσε ἀεὶ φοιτῶντος τῆς γῆς καὶ διὰ μέσης αὐτῆς διιόντος, οὐ πάντοτε ὁ κλόνος αὐτῇ ἐπιγίνεται; ἢ δῆλον ὅτι τῆς τοῦ θεοῦ βουλήσεως ἡ τοῦ πνεύματος ἤρτηται δύναμις. βούλεται δὲ 230
τὴν γῆν συγκινεῖν ὁ θεὸς οὐχ ἵνα μαστίξῃ τὴν ἄψυχον, οὐδ' ἵνα τὴν ἀναίσθητον σωφρονίσῃ, ἀλλ' ἵν' ἢ τιμωρήσηται ἡμᾶς ἁμαρτάνοντας καὶ διὰ τῆς τοιαύτης πληγῆς σωφρονίσῃ ἢ ἐπαπειλήσας τὰ φρικωδέστατα καὶ τῷ φόβῳ συστείλῃ, ὥσπερ τὴν μὲν τάσιν τοῦ τόξου ἐπιδεικνύς, τὸ δὲ βέλος μὴ ἀφιείς. 235

203 cf. 29, 5–8 ‖ **215** *τῶν φυσικῶν*] e. g. Arist.; cf. 29, 5–8 ‖ **230–234** cf. 29, 87 sqq.

Ἀλλὰ νῦν οὐχ οὕτω ταῦτα δοκεῖ, οὐδὲ μέχρις ἑτοιμασίας τοῦ τόξου τὰ καθ' ἡμᾶς, οὐδὲ ἐστίλβωται ἡ ῥομφαία μόνον, ἀλλὰ καὶ ἐπενήνεκται καὶ βέλη δεινὰ καὶ ἀτεχνῶς ἰοῦ θανατηφόρου μεστὰ ἐπὶ τὰς καρδίας ἡμῶν ἐκτετόξευται καὶ κύκλῳ τὸ πῦρ καὶ πανταχόθεν τὰ βέλη
240 *καί, τό γε χεῖρον, πυκνὰ καὶ ἐπάλληλα καὶ δεινὰ τὰ τῆς γῆς κύματα. οὔπω γὰρ τὸ πρώτως ἐγερθὲν πέπαυται καὶ δεύτερον ἄλλο δεινὸν ἐπεγήγερται, καὶ οὐδέν τι μέρος τῆς γῆς ἀσφαλὲς εἶναι πεπίστευται, ἀλλὰ τὰ μὲν ὕπτια κάτωθεν ἀναβράσσεται καὶ ἀνέστηκεν εἰς ὀρθόν, ὅσα δὲ ἐν γηλόφοις | τε καὶ ὄρεσιν, ἐκκορυφοῦται καὶ κατακρημνίζεται ἄνω-* 95ʳ
245 *θεν. ἂν ἐπὶ τὰ ὕπαιθρα καταφύγοιμεν, αὐτὸ δὴ τὸ τῆς γῆς ἡμῖν διασχίζεται ἔδαφος· ἂν ἐπὶ τὰς τῶν ὀρῶν ἀναδράμοιμεν κορυφάς, συναπολισθαίνομεν ταύταις ἐπὶ τὸ κάταντες· ἂν ὑπὸ στέγην γενοίμεθα, ἂν ἐπὶ θεμελίων σταίημεν, ἀμφοτέρωθεν διακυμαινόμεθα καὶ ἑκατέρωθεν συγχωννύμεθα. ἐπιλέλοιπε δὲ ἡμᾶς καὶ ἡ ἐσχάτη ἐπὶ τούτοις κατα-*
250 *φυγὴ καὶ ἀσφάλεια καὶ μόνοις ἡμῖν ἡ τῶν θείων ναῶν φυλακὴ καὶ ἀσφάλεια διέψευσται· οὗτοι γὰρ καὶ μᾶλλον τῶν ἄλλων τὴν θείαν ἡμῖν ὑφ' ἑαυτῶν διαζωγραφοῦσιν ὀργήν. τί ποτ' οὖν; λύσις ταῦτα τοῦ σύμπαντος ἢ παντάπασι τῆς θείας προνοίας ἀπεστερήμεθα; πολλοῦ γε καὶ δεῖ. μᾶλλον δὲ δεῖγμα τὸ γενόμενον, ἄνδρες, τῆς περὶ ἡμᾶς τοῦ*
255 *λόγου κηδεμονίας· οὐ γὰρ ἵνα τὸ πᾶν ἀνέλῃ, τὸν κλόνον ποιεῖ, ἀλλ' ἵνα τὰς ἡμετέρας στηρίξῃ ψυχάς, κατασείει τὴν γῆν, καὶ τὸ συνεχὲς τῆς κινήσεως τὸ ἐνδελεχὲς τῆς περὶ ἡμᾶς τοῦ θεοῦ προμηθείας ἐνδείκνυται. καὶ ἀναλογοῦσαν τοῖς ἁμαρτήμασιν ἐπάγει τὴν βάσανον, ἵν' ὥσπερ διὰ φαρμάκου τινὸς δριμυτέρου διεκμοχλεύσῃ τὴν ἐνδομυχοῦ-*
260 *σαν ἡμῖν πονηρίαν καὶ ἀποκαθάρῃ τὴν φύσιν καὶ ἐλευθέραν τῆς ἐνοχλούσης ἐργάσηται ἕξεως. καὶ ἡ παιδεία δὲ κηδεμονίας μεστή· οὐ γὰρ ἐπαυξάνει τὰ δρώμενα, οὐδὲ βαρυτέραν ἐπάγει τὴν βάσανον, ἀλλ' ὥσπερ ὁ θυμὸς αὐτῷ κατὰ βραχὺ λήγουσαν, ἀπὸ μείζονος μὲν κεκινημένος ἀρχῆς, κατὰ μικρὸν δὲ λήγων εἰς τὸ πραότερον. οὐ γὰρ οὕτως ἡ*
265 *γῆ κατὰ πρώτην κυμαίνεται κίνησιν, ἀλλ' οἷος ἐκεῖνος φιλάνθρωπος πλήξας ἅπαξ σφοδρῶς, τοῦ χρηστοτέρου ἤθους, εἰ χρὴ οὕτως εἰπεῖν, γέγονε καὶ κατ' ὀλίγον ὑφίησι τῆς ὀργῆς, ἵν' οὕτως εἰς ἀκριβῆ ἀκινησίαν ἡ τῆς ὀργῆς αὐτῷ κατασταίη ὁρμή τε καὶ κίνησις. εἰ γοῦν καὶ ἡμεῖς ἡμῶν ἑαυτῶν γενοίμεθα καὶ διασεισθέντες ἱκανῶς τὰς ψυχὰς ἐπὶ*

237 Ps. 7, 13

242 ad *οὐδέν τι* mg. *τῶ ὄντι* **P** (i. e. *οὐδὲν τῷ ὄντι μέρος*?); post *δεινὸν* ins. Gautier ‖ **258** *ἀναλογοῦσι* **P**: correxi ‖ **264** *ἀρχῇ* ut vid. (comp.) **P**: corr. Gautier | *πραότερον* Wk.: *πρότερον* **P** ‖ **268** *αὐτῷ* Gautier: *αὐτοῦ* Pallis: comp. **P**

τῶν ἐμφύτων λογισμῶν σταίημεν, ἑαυτούς τε ἀκινήτους πρὸς τὸ κακὸν 270
ἐργασόμεθα καὶ τὴν γῆν ὑφ' ἑαυτῶν στήσαιμεν, ὥσπερ τοῦ δέοντος
παρακινηθέντες, ταύτην κινήσαντες, οὕτως ὑφ' ἑαυτῶν στάντες, ταύτην
τῆς ἐφ' ἡμῖν κινήσεως ἀπαλλάξαντες.

31

Τοῦ αὐτοῦ εἰς τὸ ἐν Νικομηδείᾳ Ἠχεῖον

Θαυμάζουσιν οἱ πολλοὶ τὸ ἐν Νικομηδείᾳ Ἠχεῖον, ὃ δὴ καὶ Ἀκοὴν
ὀνομάζουσιν. ἔστι δὲ οἴκημα στεγανὸν ὑπὸ χθαμαλὸν ὄροφον ἀποτε-
τορνευμένον εἰς ἡμισφαίριον, τέσσαρσι τοίχοις ἐκ διαστήματος κου-
φιζόμενον· οὗ δὲ διεστᾶσιν οἱ τοῖχοι, ἄφετόν ἐστι καὶ ἐλεύθερον. καὶ 5
οἱ μὲν τερατοποιίαν τὴν ἀντήχησιν δοξάζουσι τῆς φωνῆς καὶ εἰς οὐδε-
μίαν αἰτίαν ἀνάγουσιν· οἱ δὲ κρυφίους τινὰς ἀναπλάττουσι μηχανάς,
σωλῆνάς τινας ἐντεθεῖσθαι τῷ βάθει τῶν τοίχων εἰκάζοντες, δι' ὧν τὴν
φωνὴν διηχεῖσθαι καὶ ἐξακούεσθαι, καὶ οὔ φασι δύνασθαί τινα ἄνευ
ἐπινοίας τοιαύτης ἢ ἄλλως εἰκαζομένης οἶκον τοιοῦτον κατασκευάσαι 10
ἠχήεντα.

Ἐγὼ δὲ ἰδὼν ἅπαξ τὸ τοιοῦτον δωμάτιον οὔτε ἐθαύμασα οὔτε μετὰ
τῶν ἀναιτίων ἠρίθμησα. οὔτε γὰρ τερατώδης ἐστὶν ἡ τῆς φωνῆς ἀντι-
τυπία οὔτε ὑπογείους τινὰς ἢ πλαγίους ἔσχηκε μηχανάς. ἀλλ' οὐδὲ ὁ
πρώτως τὸ δωμάτιον κατεσκευασμένος πρὸς τὴν τοιαύτην θαυμα- 15
τολογίαν ἀπέβλεψεν, οὐδὲ σκοπὸν θέμενος τὴν ἀντήχησιν πρὸς τοῦτο
συνεπεράνατο τὰ λοιπά, ἀλλὰ μηδὲν ἐννοήσας τοῦ ἐσομένου εἰργάσατο
μὲν ἐφ' ὁτῳδήποτε, τὸ δ' ἀπετελεύτησε μετὰ τῆς λοιπῆς χρείας καὶ εἰς
τὸ νῦν θαυμαζόμενον.

Αἰτιολογήσαιτο δ' ἄν τις τὴν τοιαύτην ἠχὼ ἐντεῦθεν ἀρξάμενος. ὁ 20
παρ' ἡμῖν ἔναρθρος λόγος, ὃς δὴ καὶ ἐξ ἀκοῆς διὰ μαθήσεως παραγί-
νεται, φυσικῷ διαρθροῦται πνεύματι· ὃ δὴ σωμάτιόν ἐστι λεπτότατον
ἐκ τοῦ πνεύμονος διὰ τοῦ κατὰ τὴν τραχεῖαν ἀρτηρίαν αὐλῶνος, οἰ-
κείως εἰπεῖν, διαυλωνιζόμενον. τοῦτο δὴ τὸ διηρθρωμένον πνευμάτιον

31 P 67ʳ–68ʳ **V** 264ᵛ–266ʳ

271 an *ἑαυτοῖς* legendum? ‖ 272 *ὑφ'*] fort. *ἐφ'* scribendum

31 1 *τὸ … ἠχεῖον* **P**: *τὴν … ἀκοήν* **V** ‖ 3 *οἴκημα* **V**: laesus est **P** ‖ 4 *διαστήματος* **V**: laesio **P** ‖ 6 *ἀντίχησιν* **P** ‖ 10 *ἐπινοίας* **V**: *ἐπιφορᾶς* **P** ‖ 13 *τῆς φωνῆς* **V**: *τῶν φωνῶν* **P** ‖ 15 *πρώτως* **P**: *πρῶτος* **V** ‖ 21 *παραγίνεται* **P**: *περιγίνεται* **V** ‖ 22 *λεπτότατον* **V**: *στενότατον* **P** ‖ 24 *διηρθρωμένον* **P**: *ἠρθρωμένον* **V**

25 *δι' ἀχανοῦς μὲν διιὸν ἀέρος χεῖταί τε καὶ ἐπὶ πολὺ προϊὸν διασκίδναται καὶ εἰς τὸ μηδὲν διαλύεται· εἰ δ' ἀντιτύποις ἐντύχῃ σώμασι, κλᾶταί τε περὶ αὐτὰ καὶ οὐκ εὐθὺς ἀπόλλυσι τὴν ἠχήν. οὐ μὴν ἐπί γε πάσης ἀντιτυπίας σωμάτων ἀντανακλᾷ ἑαυτὴν ἡ φωνή, ἀλλὰ κἂν στεγανὸν μὲν τυγχάνῃ ὂν τὸ δωμάτιον, ἐπῆρται δὲ εἰς ὕψος ἡ ὀροφή, ἢ*
30 *μὴ συμμέτρως τὸ ὅλον διίσταται, ἀλλὰ τὸ μὲν συμπεπύκνωται, τὸ δὲ διέστηκε πλέον τοῦ δέοντος, ὑφ' ὧν μὲν συμπιληθήσεται ἡ φωνὴ καὶ διαλυθήσεται ἀψοφητί, τοῖς δ' ἄλλως ἔχουσι διαχεθήσεται καὶ ἀφανισθήσεται. εἰ δ' οὕτω τὸ οἰκημάτιον κατεσκεύασται, ὥστε κοιλοτέραν μὲν εἶναι τὴν ὀροφήν, συμμετρίαν δὲ καὶ τὰ πέριξ λαβεῖν διαστήματα,*
35 *εἶτά τις ἐφ' ὁποτέρου δὴ μέρους φωνὴν ἠρέμα ἀφήσει, ὁ κατατικρὺ τούτου ἑστώς, τὴν ἀκοὴν ὑποθείς, ἀντανακλωμένης ταύτης ἀκούσεται. καὶ οἰήσεται μὲν ἐκ τοῦ βάθους τοῦ ἐφ' ᾧ ἵσταται μέρους τὴν ἠχὼ προϊέναι, ἡ δὲ οὐκ ἐκεῖθεν ἐξάλλεται, ἀλλ' ὑπὸ τοῦ φωνοῦντος ἀνταναπέμπεται. ὁ γὰρ ἐκτὸς ἀήρ, ὑγρὸς ὢν καὶ εὐτύπωτος, διαγράφεταί*
40 *πως ὑπὸ τῆς ἐνάρθρου φωνῆς οἷον ἐνσημαινόμενος, καὶ τὴν διὰ τῶν ἄρθρων δεξάμενος μόρφωσιν κατὰ συνέχειαν τῇ τοῦ ἀκούοντος εἰσρέει ἀκοῇ. πόρος γάρ τις ἐκεῖθεν συντέτρηται πρὸς τὴν μήνιγγα, οὐ κατ' εὐθεῖαν εἰσβάλλων πρὸς αὐτήν, ἀλλὰ φερόμενος σκολιώτερον, ἵνα μὴ τὸ τῆς ἠχοῦς πνεῦμα, ἐπεισπεσὸν ταύτῃ ἀθρόον, ῥῆξιν ἢ ἄλλο τι*
45 *πάθος ἐργάσηται.*

Ἔνθεν τοι, ἵνα μετὰ τοῦ ἔργου καὶ πάρεργόν τι αἰτιολογησώμεθα, μετὰ τὴν ἀστραπὴν ἀκούομεν τῆς βροντῆς. καίτοι γε πρῶτόν ἐστι τὸ νέφος ῥηγνύμενον, εἶτα δὴ τὸ πῦρ ἐντεῦθεν ἐξάλλεται, ἀλλ' ὁ μὲν ὀφθαλμὸς προπετὴς ὤν, ἀλλ' οὐ κοῖλος, εὐθὺς εἶδε τὸ ὁρατόν, ἡ δέ γε
50 *ἀκοὴ ὕστερον τὸν ἦχον τῆς βροντῆς ὑπεδέξατο. οἱ γοῦν ἀθροώτερον τοὺς τῆς βροντῆς ἤχους ἐνηχηθέντες πάσχουσί τε τὴν μήνιγγα καὶ ἐμβρόντητοι ἐντεῦθεν κατονομάζονται.*

Ἀλλ' ὅπερ αἰτιολογεῖν προεθέμεθα, ἐπὶ τοῦτο καὶ τὰ λοιπὰ συναπτέον. λέγομεν δὲ ὥσπερ ἀξίωμα, ὅτι πᾶν ἀντιπῖπτον σωμάτιον πρὸς
55 *τὸ σχῆμα ἀντανακλᾶται τῆς πτώσεως· ἢ γὰρ κατ' εὐθεῖαν, εἰ οὕτω δὴ ἀφεθείη, ὥσπερ ἐπὶ τῶν ὑμενίνων ἔχει σφαιρῶν· ἢ κατὰ τὸ πλάγιον,*

46–50 cf. 27, 14–16

25 *πολὺ* **V**: *τὸ πολὺ* **P** ‖ **28** *ἀντανακλᾷ* **V**: *ἀντικλᾷ* **P** ‖ **30** *ἀλλὰ … συμπεπύκνωται* **V**: om. **P** ‖ **34** *δὲ* **V**: *τε* **P** ‖ **41** *εἰσρέει* **V**: *εἰσρέοι* **P** ‖ **44** *ταύτῃ ἀθρόον* **V**: *ἀθρόον ταύτῃ* **P** ‖ **46** *αἰτιολογησώμεθα* **V**: *αἰτιασώμεθα* **P** ‖ **49** *ὁρατόν* **V**: *ὁρωτόν* **P** ‖ **50** *γοῦν* **V**: *οὖν* **P** ‖ **51** *τῆς βροντῆς* **P**: *τῶν βροντῶν* **V** | *τε* **V**: *τι* **P** ‖ **53** *τοῦτο* **V**: *τούτοις* **P** ‖ **56** *ὑμενίνων* **V**: *ὑμένων* **P**

εἰ οὕτω δὴ αὖθις ἀπορριφείη. διὰ ταῦτα καὶ ἡ ἔναρθρος ἡμῶν φωνὴ σῶμα οὖσα μεμορφωμένον, οὗ δὴ πρῶτον ἐμπέσοι, εἰς τὸ καταντικρὺ τούτου ἀκούεται, καὶ τοῦ μὲν πρὸς ἀνατολὴν τὸ πρὸς δύσιν ἀντίρροπον, τοῦ δὲ πρὸς νότον τὸ πρὸς βορρᾶν. οὕτω δὴ κἀπὶ τοῦ θαυ- 60 μαζομένου τούτου ἔχει οἰκήματος· οὐ γὰρ οἱ πλησίον τοῖχοι ἀντικτυποῦσιν ἀλλήλοις, ἀλλ' οἱ ἐκ διαμέτρου διεστηκότες. καίτοι γε ἐχρῆν, εἰ μηχανή τις ἦν ἔνδοθεν αὐτῶν κρύφιος, μὴ τὰ καταντικρὺ τῶν διαστημάτων ἀντηχεῖν, ἀλλὰ τὰ ἀλλήλοις ἐγγίζοντα. νῦν δὲ ὁ μὲν πλησίον τοῦ φωνοῦντος ἑστὼς οὐκ αἰσθήσεται τῆς ἐνάρθρου ἠχοῦς, ὁ δὲ κατ' 65 ἐναντίον τρανότερον ταύτης ἀκούσεται. ἀκούσεται δὲ οὐκ ἀμφοτέραιν ταῖν ἀκοαῖν, ἀλλὰ θατέρᾳ τῇ προσκειμένῃ τῷ τοίχῳ, ὅτιπερ ἡ ἀνακλωμένη φωνὴ οὐ διὰ τῆς μετεώρου ἀκοῆς εἴσεισιν, ἀλλὰ διὰ τῆς ἐπιτεθείσης τῷ τοίχῳ· δευτέρα γὰρ ἀντανάκλασις τῆς αὐτῆς φωνῆς γίνεται, πρώτη μὲν ὅθεν ὁ φωνῶν ἀφίησι τὴν φωνήν, δευτέρα δὲ οὗ 70 προσπίπτουσα αὕτη καταντικρὺ πρὸς τὴν ἐπικειμένην εἰσρέει ἀκοήν. ἠχητικωτέρα δέ ἐστιν ἡ δευτέρα, διότι ἀπολαμπρύνεται ἡ φωνὴ τῷ μεταξὺ τῆς τε γλώττης καὶ τῆς ἀκοῆς εὐήχῳ τοῦ ἀέρος σώματι. καὶ διὰ ταῦτα ἀμυδρὰ μὲν ἡ γλῶττα, ἡ δὲ ἀκοὴ τρανεστέρα. συμβέβληται δὲ τῷ πράγματι καὶ ἡ ὀροφή, μὴ ἄγαν οὖσα μετέωρος, ἀλλ' οἷον ἐπι- 75 κειμένη καὶ μὴ διαλύουσα τὴν φωνήν.

Ἀλλ', εἴποι τις ἄν, δύναμις ταῦτα λόγου τὴν μὲν ἀκοὴν κατασείουσα, ἔργῳ δὲ μὴ συμπείθουσα. ἀλλ' ὥσπερ ἀπαιτοῦσιν ἡμᾶς ἐπὶ τῆς συγκινουμένης τῇ ὑπάτῃ χορδῆς δεῖξαι τοῦτο τῷ πράγματι, λύραν λαβόντας ἢ ψαλτήριον, οὕτω δὴ κἀνταῦθα τὴν μὲν φυσιολογίαν οὐκ 80 ἀποδέχονται οἱ πολλοί, ἐπίδειξιν δὲ τοῦ λεγομένου τὴν διὰ τοῦ πράγματος ζητοῦσι κατασκευήν. ἐγὼ δὲ τοσοῦτον ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι οὐ πάντως, εἰ τῇ συνοικοδομίᾳ χρήσομαι, καὶ ἐπιτυχὴς τοῦ αἰτιολογουμένου γενήσομαι· ἀλλ' ἔστι μὲν οὗ ἐπιτεύξομαι, ἔστι δ' οὗ ἀποτεύξομαι. οὐ γὰρ παντὶ οἰκίσκῳ ἕπεται τὸ ἀντιτυπὲς τῆς φωνῆς, ἀλλὰ 85 τῷ οὕτως συναρμοσθέντι, ὡς συμμετρίαν ἔχειν καὶ τοῖς οἰκοδομήμασι καὶ τοῖς διαστήμασιν. ὅτι μὲν γὰρ ἡ αἰτία ἐντεῦθεν τοῦ γινομένου πᾶς ἄν τις εἴποι φυσικῶν θεωρημάτων ἐπήβολος· τὸ δὲ ἐπιτυχεῖν ὧν ἂν

57 *εἰ* **V**: *ἢ* **P** ‖ 58 *ἐμπέσοι* **V**: *ἐμφῦσα* **P** ‖ 59 *τούτου* **V**: *τούτων* **P** ‖ 61 *τούτου* **V**: *τοῦδε* (et post *οἰκήματος* scr.) **P** ‖ 62 *γε* **V**: *οὐκ* **P** ‖ 63 *διαστημάτων* **V**: *δια* tantum superest **P** ‖ 64 *ἀντηχεῖν* **V**: *ηχεῖντηχεῖν* initio deperdito **P** ‖ 65 *αἰσθήσεται* **V**: tantum *ται* **P** ‖ 66 *ἀμφοτέραιν* **V**: *ἀμφο* cett. amiss. **P** ‖ 68 *μετεώρου* **V**: *ρου* tantum servat **P** ‖ 75 *οὖσα* **V**: *οὖσαν* **P** ‖ 76 *μὴ* **V**: om. **P** ‖ 78 *ὥσπερ* **V**: *ὅπερ* **P** ‖ 79 *λύραν* **P**: *λύραν γὰρ* **V** ‖ 88 *εἴποι* Boissonade: *εἴπῃ* **VP** | *δὲ* **V**: *δὲ καὶ* **P**

τις αἰτιολογήσαιτο, τοῦτο οὐ τοῦ παντός ἐστιν οὐδὲ πάντοτε· ἀλλὰ
90 δεῖται καὶ εὐκαιρίας θέσεως καὶ τέχνης ἀκριβούσης τὸ ἔργον καὶ ὕλης
εὐεργεστέρας καὶ συμμετρίας ὕψους καὶ βάθους καὶ τῶν λοιπῶν δια-
στημάτων, δι' ὧν τὸ κρύφιον τῆς φύσεως ἐξευρίσκεται. ἐπεὶ καὶ Ἀρχι-
μήδης ὁ Σικελὸς ᾔδει μὲν ὡς ἐξ ἐνόπτρων τινῶν κατασκευὴν τὴν
προσήκουσαν δεξαμένων καὶ πρὸς ἡλιακὰς ἀντιτεθέντων ἀκτῖνας πῦρ
95 ἐκ συμμέτρου διαστήματος ἐξαφθήσεται, καὶ πολλὰ τοιαῦτά γε κατε-
σκεύακε δι' ὧν τὰ τείχη τῆς πατρίδος διεφυλάξατο, τοῖς πολεμίοις
πυρκαϊὰς ὅλας ἐκεῖθεν ἀνάψας, οὐκ ἐπὶ πάντων δὲ τῶν ὀργάνων τοῦ
σκοποῦ ἐπετύγχανεν. ἐχρῆν γὰρ μήτ' ἄγαν κοῖλον εἶναι τὸν ἐπιτεχνώ-
μενον σίδηρον μήτ' ἀσυμμέτρως κυρτοῦσθαι μήτε λείαν ἔχειν τὴν ἐπι-
100 φάνειαν· τὸ δ' οὕτως ἐνηρμόσθαι τὰ διαστήματα οὐ πάντοτε ἡ τέχνη
ποιεῖ. οὐ μὴν τὸ περὶ τὴν τέχνην ἔλεγχος τῆς φύσεως γίνεται, ἀλλ', εἴ
που ἅπαξ ἐπιτυχὲς τὸ φυσικὸν γένοιτο, τοῦτο δὴ ἀντὶ τῶν ἀποτευ-
κτουμένων ἀπόχρη.

32

Τοῦ αὐτοῦ περὶ παραδόξων ἀκουσμάτων

Μηδὲ καινῶν ἀναγνωσμάτων εἴης ἀνήκοος. ἴσθι τοιγαροῦν ὡς ἡ
Ἐπιμενίδειος ἄλιμος μίγμα ἐστὶν ἀσφοδέλου ξηροῦ καὶ μαλάχης ῥίζης
καὶ σησάμης πεπλυμένης μήκωνός τε λευκοῦ σκίλλης τε ὠμῆς τῆς
5 ξανθῆς, καὶ ὁ λαμβάνων τοῦτο ἄσιτος ἐφ' ἡμέρας πολλὰς διημερεύ-
σειεν ἀλυπότατος. τὸ νηπενθὲς συγκείμενόν ἐστιν ἐξ ἱππομανοῦς τοῦ
φυτοῦ καὶ ἀλίμου Κρητικοῦ καὶ ὑοσκυάμου καὶ μανδραγόρου· τοῦτο
δ' εἴ τις ἐσθίει, 'νηπενθὲς' ἔχει 'φάρμακον' καὶ 'κακῶν ἐπίληθες ἀπάν-

32 **V** 172ᵛ–175ʳ ($v^{41}v^{40}v^{46}p^{13}$) **Q** 226ʳ–228ᵛ **f**⁵ 195ʳ–196ʳ ($u^{1}f^{2}p^{16}v^{39}m^{19}$) || **2-3** *ἡ Ἐπιμενίδειος ἄλιμος*] cf. Psell. Ep. 86 (Sathas *MB* V 327, 19–21) || **6** *τὸ νηπενθὲς*] 327, 21–23 || **8** Hom. Od. 4, 220–221

89 *αἰτιολογήσαιτο* **P**: *αἰτιολογοίη* **V** || **90** *δεῖται* **V**: *δεῖ μὲν* **P** || **91** *εὐεργεστέρας* **V**: *ἐνεργ.* **P** || **92** *δὲ* post *ἐπεὶ* add. **V** || **93** *ἐξ ἐνόπτρων* **V**: *ἐξόπτρων* **P** || **94** *ἀντιτεθέντων* **P**: *ἀντιθέτων* **V** || **96** *τῆς* **V**: *γε τῆς* **P** || **99** *μήτε λείαν* **P**: *μὴ τελείαν* **V** || **100** *οὐ πάντοτε* **P**: *οὔποτε* **V** || **101** *περὶ* **V**: *παρὰ* **P** || **102** *ἀντὶ τῶν* **P**: aut deleta aut evanida **V** | *ἀποτευκτουμένων* **P**: *ἀποτευκτούμενον* **V**

32 1 *Τοῦ – ἀκουσμάτων* **V**: *τοῦ ὑπερτίμου κυροῦ μιχαὴλ τοῦ ψελλοῦ περὶ π. ἀκουσμάτων* **p**¹³: *περὶ π. ἀνεγνωσμένων* **Q**: *περὶ π. ἀναγνωσμάτων τοῦ ψελλοῦ* **f**⁵ || **4** *λευκοῦ* **V**: *-ῆς* cett. || **7** *ἀλίμου* coni. Westermann: *κακίμου* codd. | *ὑοσκυάμου* **f**⁵: *-σκι-* **VQ**

των'. τὸ μνημονικὸν εὕρημά ἐστι Ζηναρίας τῆς Πυθαγορικῆς· συνιστᾷ δὲ τοῦτο βοτάνη λευκάνθεμος, πέπερι λευκόν, ἁλικάκαβον, μέλι, 10
σμύρνα, κρόκος καὶ κύπερον, καὶ εἴ τις αὐτοῦ μεταλαμβάνοι, ἐπιλήσμων ἂν εἴη τῶν πονηρῶν, μνήμων δὲ τῶν ἀγαθῶν.

Σύλληψιν μὲν ἐργάζεται θεὸς καὶ φύσις, ὡς ἔγωγε πέπεισμαι, Ἀφρικανὸς δέ φησιν ὅτι καὶ τεχνική ἐστι γέννησις καὶ γεννηθήσεται τεχνικῶς, εἰ ὁ ἀνὴρ μέλλων εἰς συνουσίαν ἐλθεῖν ἐπιχρίσει τὸ μόριον αἵ- 15
ματι λαγωοῦ ἢ χηνείῳ στέατι· ἀλλ' ἐκείνως μὲν ἄρρεν, οὕτως δὲ θῆλυ. κατάγει δὲ ὁ ἀνὴρ οὗτος καὶ γάλα ἐκ τῶν μασθῶν τεχνικῇ μεθόδῳ καὶ σπαργῶντας μετὰ τὸν τοκετὸν σβεννύει κηρωτῇ κυπρίνῃ. ποιεῖ καὶ ἄτοκον γυναῖκα ἀτόκιον αὐτῇ περιάπτων· τοῦτο δέ ἐστι βατράχου ἐγκέφαλος ῥάκει περιειλημμένος λινῷ. καὶ ταῖς δυστοκούσαις Γαγάτην 20
λίθον τῇ ἀριστερᾷ ἐγχειρίζων ὠκυτοκεῖν ταύτας ἐργάζεται. πεποίηται δὲ αὐτῷ καὶ συλληπτικὰ ἕτερα μίγματα καὶ τεχνάσματα καὶ παιδοποιητικὰ ἔμπλαστρα. ἔστι δὲ αὐτῷ ἴσχαιμόν τι ἐξ ἀκρεμόνων συκαμίνου συντεθειμένον τῶν φωστήρων ὑπὸ γῆν ὄντων περίαπτον· διδοῖ δὲ αὐτῷ τὴν δύναμιν ἐπῳδῇ τινι ἀπορρήτῳ. βάπτει δὲ καὶ τρίχας λευ- 25
κὰς ἐκ λιθαργύρου κεκομμένης. ποιεῖ δὲ καὶ φωνασκικὸν ἐξ ἴρεως καὶ τραγακάνθου. ἰοῖ δὲ τὸν χρυσὸν σιέλῳ λυττῶντος κυνός. ἀντιπαθές τε ποιεῖται θηρίων πληγαῖς τῇ διπροσώπῳ ἐμπλάστρῳ. καὶ σκορπιακά τινα ὀνομάζει παράδοξα. καί τινα ἔλεγχον ποιεῖται κλεπτῶν ἀφανῶν, γυρίνων βατράχων τὰς γλώσσας ἀποτέμνων καὶ ταριχεύων, εἶτα ἐπὶ 30
τῆς χρείας ἀλφίτοις ἀναμιγνὺς καὶ τοῖς ἐν ὑπονοίᾳ τῆς ἀφαιρέσεως τοῦ ζητουμένου προδιδούς· καὶ ὁ ἀφελόμενος, φησί, τὸ φώριον ἐν ἐκστάσει ὥσπερ γενόμενος ἑαυτὸν ἀριδήλως δημοσιεύει· ὀνομάζει δὲ τὸ βρῶμα κλεπτέλεγχον.

Καὶ περὶ γεωργίας δὲ ὁ ἀνὴρ οὗτος λέγει παράδοξα. συκάμινα γάρ, 35
φησί, λευκὰ φέρει συκάμινος λεύκην δεξαμένη ἐγκεντρισθεῖσαν· τὰ αὐτὰ δὲ ἐνέγκοι καὶ λεύκη ἐν ᾗ ὀφθαλμισθείη συκάμινος. κατάγραπτα δὲ περσικὰ ἐρυθρότερα γίνεται, εἰ καταγράψαιτό τις τὸν ἐγκείμενον τῷ πυρῆνι καρπόν. καταπαύει δὲ καὶ λοιμὸν ἢ ὀπῷ βαλσάμου ἢ συν-

9 *τὸ μνημονικὸν*] cf. Psell. 327, 23–26 ‖ 13 *Σύλληψιν*] cf. 327, 28–29 ‖ 13 sqq. Iulius Africanus, *Κεστοί* ‖ 19 *ἀτόκιον*] Psell. 327, 31–328, 1 ‖ 21 *ὠκυτοκεῖν*] 328, 1 ‖ 33–34 cf. Psell. 329, 1 ‖ 35–36 cf. Geop. 10, 69, 1 (p. 307, 14–15 Beckh)

11 *κύπειρον* **V** ante corr. | *μεταλαμβάνοι* $\mathbf{p}^{13}\mathbf{f}^{5}$: *-η* **V**: *-ει* **Q** | post *ἐπιλήσμων* add. *μὲν* $\mathbf{p}^{13}\mathbf{v}^{40}$ ‖ 15 *ἐπιχρίσοι* $\mathbf{f}^{5}$: *-ει* **VQ** ‖ 36 *λεύκην δεξαμένη* **V**: *λευκὴν δεξαμένην* **Q**: *δεξαμένη λεύκην* $\mathbf{f}^{5}$ ‖ 37 *συκάμινος* $\mathbf{Qf}^{5}$: *-α* **V** ‖ 38 *περσικὰ ἐρυθρότερα* **V**: *π. ἐρυθρότατα* **Q**: *ἐρυθρότατα π.* $\mathbf{f}^{5}$ ‖ 39 *τῷ πυρῆνι* **V**: *τῇ πυρίνῃ* $\mathbf{Qf}^{5}$

40 εχεῖ δυσωδίᾳ τῇ βυρσοδεψικῇ τοῖς ἐναντίοις. σκευάζει δὲ καὶ οἶνον παντοδαπόν, τὸν μὲν ναρδοστάχυι, τὸν δὲ σχίνου ἄνθει καὶ ἄλλον ἑτέρῳ φαρμάκῳ. πλάττει δὲ καὶ ὑακινθίνους λίθους καὶ σμαραγδίνους καὶ σαρδώνυχας. θεραπεύει τε ἀσπίδων δήγματα καὶ ἀχλὺν ὀφθαλμῶν οὐ τοῖς ἐγνωσμένοις φαρμάκοις, ἀλλὰ περιάπτοις τισὶ καὶ ἐπᾴσμασιν.
45 ἐκ δὲ ἀποπατήματος τῶν συνελθόντων βοῶν καὶ τοῦ οὔρου ἀποπατεῖν ἄνδρα ποιεῖ καὶ γυναῖκα οὐρεῖν, ὅτε βούλοιτο, καὶ γελᾶν πάμμεγα· εὐφορίαν τε τεχνικὴν ἢ μᾶλλον γοητικὴν χωρίοις ἐργάζεται καὶ τὴν ἐναντίαν ἀφορίαν ἐξ ἀντιπαθειῶν. ὁ δὲ ἀφροσέληνον συλλέγει ἐκ τῆς δρόσου τῶν φυτῶν καὶ τῶν σεληναίων αὐγῶν, ἀμεθύσους τε διατηρεῖ
50 τοὺς ἐν οἴνῳ διανυκτερεύοντας. τερατεύεται δέ τινας ὠφελείας ἀπὸ χελώνης, ἀπὸ ἀρκτῴου αἰδοίου, ἐξ ἄλλων ζῴων τε καὶ θηρῶν. πεποίηται δὲ αὐτῷ καὶ ἰσχνοποιὸν φάρμακον ὑπερορίων σαρκῶν. ἀφανίζει δὲ τὰ ἐν τοῖς λαχάνοις ζῳύφια, καινούς τινας τρόπους ὑποτιθείς. λέγει δὲ καὶ περὶ τοῦ Γοργονείου· πόα δέ ἐστι τοῦτο ὑπόγειος τὰ πολλά· λέγει
55 οὖν ὡς, εἴ τις κόρη πλησίον αὐτῆς ὡς Ἀφροδίτης νόμος συμπλακείη, ἄνεισιν ἐπὶ τὴν θέαν ἡ πόα καὶ τὸ γινόμενον περιέργως ὁρᾷ. ποιεῖται δὲ καὶ καλλιβλέφαρα φάρμακα καὶ ἐποπτικά. ῥᾷστον δὲ αὐτῷ καὶ τὴν πολλοῖς ἐγκυλισθεῖσαν ἀνδράσι γυναῖκα παρθένον αὖθις ἐργάσασθαι. κοιμίζει δὲ καὶ παράσιτον καί ἐστιν αὐτῷ τὸ γινόμενον εὐθυμίας
60 πηγή. ἐπέχει δὲ καὶ ὀνείρωξιν καὶ ῥᾶστα τὰ δευτέρια κατάγει καὶ γλαυκὰ μελαίνει ὄμματα. ἔστι δὲ αὐτῷ καὶ κλεὶς βρεφῶν ὀλισθήμασι καί τι ἄλλο νυκτιφαές. ἔρωτας δὲ καὶ ἀνάπτει καὶ σβέννυσι, καὶ τρίχας λευκὰς μελαίνει, λευκαίνει δὲ μελαίνας. καὶ ἄλλ' ἄττα τοιαῦτα ὁ ἀνὴρ οὗτος ἐν τοῖς Κεστοῖς αὐτοῦ τερατολογεῖ καὶ διέξεισι.
65 Παράδοξα δὲ ποιεῖν οἱ μὲν πολλοὶ βούλοιντ' ἂν ἐκ μαγείας καὶ ἀπηγορευμένων τεχνῶν. σὺ δ' ἄν, εἰ βούλοιο καὶ τὸ σέβας φυλάττοις, καὶ ταῦτ' ἂν ποιοίης καὶ γελῴης ὡς ἥδιστα. λινόσπερμα οὖν μετὰ ἀρτοτύρου ἔν τινι θαλαττίῳ μέρει διασκεδάζων ἐν αὐτῷ τὰ παρανηχόμενα συνάξεις ἰχθύδια. εἰ βούλει δὲ καὶ ἀλέκτορα νικῆσαι μαχόμενον,
70 ἀδίαντον τρίψας τῷ συνήθει βρώματι παραμίγνυε. Αἰθίοπα δὲ ποιήσεις

57 *καλλιβλέφαρα ... ἐποπτικά*] cf. Psell. 328, 31

40 *βυρσοδεψικῇ* **V**: *-δευτικῇ* **Qf**[5] ‖ **41** *ναρδοστάχυι* **V**: *νάρδου στάχυι* **Qf**[5] ‖ **49** *σεληναίων* **Qf**[5]: *-ιαίων* **V** ‖ **51** *ἀρκτῴου* **V**: *ἀρκτείου* **Qf**[5] ‖ **52** *ἰσχνοποιὸν* **Q** (per corr. sine dubio): *ἰχνοποιὸν* **Vf**[5] | *δὲ* **V**: *τε* **Qf**[5] ‖ **54** *γοργονείου* **V**: *-ίου* **Qf**[5] ‖ **55** *οὖν* **V**: *γοῦν* **Qf**[5] ‖ **60** *δευτέρια* Westermann: *δευτερεῖα* codd. ‖ **61** *δὲ* **V**: *τε* **Qf**[5] ‖ **63** *λευκὰς* **V**: *λευκὰς μὲν* **Qf**[5]

*ἐν συμποσίῳ φανῆναι σηπίας τὸ μέλαν ἐγχέας τῷ ἐλλυχνίῳ. καὶ
στρόβιλον εἰ ἀνοῖξαι βούλει χερσί, λιθάργυρον ὕδατι λειώσας κατάχριε.
καὶ πεζῇ βαδίζων οὐ πονήσεις ἀρτεμισίαν ταῖς χερσὶ κατέχων
μονόκλωνον. καὶ ᾠὸν ἐργάσαιο πορφυροῦν, εἰ ἐμβάλοις ἐν ἐλαίῳ
θερμῷ κύμινον καὶ ὄξος ἔχοντι. μόλιβδον δὲ καὶ κασσίτερον εὐχερῶς* 75
*μαλάξεις τῇ χειρὶ εἰς οὖρα ἵππου ἐάσας βραχῆναι τὰς ὕλας. εἰ δὲ βού-
λει γνῶναι τὴν κόρην εἰ παρθένος ἐστί, Γαγάτην λίθον κάτω θυμιῶν
περισκέπασον, καὶ εἰ μὴ διὰ στόματος ὁ καπνὸς ἀναπτῇ, παρθενίας
τοῦτο δοκιμασίαν ἀκριβῆ λάμβανε. ἀγρυπνῶν δὲ οὐ νυστάξεις νίτρου
καὶ χαλκάνθης ὀσφραινόμενος. ὕδωρ δὲ εἰς οἶνον μεταβαλεῖς κικίδα* 80
*λειώσας καὶ βαλὼν εἰς αὐτό. σίδηρον δὲ ῥήξεις, εἰ σανδαράχην καὶ
θεῖον ὄξει καταμίξας ἐπιχρίσαις αὐτόν. γυναῖκα δὲ ἐνοπτριζομένην εἰ
βούλει δεῖξαι ὀνόρυγχον, ὄνου δάκρυσι χρίε τὸ ἔσοπτρον. ᾠὸν δὲ διὰ
βραχυτάτης διαβιβάσεις τρυμαλιᾶς ὄξει δριμεῖ καὶ στυπτηρίᾳ ἐμβρέ-
χων ἐφ' ὅλαις ἡμέραις τρισίν. ἄκμων δὲ χαλκέως λυθήσεται ῥᾶστα* 85
*τραγείῳ χριόμενος αἵματι. καὶ ἀλέκτωρ οὐκ ἄν ποτε ἀνακοκκύσειεν
ἐλαίῳ τοὺς μυκτῆρας χριόμενος. γράμματα δὲ εἰς ὕδωρ γράψειας, εἰ
κικίδα λεπτὴν εἰς ὕδωρ διασκεδάσειας καὶ ψιμμύθιον ἅμα ἐλαίῳ
προσμίξειας· ἐξυμενοῦται γὰρ ἐντεῦθεν ἡ τοῦ ὕδατος ἐπιφάνεια καὶ
δέχεται χειρὸς γραφούσης ἐπιβολήν.* 90

*Καὶ ταῦτα μὲν κομματικά τε καὶ ἄμουσα. ἀπὸ δὲ τῶν Τεύκρου τοῦ
Βαβυλωνίου βιβλίων πολλά τις ἂν εὕροι θαυμασιώτατα, ἀπό τε τῶν ἐν
οὐρανῷ ζῳδίων καὶ ἀπὸ τῶν παρανατελλόντων ἑκάστῳ τούτων καὶ
ἀπὸ τῶν λεγομένων δεκανῶν παντοδαπὰς ἀφορμὰς ἐν διαφόροις πρά-
ξεσι πορίζόμενος· εἰσὶ γὰρ ἐν ἑκάστῳ τῶν ζῳδίων τρεῖς κατειλεγμένοι* 95
*δεκανοὶ ποικιλόμορφοι, ὁ μὲν κατέχων πέλεκυν, ὁ δ' εἰς ἄλλο τι ἐσχη-
ματισμένος εἴκασμα· ὧν εἰ τὰ εἴδη καὶ τὰ σχήματα δακτυλίων ἐγγρά-
ψαις σφενδόναις, ἀποτρόπαιά σοι δεινῶν γενήσεται. ταῦτα μὲν οὖν ὁ
Τεῦκρος καὶ οἱ κατ' ἐκεῖνον περιττοὶ τὰ μετέωρα.*

91 *Τεύκρου*] cf. F. Boll, Sphaera 16 sqq., 41 sqq.

72 *βούλει* **V**: *βούλοιο* **Qf**^{5} ‖ 73 *πονήσεις* **V**: *πονέσεις* **Qf**^{5} | *ἀρτεμησίαν* codd.: corr. Westermann ‖ 74 *ἐμβάλοις* **f**^{5}: *-ῃς* **V**: *-εις* **Q** ‖ 75 *κασσίτηρον* codd.: corr. Westermann ‖ 76 *μαλάξεις* **V** (p. c.): *-ειας* **Qf**^{5} ‖ 77 *τὴν* **V**: om. **Qf**^{5} | *κάτω* **V**: *κάτωθεν* **Qf**^{5} ‖ 78 *στόματος* **V**: *τοῦ στόματος αὐτῆς* **Qf**^{5} | *ἀναπτῇ* **Qf**^{5}: *ἀναφθῇ* **V** ‖ 79 *λάμβανε* **V**: *γίνωσκε* **Qf**^{5} | *δὲ* **V**: *τε* **Qf**^{5} ‖ 80 *κικίδα* **V**: *κικίδας* **Qf**^{5} ‖ 81 *βαλὼν* **V**: *ἐμβαλὼν* (fort. recte) **Qf**^{5} ‖ 82 *καταμίξας* **V**: *καταβρέξας* **Qf**^{5} | *ἐπιχρίσαις* **f**^{5}: *ἐπιχρίσεις* **VQ** ‖ 83 *ὀνόρυγχον* **V**: *ὀνόρυχον* **f**^{5}: *ὀξύρυγχον* (per coni.) **Q** ‖ 88 *ὕδωρ* **V**: *τὸ ὕδωρ* **Qf**^{5} ‖ 91 leg. *κωμητικά* vel *κωμαστικά*? ‖ 92 *εὕροι* **Qf**^{5}: *-η* **V** ‖ 97 *εἴκασμα* **VQ**: *εἰκόνισμα* **f**^{5} | *ἐγγράψαις* **V**: *ἐγγλύψεις* **Qf**^{5}

100 Ἐγὼ δὲ οὐ περιεργασίας ἕνεκα, νὴ τὴν ἱεράν σου ψυχήν, ἀλλὰ φιλομαθείας τὰ πλείω τῶν μαθημάτων συνελεξάμην· ἐγένετο γάρ μοι ἡ φύσις ἀκόρεστος πρὸς ὁτιοῦν σπούδασμα καὶ οὐδὲν ἄν με βουλοίμην διαλαθεῖν, ἀλλ' ἀγαπῴην ἂν εἰ καὶ τὰ νέρθεν εἰδείην τῆς γῆς. καὶ οὐχ ὥσπερ οἱ πολλοὶ περὶ τοῦτο μὲν ἐσπούδακα, ἐκεῖνο δὲ ἀπωσάμην,
105 ἀλλὰ καὶ τῶν φαύλων ἢ ἄλλως ἀποτροπαίων ἐπιγνῶναι τὰς μεθόδους ἐσπούδακα, ἵν' ἔχω ἐντεῦθεν ἀντιλέγειν τοῖς χρωμένοις αὐτοῖς.

33

Περὶ ὠμοπλατοσκοπίας καὶ οἰωνοσκοπίας

Ὁ Σωκράτης ἐκεῖνος ὁ Σωφρονίσκου τοῖς Πλατωνικοῖς ἐντυχὼν διαλόγοις 'οὗτός με' φησίν 'ὁ νεανίας' περὶ Πλάτωνος λέγων 'ἄγει ἔνθα καὶ βούλεται'. τοῦτο δὴ κἀγὼ περὶ σοῦ προσηκόντως ἐρῶ· ἄγεις με
5 γὰρ ἔνθα βούλει ταῖς ἐρωτήσεσι, καὶ ὅταν ὑψοῦ ἀναγάγῃς, ἀθρόον καταβιβάζεις εἰς γῆν. τί γὰρ κοινὸν τοῖς φθάσασιν ἐρωτήμασι καὶ οἷς πυνθάνῃ τὰ νῦν; ἐρωτᾷς γὰρ τί ποτέ ἐστι τὸ τῆς ὠμοπλατοσκοπίας χρηστήριον καὶ τίνα τὴν δύναμιν ἔχει, ὡς δὲ καὶ φυσικὰ αἴτια καὶ ἀπόρρητα προλαβεῖν {σε} τῶν ἐσομένων ζητεῖς. τὸ μὲν οὖν δεύτερον
10 παρεξετάσοι ἄν τις ταῖς ὑψηλοτέραις πεύσεσι, τὸ δὲ τῆς ὠμοπλατοσκοπίας βάρβαρον μὲν καὶ ἀλλόκοτον, ἔχει δὲ ὅμως, ὡς τοῖς χρωμένοις δοκεῖ, μελλόντων προαναφώνησιν. οἱ γὰρ ἐντεῦθεν χρηστηριάζοντες πρόβατον ἢ ἄρνα τῆς ἀγέλης ἀπολεξάμενοι πρῶτον μὲν κατὰ νοῦν τιθέασιν ἢ καὶ τῇ γλώσσῃ προφέρουσι, περὶ οὗ ἂν μαθεῖν βούλοιντο·
15 εἶτα καταθύσαντες τὸν ὠμοπλάτην τοῦ παντὸς ἀφαιροῦσι σώματος ὡς μαντεύματος ὄργανον, καὶ τοῦτον ἄνθραξι διοπτήσαντες καὶ ἀπογυμνώσαντες τῶν σαρκῶν ἐντεῦθεν τὰς σημειώσεις τῆς τῶν ἐρωτημάτων ἐκβάσεως ἔχουσιν. ἄλλα γὰρ ἐν ἄλλοις μέρεσι προμαντεύονται. ζωῆς μὲν γὰρ καὶ θανάτου κρίσιν ἐν τῇ ἐξοχῇ τῆς ῥάχεως ἔχουσι· καὶ
20 εἰ μὲν αὕτη ἑκατέρωθέν ἐστι λευκὴ καὶ καθαρά, ζωῆς ἐντεῦθεν λαμ-

33 O 411r–411v **f**[5] 196r–196v (**u**[1]**f**[2]**v**[39]**m**[19]) || 2-4 Anon. Proleg. 3,28–31

100 *περιεργασίας* **V**: *περιεργίας* **Qf**[5]
33 3 *με* **O**: *μὲν* **f**[5] || 4 *προσηκόντως* **f**[5]: *προσήκοντας* **O** | *με* **O**: om. **f**[5] || 6 *τί* – 7 *τὰ νῦν* **O**: om. **f**[5] || 8 *καί*[2] **O**: om. **f**[5] || 9 *σε* seclusi || 10 *παρεξετάσοι* **f**[5]: *-σει* **O** || 16 *διοπτήσαντες* **f**[5]: *διοπτίσαντες* **O** || 18 *ἄλλα* **O**: *ἀλλὰ* **f**[5] | *γὰρ* **O**: *γὰρ καὶ* **f**[5] || 19 *γὰρ* **O**: *ὡς* **f**[5] || 20 *λευκὴ* Hercher (cf. 24): *λεπτὴ* **Of**[5]

βάνουσι σύμβολα, εἰ δὲ συγκεχυμένη, θανάτου τεκμήρια. ἐν δὲ τῷ μεταξὺ μέρει τοῦ ὠμοπλάτου τῶν περὶ τὸν ἀέρα παθῶν τὰς κρίσεις τίθενται. εἰ μὲν γὰρ οἱ μεταξὺ τοῦ ὠμοπλάτου δύο ὑμένες ἐξ ἀμφοτέρων μερῶν τῆς ῥάχεως λευκοὶ καὶ καθαροὶ φαίνοιντο, εἰρηναίαν τῷ ἀέρι κατάστασιν προσημαίνουσιν· εἰ δὲ κατάστικτοι, τὰ 25 *ἐναντία προλέγουσιν. εἰ δὲ περὶ πολέμου τις ἐρωτῴη, εἰ μὲν ἐν τῷ δεξιῷ μέρει τοῦ ὠμοπλάτου ἐρυθρὸν φανείη νεφέλιον ἢ ἐν θατέρῳ μέρει γραμμὴ ἐπιμήκης καὶ μέλαινα, ἄνελε ὅτι μέγας ἔσοιτο πόλεμος· εἰ δὲ ἄμφω τὰ μέρη κατὰ φύσιν ἴδοις λευκά, εἰρήνην μέλλουσαν χρηστηρίαζε. καὶ καθάπαξ ἐν πάσαις ταῖς ἐρωτήσεσι καὶ ζητήσεσι τὰ* 30 *μὲν ἐρυθρότερα καὶ μελάντερα καὶ συγκεχυμένα τῆς χείρονος συστοιχίας εἰσί, τὰ δ' ἐναντία τούτων τῆς κρείττονος.*

Ἄρχομαι δέ σοι καὶ τῶν ἀφ' ἑτέρων περὶ τῶν ἐσομένων σημειώσεων, καὶ πρότερόν γε ἀπὸ τῆς τῶν κοράκων καὶ κορωνῶν διαιρέσεως, ὧν ἡ διαφορὰ ἐν τέτρασι τούτοις, ἐν πτήσει, φωνῇ, καθέδρᾳ καὶ ἐνερ- 35 *γείᾳ. ἀνισταμένοις γοῦν ἐκ κοίτης ἡμῖν ἢ κατακειμένοις ἂν κορώνη φθέγξηται δίς, ἔργων ἀγαθῶν καὶ ἡδέων δηλοῖ μετάληψιν· εἰ δὲ ἅπαξ ἢ τρὶς ἢ πεντάκις, τὰ ἐναντία σοι προσημαίνει· εἰ δὲ χρήσεται φωναῖς ἀναμὶξ ἀρτίαις καὶ περιτταῖς, ἀσπούδαστα καταγγέλλει πράγματα. καὶ ὅλως τὰς μὲν ἀρτίους φωνὰς τῶν κορωνῶν πρὸς καλοῦ τίθει, τὰς δὲ* 40 *περιττὰς πρὸς κακοῦ. παρεξιοῦσι δὲ ἡμῖν τὴν αὔλειον κόραξ ὄπισθεν καὶ κορώνη ἔμπροσθεν βοήσαντες ἀθυμίαν τινὰ καὶ δυσχέρειαν ἐν πράγμασι προσημαίνουσι, περὶ δὲ τὰ λαιὰ κορώνη παραπταμένη καὶ ἐπικράξασα καὶ κόραξ ὁμοίως ἐκ θατέρου μέρους παραφθεγξάμενος θαρρεῖν σοι παρακελεύονται. εὐχομένοις δὲ κορώνη ὄπισθεν κράζουσα* 45 *τυχεῖν τῆς εὐχῆς μαντεύεται, εὐώνυμος δὲ διελθοῦσα φόβον ἐμβάλλει καὶ ταραχὴν τῇ ψυχῇ. καὶ περὶ μὲν τῶν ἀπὸ κοράκων καὶ κορωνῶν σημειώσεων ἀρκεῖ σοι ταῦτα ἀντὶ πολλῶν. οὐ γὰρ τὰ κατὰ μέρος διασαφῆσαί σοι προειλόμεθα, ἀλλ' οἷον ἀφορμὰς παρασχεῖν τῆς ἐντεῦθεν μαντείας. Ἀπολλώνιος δὲ ὁ Λακεδαιμόνιος ἐπὶ πάσης πράξεως πάντα* 50 *τὰ τῶν πτηνῶν περιειργάσατο, προλαβὼν καὶ φωνὴν καὶ πνεῦμα καὶ ἀριθμὸν καὶ κλῆρον καὶ μέτρον καὶ μερισμὸν καὶ περίοδον τελείαν καὶ*

50 hunc non nosco

28 *γραμμὴ* **f**[5]: *-ὴν* **O** ‖ 30 *καὶ ζητήσεσι* **O**: om. **f**[5] ‖ 31 *ἐρυθρότερα* **O**: *ἐρυθότατα* **f**[5] ‖ 36 *γοῦν* **O**: *οὖν* **f**[5] | *ἂν* **O**: *ἐὰν* **f**[5] ‖ 41 *αὔλειον* **O**: *αὔλιον* **f**[5] ‖ 43–44 *παραπταμένη καὶ ἐπικράξασα* **O**: *διιπταμένη καὶ ἀνακράζουσα* **f**[5] ‖ 45 *παρακελεύονται* **O**: *-εται* **f**[5] ‖ 50 *δὲ* **f**[5]: om. **O**

ἡμιτελῆ καὶ ἦχον τροχαλὸν μογερὸν εὔηχον δύσηχον δυσήκοον σύμ-
φωνον ἀντίφωνον, ἐξ ὧν τὰ διάφορα τῶν ἀποτελεσμάτων εἴδη εὑρί-
55 *σκεται. μαντεύσεται δέ σοι τὸ μέλλον καὶ γλαῦξ καὶ δρυοκολάπτης*
καὶ βασιλίσκος καὶ ἐρωδιός. καὶ ταῦτα μὲν ἀπὸ τῶν πτηνῶν.
Ἄνεμον δέ σοι σημαίνουσιν ἠχοῦντες ἐπὶ πλεῖστον αἰγιαλοὶ καὶ
ἀθρόον ἀνοιδαίνουσα θάλασσα καὶ οἷον βομβοῦσαι αἱ κορυφαὶ τῶν
ὀρῶν. νέφη δὲ ἐμφαινόμενα τῷ ἀέρι ὁποῖα πόκοι ἐρίων καὶ ἄνεμον καὶ
60 *ὑετὸν προμαντεύονται. καὶ περὶ τὰς μύξας δὲ τῶν λύχνων ἐὰν συν-*
αθροίζωνται μύκητες, χειμῶνα σημαίνουσιν. εἰ δὲ νεφέλη τις ἀερώδης
περὶ τὰς ὑπωρείας γένηται, αἱ δὲ ἀκρώρειαι καθαραὶ μένωσι, σημεῖον
τοῦτο εὐδίας ἐστίν. ὅταν δὲ κατὰ τὴν ἀγέλην σκιρτῶσιν οἱ μὲν ἄρνες
τοῖς τέτταρσιν ἐναλλόμενοι ποσί, τὰ δὲ πρόβατα τοῖς δυσί, χειμῶνα
65 *σαφῶς προμηνύουσι. καὶ βόες δὲ ὅταν τὰς χηλὰς τῶν ἐμπροσθίων*
ποδῶν περιλιχμῶνται καὶ ἐπὶ τὰ δεξιὰ πλευρὰ κατακλίνωνται κοιμώμε-
νοι καὶ ὅταν εἰς τὴν ἔπαυλιν ἐπανιόντες μυκῶνται ὑπὸ τὴν ἑσπέραν,
χειμῶνα δηλοῦσι. καὶ λύκος δὲ ὠρυόμενος καὶ χοῖρος ἀπλήστως τῷ
βορβόρῳ ἐγκαλινδούμενος καὶ αἶγες τὸν ἀπὸ τῆς πρίνου καρπὸν
70 *ἐσθίουσαι συντονώτερον καὶ μῦες μᾶλλον ἀλλήλοις ἐπισκιρτῶντες, ὡς*
δὲ καὶ κύνες, χειμῶνα προλέγουσι. σφῆκες δὲ μετοπώρου φαινόμενοι
ὑγρὸν ἔσεσθαι τὸν ἀέρα μαντεύονται καὶ χῆνες δὲ μετὰ βοῆς ἐπὶ τὴν
τροφὴν χωροῦσαι καὶ κολοιοὶ τῆς ὥρας ὀψὲ κεκραγότες καὶ εἰς χηρα-
μοὺς καταδυόμενοι καὶ μέλιτται πλησίον τῶν μελιττείων ποιούμεναι
75 *τὴν νομήν, χειμῶνα αὐτίκα ἐσόμενον προμηνύουσι. καὶ ὁ τῆς πρίνου*
δὲ καρπὸς σύμμετρος ὢν χειμῶνα δηλοῖ, ὡς δὲ καὶ ὁ τῆς σχίνου. ἵνα
δέ σοι μὴ πάντα ἀναίτια φθέγγωμαι, φυσικὴν αἰτίαν τῆς ἀπὸ τῶν
δένδρων σημειώσεώς σοι χαρίζομαι. αὐχμηρά εἰσι τὰ τοιαῦτα φυτά,
τὴν σχῖνον καὶ τὴν πρῖνόν φημι, καὶ τὴν κρᾶσιν ξηρά. ὅθεν οὐδὲ φέ-
80 *ρει πολὺν καρπόν, εἰ μὴ κατὰ βάθος ὑγρότητα δέξηται. ὅταν οὖν*
πλείονα καρπὸν τοῦ συνήθους ἀποβλαστήσῃ, οἱ περὶ τὰς φυσικὰς αἰ-
τίας πραγματευόμενοι χειμῶνα ἐντεῦθεν καταμαντεύονται.

57–58 cf. Thphr. Sign. 29 ‖ 59–60 cf. 13 ‖ 65 *βόες*] 41 ‖ 68 *λύκος*] 46 ‖ 73 *κολοιοὶ*] 39

53 *τροχαλὸν* **f**^{5}: *τραχαικὸν* **O** | *δύσηχον δυσήκοον*] alterutrum secludendum ut vid. ‖ 56 *τῶν* **O**: om. **f**^{5} ‖ 57 *αἰγιαλοὶ* **f**^{5}: *-ὸν* **O** ‖ 60 *συναθροίζωνται* **f**^{5}: *-ονται* ut vid. **O** ‖ 62 *μένωσι* **f**^{5}: *μένουσι* **O** ‖ 66 *κατακλίνωνται* **f**^{5}: *-ονται* **O** ‖ 68–69 *τῷ βορβόρῳ ἐγκαλ.* **f**^{5}: trsp. **O** ‖ 69 *καρπὸν* **O**: om. **f**^{5} ‖ 71 *προλέγουσι* **f**^{5}: *-ουσα* **O** | *μετοπώρου* **O**: *-ῳ* **f**^{5} | *φαινόμενοι* **O**: *-αι* **f**^{5} ‖ 72 *τὴν* **O**: om. **f**^{5} ‖ 77 *αἰτίαν* **O**: om. spat. vac. **f**^{5}: *γνῶσιν* **u**^{1} | *ἀπὸ* **f**^{5}: *ὑπὸ* **O** ‖ 78 *χαρίζομαι* **O**: *χαρίσομαι* **f**^{5} | *τὰ τοιαῦτα φυτά* **f**^{5}: *τὰ φυτὰ ταῦτα* **O** ‖ 79 *τὴν*^{1,2} scripsi: *τὸν* **Of**^{5} | *κρᾶσιν* **f**^{5}: *κάρα* **O** ‖ 80 *πολὺν καρπὸν* **O**: trsp. **f**^{5} ‖ 82 *ἐντεῦθεν* **f**^{5}: *ἐνταῦθα* **O**

34

Περὶ λίθων δυνάμεων

Αἰτιολογήσασθαι μέν σοι τὰς ἐν τοῖς λίθοις δυνάμεις οὐκ ἂν τολμήσαιμι, οὐδὲ μιμήσομαι κατὰ τοῦτο τὸ μέρος τῶν δογματικῶν τὴν προπέτειαν, δυνάμενος ἐφ' ἑκάστου πολλὰ εὑρεσιλογεῖν. ἑκάστης δὲ τῶν διεγνωσμένων ἡμῖν λίθων καὶ ἃς μάλιστα ἀγαπῶμεν οἱ ἄνθρωποι 5 *τὰς ἐνούσας δυνάμεις ἀνακαλύψω σοι, ἵν' ἐν καιροῖς αὐτοῖς χρῷο καί τινα ὠφέλειαν καρπίζοιο παρ' αὐτῶν. καὶ ἵνα τὰς ἀγνώστους ἡμῖν λίθους ἐάσω, τὸν ὀνοκάρδιον καὶ τὴν ὀλκάδα καὶ τὸν σπογγίτην, τόν τε λειμωνιάτην καὶ τὸν λιγκούριον, τόν τε τριγλίτην καὶ τὸν τριόφθαλμον καὶ τὸν σακκούδιον καὶ συριγγίτην καὶ τὸν σχιστὸν καὶ ὅσοι* 10 *τοιοῦτοι, ὧν τὰ ὀνόματα μόνον ἴσμεν, οὐ μέντοι γε καὶ αὐτοῖς ἐντυγχάνομεν, ἀπὸ τῶν γνωριμωτέρων ἡμῖν ἀπάρξομαι.*

Αὐτίκα ὁ ἀδάμας· χροιὰν δὲ οὗτος ἔχει ὑελίζουσαν καὶ στιλπνήν, κραταιός τέ ἐστι καὶ δύσθραυστος. ἡμιτριταίους πυρετοὺς σβέννυσιν ἐξαρτώμενος. 15

Ὁ αἱματίτης· ὀνομάζεται δὲ οὕτως ὅτι βρεχόμενος ὕδατι αἱματώδη χροιὰν ἀφίησιν. ὀφθαλμίας ἰᾶται μεθ' ὕδατος ἐγχριόμενος.

Ἡ ἀμέθυσος ὑακινθώδης μέν ἐστι τὴν χροιάν, ἰᾶται δὲ κεφαλαλγίας, καὶ τοὺς πίνοντας οἴνου φυλάττει νήφοντας, ὅθεν αὐτῷ καὶ τοὔνομα. 20

Ὁ ἄνθραξ ἐν Ἰνδοῖς μὲν ἔχει τὴν γένεσιν· ἔστι δὲ ἄνθραξιν ἐμφερής. καὶ ὁ μέν τίς ἐστι θηλυφεγγής, ὁ δὲ βραχύ τι μελάντερος. φοινικίζει δὲ πρὸς ἥλιον καθορώμενος. εὑρίσκεται δὲ ἐν ὄρεσιν ἀντιλάμπων ταῖς ἡλιακαῖς ἀκτῖσι. καὶ ποικιλλόμενον μὲν τοῦτον οἱ λιθογνώμονες ἴσασιν, οὐ μήν γε καὶ τὰς δυνάμεις αὐτοῦ μεμαθήκασιν, 25

34 Q 224^{r}–226^{r} (**v**^{42}**m**^{21}**a**^{11}**t**^{3}**a**^{12}[**b**^{9}**b**^{10}]) **f**^{5} 196^{v}–197^{v} (**u**^{1}**f**^{2}**v**^{39}**m**^{19}) **m**^{20}**e**^{6}**t**^{2}(**u**^{3}) ‖ 3-4 *τῶν δογματικῶν τὴν προπέτειαν*] Sext. Emp. P.H. e.g. I 20; II 21; M. IX 331 ‖ 4 *εὑρεσιλογεῖν*] P.H. I 63

34 1 *Περὶ λίθων δυνάμεων* **Q**: *π. λ. δυνάμεως* **f**^{5}: *τοῦ σοφωτάτου ψελλοῦ καὶ ὑπερτίμου π. λ. δυνάμεων* **ε**: *Νείλου μητροπολίτου ῥόδου διασσωρίνου περὶ λίθων* **m**^{20}**e**^{6}, sim. **t**^{2}**u**^{3} ‖ 3 *δογματιστῶν* **f**^{5} ‖ 4 *ἑκάστου* (ης supra lineam) **f**^{5} | *ἑκάστου* (ης supra lineam) **f**^{5} ‖ 6 *αὐταῖς χρῶ* **f**^{5} ‖ 7 *καρπίζοι ὁ* **f**^{5} ‖ 8 *τὸν*^{1}] *τὴν* **f**^{5} | *ὀλκίδα* **f**^{5} ‖ 9 *λίγκουρον* codd.: correxi ‖ 10 *σοκόνδιον* codd.: correxi | ante *συριγγ.* add. *τὸν* **f**^{5} ‖ 11 *καὶ* **f**^{5} **η v**^{42}: om. **Q** ‖ 12 *ὑμῖν* **f**^{5} ‖ 13 *δὲ* **f**^{5}**v**^{42}**m**^{21}**a**^{11}**t**^{3}: *μὲν* **a**^{12}**b**^{9}: om. **Qη** | *ἔχει οὗτος* **f**^{5} ‖ 14 *κρατερός* **f**^{5} ‖ 22 *θηλυφεγγής*] si lectio vera non est, possis conicere aut *πολυφεγγής* aut (cum Maussac) *τηλεφεγγής*

εἰ μὴ μόνον τὸν ἀνθρακίτην τὸν παρὰ Θεσπρωτοῖς γεννώμενον, ἔλαττον τὸ πυραυγὲς ἔχοντα, κεφαλαλγίας ἰᾶσθαί φασι παρὰ τῷ κάμνοντι θυμιώμενον.

Ὁ ἀχάτης· ἔστι δὲ ποικίλος τὴν χροιὰν καὶ διηγλαϊσμένος· καὶ ὁ 30 *μὲν πάρωχρος, ὁ δὲ φοινικόχρους ἢ σαρδοειδής. ὀφθαλμῶν ῥεύματα καὶ κεφαλαλγίας ἰᾶται, ἐπέχει δὲ καὶ ῥοῦν γυναικῶν καὶ τῷ ὑγρῷ ὕδρωπι ἀντίθετός ἐστι, καὶ τοσοῦτον αὐτῷ τὸ περιὸν τῆς ξηραντικῆς δυνάμεως, ὡς καὶ ὕδωρ ἀναπίνειν δύνασθαι καὶ κενὸν τὸ ἄγγος ποιεῖν.*

35 *Ὁ βήρυλλος· τρεῖς δὲ τούτου τοῦ λίθου μορφαί, καὶ ὁ μὲν αὐτῶν ἐλαιοβαφής ἐστι τὴν χροιάν, ὁ δὲ θαλάττῃ προσεοικώς, ὁ δὲ λαμπρὸς τὰς αὐγὰς καὶ ὁμοφυὴς καὶ λάμπων πόρρωθεν. οὗτος οὖν ὁ λίθος ἐντάσεις ἰᾶται καὶ σπασμοὺς καὶ ὀφθαλμῶν ὀδύνας καὶ ἴκτερον.*

Ὁ γαλακτίτης ἀπορρήτῳ βρύει γάλακτι· ἔνθεν γὰρ αὐτῷ καὶ τοὔ- 40 *νομα. κατασπᾷ δὲ γάλα ταῖς γυναιξί, λήθην δὲ ἐργάζεται τῶν κακῶν καὶ μνήμην τῶν καλῶν, ἀντίθετος δέ ἐστι καὶ θηρίων πληγαῖς περίαπτος γεγονώς.*

Τὸ ἤλεκτρον· ἔστι δὲ τὸ μὲν Ἰνδικόν, τὸ δὲ Λιβυστικόν. οἰκειοῦνται δὲ αὐτῷ καὶ Σκύθαι καὶ Αἰθίοπες· γίνεται δὲ παρὰ τὸν Ἠριδανὸν πο- 45 *ταμόν. ἔνιοι δὲ καὶ δάκρυον αὐτό φασι δένδρου τινός· κοῦφον γάρ ἐστι καὶ θυμιᾶται ὡς ὁ λιβανωτὸς ἢ ἡ μαστίχη. ἰᾶται δὲ δυσουρίαν περιαπτόμενος καὶ πυρετῶν ἀπαλλάττει καὶ στομάχου ῥεῦμα ἵστησι, καὶ ὀφθαλμοῖς δὲ ἐγχριόμενος ὀξυδορκίαν χαρίζεται.*

Ἡ ἴασπις φύσει κρυσταλλοειδής, ὀλίγον ἐπιτεινομένη τὴν χροιάν. 50 *καὶ ἀρίστη μὲν ἡ ὑποπορφύρουσα, δευτέρα δὲ ἡ φλεγματικωτέρα καὶ παράλευκος· ἔστι δέ τις καὶ ἀεροειδής. ἀναστέλλει δὲ ῥεύματα κεφαλῆς καὶ τοὺς ἐφιάλτας ἀπωθεῖται καὶ λοιμικοῖς ἀντιτάττεται πάθεσι καὶ ἐπιληπτικοῖς. ἔστι δέ τις ἴασπις καὶ σμαραγδίζουσα· ἡ δὲ ἐμφερὴς χιόνι καὶ ἄλλη ἐμφερὴς ἀρνοῦ ἐγκεφάλῳ, ἧς οὔπω οὐδεὶς ἐγνώκει τὴν* 55 *δύναμιν.*

Ὁ Ἰδαῖος δάκτυλος ἐν Ἴδῃ τῆς Κρήτης γίνεται· καὶ ἔστι τὸ σχῆμα δακτύλῳ ἀνδρὸς ἐμφερὴς τῷ ἀντίχειρι, τὴν χροιὰν σιδηρόχρους· οὗτος ὁ λίθος δικαιότατος πάντων τῶν λίθων ἐστί· τὰς μὲν γὰρ ἐκ τῶν δικαίων μίξεων γινομένας σπορὰς τελειοῖ, φθείρει δὲ τὰς ἀθεμίτους καὶ 60 *παρανόμους.*

35 *μορφαὶ τοῦ λίθου* trsp. **f**[5] || 39 *ἀπορρήτως* **f**[5] | *αὐτοῦ* **f**[5] || 40 *δὲ*[1]] *τε* **f**[5] || 44 *δὲ*[2]] *δὲ καὶ* **f**[5] || 45 *γάρ*] *δέ* **f**[5] || 46 *ὁ*] *ἡ* **f**[5] | *δὲ* om. **f**[5] || 47 *περιαπτόμενος* (et 48 *ἐγχριόμενος*)] sc. *ὁ λίθος* || 48 *δὲ* om. **f**[5] || 51 *ῥεῦμα* **f**[5] || 54 *ἀρνὸς* **f**[5] || 57 *τὴν δὲ* **f**[5] || 58 *τῶν*[1] om. **f**[5]

Ὁ κρύσταλλος ἔοικε μὲν ὕδατι καθαρῷ, ἐγκαεὶς δὲ ὑπὸ ἡλίου χροιὰν ἀμεθύσου μεταλαμβάνει, ἐπὶ δὲ τὸ βαθύτερον τραπεὶς ἰάσπιδι γίνεται ὅμοιος. οὗτος τρόμους ἀπερύκει καὶ ἐκλύσεις νεύρων ἀνατριβόμενος.

Ὁ λυχνίτης· ἔστι δὲ ὁ μὲν ὀστρακώδης, ὁ δὲ πορφύρεται, ὁ δὲ 65 *διαυγάζει· ἰᾶται δὲ νυκτάλωπας ἀρτηθεὶς ἀπὸ τοῦ τραχήλου, ῥεύματά τε ἐπέχει ὀφθαλμῶν ἐν λινῷ ῥάκει περιτεθεὶς τῷ μετώπῳ.*

Ὁ μάγνης λίθος ἐστὶ μέλας καὶ βαρὺς καὶ ἀνώμαλος· καὶ ὁ μέν τις ἐπισπᾶται τὸν σίδηρον, ὁ δὲ ἀποπτύει· ἀναλυόμενος δὲ γάλακτι ὀξυδορκίαν ποιεῖ καὶ μελαγχολίαν ἰᾶται. 70

Ὁ ὄνυξ εὐμεγέθης ἐστίν, ὥστε τοὺς Ἰνδοὺς καὶ πόδας κλίνης ἐντεῦθεν τορεύειν· διαρθεὶς δὲ πρὸς αὐγὴν παντοίαν ἀναφαίνει ἔνδον χροιάν, ἢ γὰρ ἀνθρακώδη ἢ μέλαιναν ἢ σαρκοειδῆ· ἀναλυθεὶς δὲ ἐπέχει φαντασίας νυκτερινάς, ὀδοῦσί τε ῥευματιζομένοις παρατριβόμενος ὠφελεῖ. 75

Ὁ σάπφειρος ἵστησι ῥεύματα ὀφθαλμῶν μετώπῳ περιαφθείς. ἑλκώσεις ἰᾶται ποθεὶς μετὰ γάλακτος, ξηραντικός τέ ἐστι καὶ στυπτικὸς καὶ πυρετοῖς ὀξέσιν ἀντίθετος.

Σαρδόνυξ· ἡ λίθος αὕτη μέσον ἔχει γραμμὴν λευκήν· ἔστι δὲ καὶ μονόχροος καὶ πολύχροος· καὶ ἡ μὲν μονόχροος ὀφθαλμῶν ἵστησι ῥεύ- 80 *ματα καὶ διεζωσμένη τοὺς τῶν ἐμβρύων ἐπέχει ὀλίσθους, ἡ δὲ ποικίλη ὠφελεῖ μελαγχολικοὺς ἐξαρτωμένη.*

Ὁ σεληνίτης· καλεῖται δὲ οὕτως ὅτι ὀφθαλμὸν οἷόν τινα ἔχων συναυξόμενον τοῦτον καὶ συμμειούμενον ταῖς τῆς σελήνης αὐξήσεσι καὶ μειώσεσι δείκνυται. 85

Ἡ σμάραγδος πρασοειδής ἐστι καὶ ἠρέμα χρυσίζουσα καί τι καὶ τοῦ γλαυκοῦ παρεμφαίνουσα χρώματος. γεννᾷ δὲ ταύτην καὶ Αἰθιοπία καὶ Αἴγυπτος καὶ Περσὶς καί τινα ὄρη τῆς Ἀττικῆς. αὕτη καταπλαττομένη μεθ' ὕδατος ἐλεφαντικοῖς βοηθεῖ, πινομένη δὲ μεθ' ὕδατος αἵματος ἐπέχει ῥοάς. 90

Ὑάκινθος· τοῦτον τίκτει μὲν ἡ Ἰνδῶν, ἔστι δὲ θαλαττόχροος· ἰᾶται δὲ πνευματώσεις καὶ ῥήγματα μελαγχολίαν τε παύει σὺν ὄξει ποθείς.

61 *ἐκκαεὶς* **f**[5] ‖ **63** *ὅμοιος γίνεται* trsp. **f**[5] ‖ **66** *δὲ* om. **f**[5] ‖ **68** *λίθος ἐστὶ μέλας*] *μέλας ἐστὶ* **f**[5] ‖ **69** *ἐπισπᾶται*] *ἀποπτύει* **f**[5] | *ἀποπτύει*] *ἐπισπᾶται* **f**[5] ‖ **71** *ἰνδικοὺς* **f**[5] ‖ **73** *γὰρ* om. **f**[5] ‖ **77** ante *ἰᾶται* add. *τε* **f**[5] ‖ **79** *σαρδώνυξ* codd.: corr. Ideler ‖ **80** *ὀφθαλμῶν*] *ποταμῶν* **f**[5] ‖ **81** *καὶ*] *ἡ δὲ* **f**[5] | *ποικίλος* **f**[5] ‖ **83** post *ἔχων* add. *ἔνδον* **f**[5] | *συναυξανόμενον* **f**[5] ‖ **85** *δείκνυσιν* **f**[5] | post *δείκνυται* lac. suspicatus est (fort. recte) Galigani, quia hic nulla de virtutibus mentio fit ‖ **87** *γλαυκοῦ*] *λευκοῦ* **f**[5] ‖ **89** *δὲ*] *δὲ καὶ* **f**[5] ‖ **91** *μὲν τίκτει* trsp. **f**[5] | *θαλαττόχροιος* **f**[5]

Χρυσόλιθος ἀντίθετον χρῆμα πᾶσι πάθεσιν ὀφθαλμῶν.
Χρυσήλεκτρος· οὗτος φορούμενος περὶ τράχηλον σβέννυσι πυρετούς.
95 *Χρυσόπρασος· οὗτος περὶ τοὺς καρποὺς φορούμενος παρέχει ὀξυ-*
δορκίαν, στομάχους τε ἰᾶται καρδιαλγοῦντας καὶ λύει ἐμπνευματώσεις.
Χαλαζίας· λευκός ἐστιν οὗτος καὶ στερεὸς καὶ κρυστάλλῳ μικρῷ
ἐοικώς. περιαρτώμενος δὲ ἰᾶται σκορπίων πληγάς.
Τοπάζιον λίθος ἐστὶ διαφανής, ὑέλῳ παρεμφερής· φύεται δὲ εἰς τὸν
100 *Ἀραβικὸν λεγόμενον κόλπον ἔν τινι πελαγίᾳ νήσῳ. καὶ ἡμέρας μὲν οὐχ*
ὁρᾶται – κρύπτει γὰρ αὐτοῦ τὸ φέγγος ὁ ἥλιος –, νυκτὸς δὲ διαλάμ-
πει πόρρωθεν. καὶ τραχὺς μὲν εὑρίσκεται καὶ ἀνώμαλος, τεχνικοῖς δὲ
ὀργάνοις λεαίνεται. οὗτος μαινομένους ἀποκαθίστησι τριβεὶς καὶ πο-
θείς. δρᾷ δὲ τὰ αὐτὰ καὶ περίαπτος.
105 *Τούτων δὴ τῶν παρὰ τοῖς λίθοις δυνάμεων αἰτίας πολλοὶ ἐθάρρησαν*
ἀποδοῦναι, τῶν μὲν ἀρχαιοτέρων σοφῶν Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς
καὶ Δημόκριτος, τῶν δὲ οὐ πολὺ πρὸ ἡμῶν ὁ τῆς Ἀφροδισιάδος Ἀλέξ-
ανδρος, ἄνθρωπος περὶ πάντων ἁπλῶς εἰπεῖν καὶ τῶν ἀπορρήτων τῆς
φύσεως προχειρότατος. σοὶ δὲ ἀποχρῶσα ἔστω ἡ ἑκάστου τῶν λίθων
110 *δύναμις καὶ ἐνέργεια· τοὺς δὲ λόγους αὐτῶν καὶ τὰς αἰτίας παρὰ τοῖς*
ἄνω θησαυροῖς ἔασον.

35

Περὶ ἠλέκτρου· τοῦ Ψελλοῦ

Περὶ τὰ Ἰνδικὰ μέρη ποταμὸς ῥεῖ ἔχων σταδίους δύο τὸ εὖρος· λέ-
γεται δὲ Σπάβαρος, Ἑλληνιστὶ δὲ ʽπάντα φέρων ἀγαθάʼ λέγεται. οὗτος,
φησί, λʹ ἡμέρας τοῦ ἐνιαυτοῦ ἤλεκτρον καταφέρει. λέγουσι δὲ ὅτι ὄρος
5 *ἐπίκειται τῷ ποταμῷ, ὅπερ ἔχει δένδρα μεγάλα, ἐξ ὧν σταλάζει δά-*
κρυα εἰς τὸν ποταμὸν καὶ καταπίπτοντα πήγνυται καὶ γίνεται ἤλεκ-
τρος. ὄνομα δὲ τοῖς δένδρεσι ξητακόρα, Ἑλληνιστὶ δὲ ʽγλυκύʼ. φέρειν

99–102 Diod. Sic. III 39; cf. Psell. Theol. I 1, 110–112
35 **b**^{12} 51^{r}–51^{v} **a**^{13} 368^{r} **b**^{11} 15^{r} (**p**^{15} 189^{v}) || **1–13** Phot. Bibl. 72 (Ctesias), 47 b 5–40

94 *περὶ*] *παρὰ τὸν* **f**^{5} || **95** *τοῖς καρποῖς* codd.: corr. Maussac || **97** *γαλαξίας* **f**^{5} || **100** *πλαγία* **f**^{5} || **105** *παρὰ*] *περὶ* **f**^{5} || **107** *ἀφροδιάδος* **f**^{5}
35 **1** *Περὶ ἠλέκτρου· τοῦ ψελλοῦ* **b**^{12} (*τοῦ ψ.* mg.): *τοῦ ψ. περὶ ἠλ.* **a**^{13}: *περὶ ἠλ. μιχαὴλ τοῦ ψ.* **b**^{11}(**p**^{15}) || **3** *Σπάβαρος*] *Ὕπαρχος* Phot. | *οὗτος* **b**^{12}**a**^{13}: *οὗ* **b**^{11} || **5** *δάκρυα* **b**^{12}**a**^{13}: *δάκρυον* **b**^{11} || **6** *καταπίπτοντα* **a**^{13}: *-ον* **b**^{12}: *-ων* **b**^{11} || **7** *ξητακόρα*] *σιπ(τ)αχόρα* Phot.

δὲ τὰ δένδρα φησὶ καὶ καρπὸν βοτρυώδη ὥσπερ ἡ ἄμπελος, εἶναι δὲ τὰς ῥῶγας ὥσπερ κάρυα Ποντικά. ἐν δὲ τῷ ὄρει ἄνθρωποι βιοτεύουσι κυνὸς κεφαλὰς ἔχοντες, τὰ δ' ἄλλα πάντα ἀνθρώπου. καὶ ἐπιβοῶνται 10 *εἰς τοὺς ἄλλους Ἰνδοὺς καὶ συνίασι τὰ λεγόμενα, αὐτοὶ δὲ οὐ φθέγγονται, ἀλλὰ ὠρύονται ὥσπερ κύνες. ἐσθίουσι δὲ τούτων τῶν δένδρων τὸν καρπόν, καὶ τὰ ἄγρια θηρία θηρεύοντες τὰ κρέα αὐτῶν ὠμὰ ἐσθίουσιν. ἔχουσι δὲ καὶ πρόβατα πολλά, ὀδόντας δὲ μείζονας κυνός. στολὰς δὲ φοροῦσι δερματίνους καί εἰσι μέλανες. πίνουσι δὲ γάλα ἀπὸ* 15 *τῶν προβάτων αὐτῶν. οὐρὰν δὲ ἔχουσιν ἅπαντες ὑπὸ τὸ ἰσχίον καὶ ἄνδρες καὶ γυναῖκες ὥσπερ κυνός.*

36

Τοῦ αὐτοῦ Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων συγγραφεῖσα καὶ ἐκτεθεῖσα πρὸς τὸν βεστάρχην κῦριν Ἰωάννην τὸν λιβελλίσιον, ὃς καὶ τὴν περὶ τούτου ἐρώτησιν πρὸς αὐτὸν ἐποιήσατο

Οὐ μετρίαν σοι χάριν ἀποτιννύς, φίλτατέ μοι πάντων ἀνδρῶν λιβελλίσιε, ὧν προὔλαβες ἡμῖν εὐνοῶν καὶ γνησίως διατιθέμενος, τὴν περὶ 5 *τῶν εἰκοσιτεσσάρων λεγομένων στοιχείων ἐπραγματευσάμην σοι διασάφησιν. καὶ οὐκ ἀγνοῶ ὡς ἅπαντες οἱ ἀντιδιδόντες τισὶν ὧν εὖ παρ' ἐκείνων πεπόνθασιν ἐλαττοῦν τῷ λόγῳ σπεύδουσι τὴν ἀντίδοσιν, εἰ καὶ μὴ πρὸς τὰ προλαβόντα διὰ τὸ ὑπερέχον τοῦ λόγου ἀντισυγκρίνοιντο. ἀλλ' ἐκεῖνοι μὲν σοφιζόμενοι τάχα καταχαρίζονται οἷς προσίασι καὶ* 10 *ἀσύμφωνα φωνοῦσι τοῖς πράγμασι, σοφισταὶ τὸ ὅλον τυγχάνοντες καὶ τὴν γλῶτταν πρὸς πάντα λόγον πρόχειρον ἔχοντες. ἐγὼ δὲ φιλόσοφος ὢν οὐκ ἂν ἑκὼν εἶναι αἰσχύναιμι τὴν ἐπιστήμην ψευδόμενος, οὐδὲ τῷ δοκεῖν μετριάζειν ἁλώσομαι ψευδολογίας ἐγκλήματι. ὅθεν καὶ πάλιν τὸν αὐτὸν ἐρῶ λόγον, ὅτι σοι τῶν πρός με χαρίτων ἀπομνημονεύων* 15

13–16 48 a 4–8 ‖ **16–17** 48 a 40–42
36 P 69^{r}–74^{r} **B** 210^{v}–216^{v} (**v**^{38} 102^{r}–?112^{v})

8 *φησὶ καὶ* **b**^{12}: *φασὶ καὶ* **a**^{13}: om. **b**^{11} ‖ **9** *ῥῶγας* Phot.: *ῥόγας* **b**^{11}: *ῥάγας* **b**^{12}**a**^{13} | *κάρυα π.* **a**^{13}, Phot.: *κάρυον ποντικόν* **b**^{12}**b**^{11} ‖ **10** *ἐπιβοῶνται* **a**^{13}, **p**^{15} mg.: *ἐπιβοᾶται* **b**^{12}**b**^{11}, **p**^{15} text. ‖ **14** *ἐσθίουσιν* **a**^{13}: *ἐσθίοντες* **b**^{12}**b**^{11} ‖ **16** *ὑπὸ τὸ ἰσχίον*] *ὑπὲρ τῶν ἰσχίων* Phot.
36 **1** *Τοῦ* – **3** *ἐποιήσατο* **P**: *ἑρμηνεία περὶ τῶν κδ´ στοιχείων* ut vid. **B** ‖ **2** *κῦριν* scripsi: *κῦ( )* **P** ‖ **4** *φίλτατέ* – *λιβελλίσιε* **P**: om. **B** ‖ **6** *ἐπραγματευσάμην* **B**: *διεπρ.* **P** ‖ **7–8** *εὖ παρ' ἐκ.* **P**: *παρ' ἐκ. εὖ* **B** ‖ **9** *τοῦ λόγου* **B**: om. **P** ‖ **10** post *τάχα* add. *δὲ καὶ* **B**

γενναιοτέραν τὴν ἀμοιβὴν ἀποδίδωμι καινόν τινά σοι πόνον διαπραγματευόμενος καὶ ᾧ μηδεὶς ἐπικεχείρηκεν ἕτερος· οὐδεὶς γὰρ οὐδὲ τῶν πάνυ φιλοσοφησάντων, ὅσα γε ἐμὲ εἰδέναι, εἰς τὴν περὶ τούτων καθῆκεν ἑαυτὸν θήραν τῆς ἐγκεκρυμμένης ἀπορρήτων γνώσεως. ἀλλ'
20 *Ἀφρικανὸς μὲν ὁ τῶν ἐν τῇ φύσει δυνάμεων ἀρρήτων ἐξηγητὴς ἀδολεσχίαν τινὰ μαθηματικὴν περὶ τοῦ ἀριθμοῦ τούτων καὶ ταύτην βραχυτάτην καταβαλόμενος, τήν τε ἑξάδα καὶ τὴν τετράδα ἀποσεμνύνας καὶ πρὸς ἄλληλα ταῦτα πολυπλασιάσας μέγα τι ἐφευρηκέναι βρενθύεται καὶ τὴν τῶν πάντων διαφυγὸν εὕρεσιν καὶ κατάληψιν, εἶτα συνθεὶς*
25 *ὅθεν ἕκαστον τούτων αὐτῶν τῶν στοιχείων συντέθειται, ὅτι εἰς τὴν πρώτην μυριάδα τὸ πᾶν ἐφεῦρε συμπεραινόμενον, ἑαυτὸν ἄγαταί τε καὶ τέθηπεν, ὥσπερ εἰ καὶ τῷ δακτύλῳ τὴν γῆν μετεκίνησεν, ἐπαγγελλόμενος δὲ καὶ τὸ ἐντεῦθεν μηνύσειν ἄρρητόν τε καὶ ἀκατονόμαστον, ἥρωα δὲ ἢ θεὸν τὸν μεμαθηκότα ποιῆσαι δυνάμενον, οὔτ' αὐτὸς ὁ*
30 *πρώτως ἐξευρὼν τοιοῦτος ἡμῖν ἀναπέφανται οὔθ' ὅπερ ἐπηγγείλατο ἀπέδωκεν ἐν τοῖς ἐφεξῆς, ἀλλὰ μέχρι τοῦ κόμπου ἐπαύσατο προελθών, καταφυγὴν ἄρρητον τῶν ἀδήλων τὰς στήλας ἐφευρηκώς. Πρόκλος δὲ ὁ μέχρι καὶ τῶν ἀπορρήτων τῇ φύσει ἑαυτὸν καθιεὶς δυνάμεις μέν τινας ἀπὸ τούτων ἐν τοῖς περὶ μαγειῶν λόγοις ἀπηκριβώσατο, ἐν οἷς τὰ μὲν*
35 *ἐλευθέρᾳ τῇ γλώττῃ ἀφίησι, τὰ δὲ πιέζει τοῖς πνεύμασι καὶ τοιαύτην τινὰ περὶ αὐτῶν τερατολογίαν διέξεισιν. ἐγὼ δὲ ἧττον τούτους ἐν τούτοις ἀποδεξάμενος αὐτὸ δι' ὅ τι ποτέ ἐστιν ἕκαστον τῶν στοιχείων καὶ ὅπως τοιαύτης τετύχηκε προφορᾶς ἐπειράθην καταλαβεῖν, οὐ μόνον δὲ ἀλλὰ καὶ διότι τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ καθεξῆς τέτακ-*
40 *ται, ἐξηγητῇ τῇ φύσει χρησάμενος, οὐ μὴν δὲ ἀλλὰ καὶ φιλοσόφοις λόγοις εἰς τὴν κατάληψιν τούτων ἀποχρησάμενος. εἰ δὲ μὴ διὰ παντὸς ἑκάστου τούτων ἡ τῆς ἐτυμολογίας χωρήσειεν εὕρεσις μηδὲ πάντα κατ' ὄνομα ἀκριβώσαιμεν, ἀλλ' ἔστιν ἃ καὶ ῥηματικῶς ἐπεξηγησόμεθα, ἐλλείποντά τε τῇ αὐτοτελείᾳ καὶ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, οὔτε*
45 *καταμέμφεσθαι χρὴ οὔτε ἐς τὸ ἀκριβὲς περιεργάζεσθαι ἕκαστον. ἴσως μὲν γὰρ οἱ μεθ' ἡμᾶς πρώτας εἰληφότες ἀφ' ἡμῶν ἀφορμὰς καὶ τοῦτο*

20 spectat ut vid. ad *Κεστούς* Iulii Africani ‖ 34 *ἐν τοῖς περὶ μαγειῶν λόγοις*] an *Τέχνη ἱερατική*?

16 *τὴν* **P**: om. **B** ‖ 19 *θήραν* **P**: *πεῖραν* **B** ‖ 22 *καταβαλόμενος* **P**: *-λλ-* **B** ‖ 24 *διαφυγὼν* **PB**: correxi ‖ 25 *τούτων αὐτῶν* **P**: *αὖ τούτων* ut vid. **B** ‖ 28 *τε* **B**: *μὲν* **P** ‖ 33 *τῇ φύσει* **P**: *τὴν φύσιν* **B** ‖ 35 *ἐλ. τῇ γλώττῃ* **P**: *ἐλεύθερα τῆς γλώττης* **B** ‖ 36 *ἐν τούτοις* **P**: om. ut vid. **B** ‖ 37 post *αὐτὸ* fort. *τὸ* addendum ‖ 38 *τοιαύτης τετύχηκε* **P**: trsp. **B** ‖ 39 *καθεξῆς* **P**: *ἐφεξῆς* **B** ‖ 42 *μηδὲ* **P**: *μὴ καὶ* **B** ‖ 45 *ἐς* **P**: *εἰς* **B** ‖ 46 *ἀφ' ἡμῶν* **P**: om. **B**

προσβιάσονται τοῖς στοιχείοις καὶ συμποϱίσονται, ἐμοὶ δὲ οὐκ ἐξέσται καταλαβεῖν τε πϱώτως καὶ εἰς τὸ τέλειον ἀγαγεῖν, ὡς μὴ ἔχειν τινὰ πϱοσθεῖναι. ἀγαπητὸν γὰϱ ὅτι καὶ ποσῶς κατειλήφαμεν καὶ πϱῶτοι ταύτην τὴν ὁδὸν ἐκαινοτομήσαμεν. τὸ μὲν οὖν πϱοοίμιον τῆς πϱαγμα- 50 *τείας μέχϱι τούτου. ἀϱκτέον δὲ ἡμῖν ἐντεῦθεν τοῦ λόγου.*

Καὶ τὸ ἄλφα στοιχεῖον ὅ τι ποτέ ἐστι καὶ διὰ τί τῶν ἄλλων πϱοτέτακται ἐπεξέλθωμεν. τέως δὲ πϱὸ τῆς καθ' ἕνα τούτων ἐξηγήσεως καὶ ἐτυμολογίας εἰδέναι χϱεών, ὡς ἥ τε τῶν πάντων αἰτία καὶ ἡ ἐκεῖθεν τῶν καθ' ἕκαστα πϱόοδος καὶ ἡ τούτων πϱὸς τὸ γεννῆσαν ἐπάνοδος, 55 *τό τε ποικίλον ταύτης καὶ νῦν μὲν τὸν κύκλον ἀπαϱτίζον τῆς ἐπιστϱοφῆς καὶ χωϱοῦν ὁμαλῶς, νῦν δὲ ἱστάμενον ἢ πλανώμενον καὶ αὖθις ἐπιστϱέφον πϱὸς ἑαυτὸ καὶ μετὰ ταῦτα ἀφ' ἑτέϱου πϱὸς ἄλλο χωϱοῦν, ἥ τε πϱὸς τὸ αἴτιον συναφὴ διὰ μυϱίας τῆς ἐπανόδου καὶ διαφόϱου, καὶ ἁπαξαπλῶς πᾶσα ἡ τῶν ὄντων πϱόοδός τε καὶ τάξις ἐν* 60 *μέτϱοις ὡϱισμένοις τε καὶ καθήκουσιν, ἥ τε ὑπὲϱ τὸ πᾶν φύσις ἡ ἐν τῷ μετέχεσθαι φυλάττουσα τὸ ἀμέθεκτον, ἐν τούτοις δὴ τοῖς στοιχείοις συμβολικῶς καὶ ἀποϱϱήτως ἐγκέκϱυπται. δεῖ γοῦν κατὰ τὴν τϱιαδικὴν ἐν ἡμῖν θεολογίαν τὰ τϱία πϱῶτα στοιχεῖα ἐφεξῆς κείμενα μὴ ἐγκαταμιγνύειν τοῖς ἄλλοις μηδὲ συναϱιθμεῖν, ὅτι τοιοῦτον καὶ τὸ* 65 *πϱῶτον αἴτιον, τϱιαδικῶς μὲν μεϱιζόμενον, ἀκοινώνητον δὲ πϱὸς τὰ μετὰ ταῦτα διὰ τὴν τῆς φύσεως ἐξαίϱετον ὑπεϱοχὴν καὶ ἀσύγκϱιτον. τὰ μὲν οὖν κοινὰ τῶν τϱιῶν ταῦτα. πεϱὶ δὲ τοῦ πϱώτου τοῦτο δεῖ πϱολαβεῖν, ὅτι ἓν τυγχάνον καὶ ἀπλήθυντον τὸ πάντων αἴτιον οὐ μόνον αὐτὸ τοιοῦτόν ἐστιν, ἀλλὰ καὶ τἄλλα τοιαῦτα ποιεῖν βούλεται· οὐ-* 70 *δὲν γάϱ ἐστιν ὃ μὴ μετέχει τοῦ ἑνός, κἂν πλῆθος ἁπλῶς ἐστι κἂν ἥνωται. ἄλφα οὖν κέκληται συμβολικῶς ὅτι οἷον συναλείφει τὰ πάντα καὶ συνενοῖ καὶ συνάπτει τὰς ἑτεϱότητας εἰς ἑαυτοῦ μετοχήν· πολὺ γὰϱ τὸ τῆς συναλοιφῆς καὶ παϱὰ τοῖς γϱαμματικοῖς ὄνομα, ὁπότε δὴ συναφάς τινας καὶ οἷον συμπιλήσεις καὶ συνιζήσεις τῶν στοιχείων* 75 *ποιῆσαι βούλοιντο. τοιοῦτον οὖν καὶ τὸ πϱῶτον αἴτιον, πλὴν ὅτι οὐκ ἐκθλίβει τινὰ οὐδ' ἀφαιϱεῖται ἐν τῇ συναλοιφῇ, ἀλλὰ αὐτὰ ἅπεϱ εἰσὶ διαφυλάττον τῇ πϱὸς ἑαυτὸ μετοχῇ τὸ ἑνιαῖον χαϱίζεται. καὶ ὥσπεϱ ἡ ἐκεῖθεν πϱόοδος πληθύος καὶ ἑτεϱότητός ἐστιν ἀπεϱγαστική, οὕτως ἡ πϱὸς τοῦτο ἐπάνοδος συμφυΐας τε καὶ ἑνώσεως, μᾶλλον δὲ αὐτό ἐστι* 80

47 *συμποϱίσονται* **P**: *πϱοσποϱίσονται* **B** || 48 *ὡς* **B**: *καὶ ὡς* **P** || 51 *μέχϱι* **P**: *ἄχϱι* **B** || 55 *πϱὸς* **B**: *παϱὰ* **P** || 60 *τε* **P**: om. **B** || 64 *ἐν* **P**: om. **B** || 70 *οὐδὲν* **P**: *οὐδὲ* **B** || 73 *εἰς* **P**: *εἰς τὴν* **B** || 74 *δὴ* **P**: *δὲ* **B** || 76 *οὖν* **B**: om. **P** || 79 *πληθύος* **P**: *πληθύνει* **B** || 80 *αὐτό* ut vid. **B**: *-ή* **P**

τὸ καὶ τοῦ συμφύεσθαι καὶ ἑνοῦσθαι πρωταίτιον. πολλὰ μὲν γὰρ τὰ μέσα δι' ὧν τις καθ' ἓν τούτων ἑνοῦται, ἀλλ' ἀτελὴς ἡ ἐν ἑκάστῳ ἕνωσις, μέχρις ἂν εἰς τὴν πρώτην φθάσωμεν καὶ τελειοτάτην ἀρχήν, ἥτις καὶ πρῶτον ἄλφα τυγχάνει καὶ μέγιστον, συλλαβὸν ἐν ἑαυτῷ
85 πάντα ὅσα γεγέννηκεν ἔν τε τῇ τῆς φύσεως ἐξῃρημένῃ μονάδι τὰ πάντα μοναδικῶς καὶ ἀπληθύντως, οὐχ ὡς ἐκεῖνά ἐστιν, ἀλλ' ὡς αὐτὸ πέφυκεν. ἀλλ' ἐπεὶ καὶ ἄλλα τινὰ παρὰ τοῦτο μοναδικά, οὐ μέντοι γε αὐθυπόστατα οὐδὲ ἐφ' ἑαυτῶν ἑδραζόμενα οὐδ' αὐτὰ παράγοντα ἑαυτὰ ἀλλὰ πάντα τῆς πρώτης ἠρτημένα ἀρχῆς, διὰ τοῦτο τὸ πρῶτον
90 ἄλφα ὁμοῦ καὶ βῆτα καθέστηκε. βέβηκε [...] μονίμως καὶ ἀραρότως ἐν τῇ ἑνιαίᾳ καὶ μονίμῳ ὑπεροχῇ τῆς οἰκείας φύσεως καὶ οὐκ ἀλλοτρίας ἕδρας [....]ὲς πέφυκεν, ὥσπερ ἡ μὲν φυσικὴ τῆς ψυχῆς, ἡ δὲ ψυχικὴ τῆς νοερᾶς, ἡ δὲ νοερὰ τῆς ἑναδικῆς, [ἐ]κείνη δὲ τῆς πρώτης, ἥτις κατὰ τὸ ἄλφα καὶ τὸ βῆτα, εἰπεῖν δὲ καὶ τὸ γάμμα χαρακτηρίζε-
95 ται. ταῦτα [μὲν] γὰρ ἐπεὶ παρ' ἑτέρων ἀπεγεννήθη, πρὸς ἐκεῖνα καὶ ἐπιστρέψει· τοιαύτη γὰρ ἡ τῶν αἰτιατῶν φύσις. τὸ δὲ πρῶτον αἴτιον καὶ τὸ πρῶτον ὂν καὶ ὃ μηδὲν ἄλλο ἐστὶν ἢ τἀγαθὸν οὐ πρὸς ἄλλο τι ἀναφορὰν ἔσχηκεν, ὅτι μηδέ ἐστί τι τούτου πρεσβύτερον. ἄλφα γοῦν ἐστι καὶ βῆτα, ἐκεῖνο μὲν συναλεῖφον πάντα καὶ συνάγον εἰς ἑαυτό,
100 τοῦτο δὲ βαῖνον ἐφ' ἑαυτοῦ καὶ μὴ ἐπιστρέφον πρὸς ἑτέραν ἀρχήν. τὸ δ' αὐτὸ καὶ γάμμα τυγχάνει γόνιμόν τε τυγχάνον καὶ πάντα αὐτῷ τῷ εἶναι ἀπογεννῶν· ἐκ μιᾶς γὰρ ἀρχῆς πάντα γεγέννηται, ὡς τὰ ἱερά φασι λόγια, καὶ οὐχ ἕτερον ἀφ' ἑτέρου, ὡς τὰ Πορφυρίου καὶ Ἰαμβλίχου ληροῦσι περὶ τῶν προόδων συντάγματα. ἀποπεμπέσθωσαν δὲ ἡμῖν
105 καὶ αἱ τοῦ Πρόκλου τερατολογίαι περὶ τῶν ἀπογεννήσεων, καὶ μήτε τὸν πατρικὸν βυθὸν ἀποδεξώμεθα τὰς ἴυγγας ἀπογεννῶντα μήτε ταύτας ἀποτικτούσας τοὺς τελετάρχας μήτε ἐκείνους τοὺς συνοχεῖς. κρυπτέσθωσαν δὲ καὶ οἱ κοσμαγοὶ καὶ ἡ πολυμερὴς Ἑκάτη καὶ ὁ ἅπαξ καὶ δὶς ἐπέκεινα καὶ αἱ πολλαὶ τῶν ὄντων πηγαί. τί γὰρ δεῖ τὸ ἅπαξ παρὰ
110 τῆς πρώτης γεννηθὲν τελειότητος ἀπογεννᾶσθαι αὖθις παρὰ τῶν

102 fort. alludit ad Gen. 1, 1 aut Io. 1, 1–3 || **103** Porph. Sent. 13 || **106–109** cf. Psell. Theol. I 23, 33–44; 23 A, 5–13; 51, 84–90; Phil. min. II 148, 23–149, 14

81 *τὸ καὶ* **P**: fort. om. **B** || **87** *παρὰ τοῦτο μον.* **P**: *μον. παρὰ τοῦτο* **B** || **89** *πάντα* **P**: om. **B** | *τοῦτο* **P**: om. **B** || **90** non legi possunt codd. (2–3 litt.): *δὲ* vel *γὰρ* supplendum || **92** *ἐπιδεὲς* coni. Wk. || **94** *κατὰ* **P**: *καὶ* **B** || **95** *μὲν* supplevi || **96** *ἐπιστρέψει* **P**: *-φει* **B** || **97** *τι* **P**: *τὴν* **B** || **100** *ἐφ'* **P**: *ἀφ'* **B** || **102** *μιᾶς* **P**: *μὲν* **B** || **102–103** *τὰ ἱερά φασι* **P**: *φασι τὰ ἱερὰ* ut vid. **B** || **105** *τοῦ* **P**: *παρὰ τοῦ* **B** | *τερατολογίαι* **B** (cf. 36): *περιττολογίαι* **P** || **106** *ἀποδεξώμεθα* **B**: *παραδ.* **P** || **107** *μήτε – συνοχεῖς* **P**: om. **B** || **108** *κοσμαγοὶ* **P**: *κοσμονοὶ* **B** || **109** *ἐπέκεινα* (sec. Psell. l. c.) scripsi: *ἑκατέρωθεν* **P** et, ut vid., **B**

ἐφεξῆς; οὐδὲν γοῦν ὅτι μὴ τὸ θεῖον πάντα παρήγαγε, καὶ τοῦτο γονιμώτατον τῶν ὄντων ἐστὶ καὶ γάμμα συμβολικῶς διὰ τῶν πρώτως φιλοσοφησάντων προσηγόρευται, ὥσπερ γοῦν αἴτιον τοῦ γάμμα τὸ ἄλφα, ὅτι διὰ τοῦτο συνήλειφεν ἐκεῖνο τὰ πάντα διότι καὶ γεγέννηκε. μεσεμβολεῖ δὲ τὸ βῆτα, ἵνα δὴ ἀντιδιαστέλληται εὐθὺς τὸ πρώτως συνάπτον 115
πρὸς τὰ λοιπά, ὅτι μὴ πρὸς ἄλλο τι τοῦτο ὥσπερ ἐκεῖνα. ὅρα δὲ καὶ τοῦ ἄλφα ἐν συνθέσει τὰ ἑκατέρωθεν στοιχεῖα· ἄλφα γὰρ καὶ αὐτὰ ὅτι πάντοθεν ἴσον ἑαυτῷ καὶ ὅμοιον τὸ πρῶτον αἴτιον καὶ ἐν οὐδενὶ τὴν οἰκείαν φύσιν ἐκβέβηκεν, ἀλλὰ συναλειπτικώτατόν ἐστιν ἐν ἅπασι καὶ ὄντως ἄλφα ἐν τοῖς καθ' ἕκαστα. ἀλλὰ μηδὲ τὰ ἐν μέσῳ στοιχεῖα 120
παρέλθωμεν, τὸ λ̄ καὶ τὸ φ̄ φημί. ἴση τε γὰρ ἡ διάστασις τοῦ λ̄ ἀπὸ τοῦ ἄλφα καὶ ἀπὸ τοῦ λ̄ τοῦ φ̄· ἐν ἕνδεκα γὰρ μέτροις διέστηκεν ἀφ' ἑκατέρων ἀμφότερα, ἃ δὴ πρώτη καὶ δευτέρα μονὰς πέφυκε· τῇ τάξει γὰρ ἡ δεκὰς τῆς ἑνάδος ἀφέστηκεν, ἐπεὶ καὶ αὐτὴ ἑνὰς τυγχάνει τελεία καὶ τῶν ὄντων πάντων δεχὰς καὶ οἷον συναγωγός, ἵνα μηδὲν τοῦ 125
ἄλφα ἄμοιρον ᾖ, ἀλλὰ τὸ ὅλον συνάγον ὅλα καὶ συναλεῖφον. οὕτω γοῦν καὶ τοῦ βῆτα καὶ τοῦ γάμμα δύο τὰ μέσα τῶν ἄκρων, ἐκεῖ μὲν ἦτα καὶ ταῦ, ἐνταῦθα δὲ ἄλφα καὶ μ̄. εἰ δὲ δὶς ἐν τούτῳ τὸ αὐτὸ εἴληπται, συμβολικῶς καὶ τοῦτο παρείληπται, τὸ τοῦ γονίμου παρεμφαῖνον πολύτοκον καὶ τῷ ὄντι γεννητικώτατον. τὰ μὲν δὴ περὶ τῶν 130
τριῶν στοιχείων διῃρημένως ὁμοῦ καὶ ἡνωμένως τῇ τριαδικῇ ἀνακείσθω ἀρχῇ, ἐκείνης τε ὄντα μηνύματα καὶ ἐν ἑαυτοῖς δευτέρως τὰς ἐκείνης πρώτως ἐμφαίνοντα ἰδιότητας. ἵνα γὰρ μὴ παντελῶς ἄγνωστον ᾖ τὸ πρῶτον ἀγαθόν τε καὶ αἴτιον, χαρακτῆράς τινας ἑαυτοῦ ἐν τοῖς μετὰ ταῦτα ἐντέθεικεν, ἵνα, ἐπεὶ μὴ δύναιτό τις ἀτενίσαι ταῖς ἐκείνου 135
αὐγαῖς, ἐντρανίζῃ ταύταις ἐν ταῖς καθ' ὕδατος, ὅ φασιν, ἀνακλάσεσι.

Τὰ δὲ μετὰ ταῦτα ὥσπερ ἀπ' ἄλλης τινὸς τοῦ δέλτα στοιχείου ἤρχθω ἀρχῆς, ὃ δὴ τέταρτόν τε ὁμοῦ λεγέσθω καὶ πρῶτον, τὸ μὲν

135–136 cf. Pl. Resp. 516 a–b

111 γοῦν **P**: οὖν **B** ‖ 113 γοῦν **P**: οὖν **B** | αἴτιον **P**: αἰτία **B** | τοῦ γάμμα τὸ **B**: τὸ γάμμα τοῦ **P** ‖ 114 διὰ τοῦτο **P**: ἅμα **B** | συνείληφεν **PB**: corr. Wk. | καὶ **P**: om. **B** | μεσεμβολεῖ **P**: μὴ ἐμβολὴ **B** ‖ 115 ἵνα δὴ **P**: ἵν' **B** ‖ 121 ἴση **B**: ἴσοι **P** | διάστασις **P**: διὰ **B** ‖ 122 τοῦ[3] **P**: τὸ **B** | ἕνδεκα **B**: δεκάσι **P** | μέτροις **B**: -ον **P** ‖ 123 πρώτη **P**: πρῶτον **B** | δευτέρα **P**: β' **B** ‖ 124 αὐτὴ **P**: αὕτη **B** ‖ 125 μηδὲν **P**: μὴ δὲ διὰ **B** ‖ 126 ἄμοιρον] πρῶτον scr. **P** et super hoc, se corrigens, ἄμοιρον: ἀ....ὴ ut vid. (cett. non leg.) **B** | ante ὅλον fort. excidit e.g. ἄλφα ᾖ ‖ 127 καὶ[1] **P**: om. **B** ‖ 130 sq. τῶν τριῶν στοιχείων **P**: τοῦ γάμμα στοιχείου **B** ‖ 133 ἐκείνης **P**: ἐν ἐκείνῃ **B** | πρώτως **B**: πρώτας **P** | ἄγνωστον **P**: -α ut vid. **B** ‖ 136 ἐντρανίζῃ **P**: -οι **B** ‖ 138 τέταρτόν **B**: τέταρτ(') **P** | πρῶτον corr. (ex -ος?) man. post. **P**

ἀπὸ τοῦ ἄλφα μεταριθμούμενον, τὸ δὲ ὥσπερ ἀπ' οἰκείας ἀρχῆς τῆς
140 τῶν γεννητῶν προαριθμούμενον φύσεως. ὅσα μὲν γάρ τις ἐν τῷ ἄλφα
θεωροίη ἡνωμένα, ταῦτ' ἔχει ἐν ταῖς κατανοήσεσι διὰ τὴν ἀπ' ἐκείνου
συναλιφήν, ὅσα δέ τις μετὰ τὴν πρώτην τριαδικὴν ὁρᾷ ἕνωσιν, ὥσπερ
ἐν τῷ δέλτα διῃρημένως ὁρᾷ· δέλτα γὰρ ἀπὸ τοῦ διῃρῆσθαι τὰ
γεννητὰ καὶ τὸν καθορῶντα ταῦτα διελεῖν δύνασθαι σαφῶς πάνυ ὠνό-
145 μασται. ἐν μὲν γὰρ τῷ πρώτῳ αἰτίῳ αἰσθητά τε ὁμοῦ πάντα καὶ
νοητὰ ἀδιαιρέτως ὑφέστηκε καὶ οὐδεὶς ἄν τις διελεῖν ταῦτα δυνηθείη,
τῆς ἑνιαίας καὶ πρώτης ἐκείνης φύσεως συναλειφούσης αὐτὰ καὶ διαι-
ρέσεως μηδ' ἡντιναοῦν διδούσης ὑπόνοιαν. μετ' ἐκεῖνο δὲ διῃρημένα
τὰ τῶν ὄντων ἑστᾶσι, τῶν οἰκείων ὅρων ἐντὸς ἑστηκότα· αἵ τε γὰρ
150 διάφοροι ὑποστάσεις αἵ τε φύσεις καὶ αἱ τῶν φύσεων ἰδιότητες οἵ τε
λόγοι τούτων καὶ αἱ τῶν καθ' ἕκαστα μορφαὶ καὶ ποιότητες διῃρη-
μένα πάντα καὶ μέχρι τοῦ λόγου τὴν ἕνωσιν ἔχοντα. εἰκότως οὖν μετὰ
τὴν ἐν τριάδι νοητὴν κοινωνίαν τε καὶ συναλοιφὴν τὸ δέλτα
ὑφέστηκεν, ἡ τῶν γεννηθέντων διαίρεσις, ἣν δὴ διεῖλεν ὅ τε γεννήσας
155 νοῦς ἐν τῇ πρώτῃ παραγωγῇ καὶ ὁ θεωρήσας νοῦς φαεσφόροις χρησά-
μενος ἐμβολαῖς, εἰ καὶ ὁ μὲν ἀκριβέστερον ὁ δὲ παχύτερον. μηδεὶς δὲ
ἡμᾶς ὑπονοείτω εἰς τὴν Σαβελλίου δόξαν ἐμπίπτειν, ἥτις δὴ τὴν ἐν τῷ
νῷ οἴεται νόησιν, ζῷον οὖσαν καθ' ἑαυτὴν καὶ ὑπόστασιν, ἀπογεννᾶν
ὅσα δὴ καὶ νενόηκεν· οὐ γὰρ οὕτως ἡμεῖς φαμεν τὸ δέλτα τῶν τριῶν
160 ἐκφῦναι στοιχείων, ἀλλ' ὅτι τὰ ἀρχικὰ τῆς οὐσίας αὐτῷ δὴ τῷ εἶναι
παράγει πρῶτον μὲν τὰ ὁμοίως ὅλα καὶ συνηνωμένα, δεύτερον δὲ τὰ
διῃρημένα καὶ πεπληθυσμένα καὶ πρὸς αὐτὸ διαμετρηθέντα τὸ ἕν.

Τὸ δὲ πέμπτον στοιχεῖον τὸ ε̄ ἁπλοῦν ὂν φωνῆεν καὶ καθαρὸν καὶ
τὴν ἐκ τῆς γλώττης ἀσύμφωνον καὶ ἀσύνθετον ἔχον ἠχὼ ἐτυμολογίας
165 οὐδεμιᾶς ἡμῖν ὑποβάλλει ὑπόνοιαν· τί γὰρ ἐν αὐτῷ συναλείψομεν ἢ
διαστήσομεν, ὥσπερ δὴ ὁ ἐν τῷ Κρατύλῳ Σωκράτης ποιεῖ, ἵν' ἐν-
τεῦθεν τὴν ἐγκεκρυμμένην αὐτῷ δύναμιν εὕρωμεν; πότερον οὖν
μιμητέον, ὅπερ ἐκεῖνος τῷ πυρὶ ἀποταξάμενος φαίνεται ὡς βαρβάρῳ
καὶ ἀνετυμολογήτῳ, ἢ δεῖ τι προσφιλοπονῆσαι τῇ τε ἠχοῖ τούτου καὶ

166-169 an ad Cra. 409 d-410 a alludit?

140 post *γεννητῶν* iter. *ἀρχῆς* **B** ‖ **141** *ἐν* **B**: om. **P** ‖ **144** *τὸν καθορῶντα* **P**: *τοὺς καθορῶντας* **B** | *ταῦτα* **P**: *ταύτας* ut vid. **B** ‖ **146** *διελεῖν ταῦτα* **P**: *αὐτὰ διελεῖν* **B** ‖ **148** *διῃρημένα* **P**: *-μένως* **B** ‖ **149** *αἵ τε* **P**: *οὔτε* **B** ‖ **152** *ἔχοντα* **P**: *κατέχοντα* **B** ‖ **160** *ἀρχικὰ* **P**: *ἀρχηνὰ* ut vid. **B** | *αὐτῷ* **B**: *αὐτὰ* **P** ‖ **161** *ὅλα* **B**: *ὅμοια* **P** ‖ **167** *αὐτῷ* **P**: *ἐν αὐτῷ* **B** ‖ **169** *τι* **P**: om. **B** | *ἠχοῖ* **P**: *ἠχῇ* **B** | *τούτου καὶ* **P**: *καὶ τούτ( )* **B**

τῷ σχήματι; {πότερον οὖν} τοῦτο δὴ τὸ στοιχεῖον φαίνεται ψιλῷ τῷ 170
πνεύματι ἐκφορούμενον καὶ ἐξ ἄκρας τῆς γλώττης ἀλλὰ μὴ κάτωθεν
ἐκ τοῦ στήθους ἀναπεμπόμενον θαυμασμοῦ τι εἶναι σύμβολον καὶ
ἐκπλήξεως· τὰ μὲν γὰρ οὕτως ἀπηχούμενα τῶν διφθόγγων πολὺν ἐπι-
σύρεται τὸν ἀπὸ τοῦ πνεύματος ἦχον καὶ διὰ τοῦτο τοῖς θρήνοις
ἐκεῖνα κατάλληλα, τὰ δὲ ψιλὰ ταυτὶ ψιλῷ καὶ τῷ πνεύματι ἐκφωνού- 175
μενα ἐκπληττόμενόν τινα ἐφ' ὁτῳοῦν ἐμφαίνουσι πράγματι. τούτοις
γοῦν χρωμένη καὶ ἡ Εὐριπιδεία Ἀντιγόνη ἐν τῷ τῶν Φοινισσῶν εἰσ-
ενήνεκται δράματι· 'ἒ ἔ', γάρ φησι, 'ὡς μέγας, ὡς φοβερός'· ἐπειδὴ
γάρ τινα ἐθεάσατο καὶ τῷ σώματι καὶ τῇ στρατιωτικῇ σκευῇ παρὰ
τοὺς ἄλλους ἐξαίρετον, ταῖς τοῦ θαυμασμοῦ ταύταις ἐχρήσατο 180
ἐκφωνήσεσιν. εἰκότως τοίνυν μετὰ τὸ δέλτα τὸ ε̄· ὁμοῦ γάρ τις ἔγνω
τὴν τῶν ὄντων διαίρεσιν καὶ ἐθαύμασεν. ἕως μὲν γὰρ ἦν τῷ δημι-
ουργῷ τὰ ὄντα μεμυκότα καὶ ἀνεκφοίτητα, οὐδένα εἶχε τὸν ἐκπληττό-
μενον. ὁμοῦ δὲ τὴν διαίρεσιν ἔσχε καὶ τὸ θαυμάζεσθαι, ὅπως τὰ μὲν
περιέχει τὰ δὲ περιέχεται, καὶ τὰ μὲν κινεῖται τὰ δὲ μένει πάντῃ 185
ἀκίνητα, καὶ τὰ μὲν κυκλικὴν τὰ δὲ εὐθυπορικὴν ἔσχε πάντῃ τὴν
κίνησιν, καὶ τὰ μὲν σχεδὸν ἐρρίζωται τῷ παντί, ἐκείνῳ δὴ συμπεριφε-
ρόμενα, καθ' ἑαυτὰ δὲ οὐδὲν ἢ βραχύ τι κινούμενα, τὰ δὲ καὶ τῇ
ἀπλανεῖ συμπεριαγόμενα καὶ τὴν ἰδίαν λεληθότως ἀνελίττει κίνησιν.
καὶ τί δεῖ τὰ καθ' ἕκαστον λέγειν, ὅσα ἐν τῷ παντὶ διαιρεθέντα θαυ- 190
μασμοῦ τοῖς ἀνθρώποις πέφυκεν αἴτια; ὡς δὲ καὶ τὸ τοῦ στοιχείου
σχῆμα τὴν θαυμάζουσαν φύσιν ἀπεμιμήσατο· ὥσπερ γάρ τι πρόσωπον
ἐπὶ θάτερα νένευκε καὶ ὑποχαῖνον μικρόν τι καὶ ἐκπληττόμενον τὴν
οἷον γλῶτταν γραμμὴν ἐμφαίνει τῷ σχήματι.

Μεθ' ἃ δὴ τὸ ζῆτα κατὰ λόγον ἠρίθμηται. δεῖ γάρ τινα πρῶτον 195
ἐκπλήττεσθαι, εἶτα ζητεῖν ὅπως τοῦτο ἢ ἐκεῖνο γεγένηται. 'ἄρχονται
γὰρ πάντες ζητεῖν', ὥσπερ Ἀριστοτέλης ἐν τῇ πρώτῃ φιλοσοφίᾳ, 'ἀπὸ

177 Eur. Phoen. 127 ‖ 196–200 Arist. Met. 983 a 13–18

170 seclusi | post *οὖν* add. *μοι* **P** | *τοῦτο – στοιχεῖον* **P**: *τὸ στοιχεῖον τοῦτο* **B** ‖ 171 *πνεύματι* **B**: *φθέγματι* **P** | *ἐκφορούμενον* **P**: *ἐκφερόμενον* **B** ‖ 173 *διφθόγγων*] syll. *δι* s.l. ins. **P**: an *φθόγγων* legendum? ‖ 175 *πνεύματι* **B**: *φθέγματι* **P** | *ἐκφωνούμενα* **P**: *ἐκφερόμενα* **B** ‖ 177 *γοῦν* **B**: *οὖν* **P** | *εὐρ.* **P**: *εὐριπίδειος* **B** ‖ 178 *μέγας*] *γαῦρος* Eur. ‖ 179 *σκευῇ* **P**: *κατασκευῇ* **B** ‖ 182 *τῷ* **B**: *ἐν* (s.l.) *τῷ* **P** ‖ 183 *τὰ ὄντα* post *μεμυκότα* trsp. **B** | *ἀνεκφοίτητα* **B**: *ἀνεκφώνητα* **P** | *εἶχε* **B**: *εἶχον* **P** ‖ 185 *μένει πάντῃ* **B**: *πάντῃ μένει* **P** ‖ 186 *εὐθυπορικὴν* **P**: *-φορ-* **B** ‖ 187 *δὴ* **P**: *μὲν* **B** ‖ 189 *λεληθότα* **v**[38] ‖ 190 *ἕκαστον* **P**: *ἕκαστα* **B** ‖ 191 *τὸ τοῦ στοιχείου* **P** (**B**?): *τοῦτο* **v**[38] ‖ 193 *νένευκε* **P**: *πέφευγε* **v**[38]: … ..*κε* tantum leg. **B** | *τι* **P**: fort. *τε* **B** ‖ 194 *ἐμφαίνει* post *σχήματι* trsp. **B** ‖ 195 *ἃ* **P**: *ὃ* **B**

τοῦ θαυμάζειν ἢ τὰς τοῦ ἡλίου τροπὰς ἢ τὴν τοῦ διαμέτρου ἀσυμμετρίαν· θαυμαστὸν γὰρ εἶναι δοκεῖ πᾶσιν εἴ τι τῷ ἐλαχίστῳ μὴ μετρεῖ-
200 *ται.' καὶ Πλάτων δὲ ἐν τῷ Θεαιτήτῳ ἀρχὴν φιλοσοφίας τὸ θαυμάζειν αἰνίττεται· οὐ γὰρ ἄν τις ζητήσειεν ὃ μὴ τεθαύμακε. διὰ τοῦτο γὰρ κἂν τῷ θέρει πολλὴν ὁρῶντες καταφερομένην τὴν χάλαζαν, τὴν αἰτίαν τῆς γενέσεως ἐζητήσαμεν· θαυμαστὸν γὰρ ὅπως τὸ τῷ πλείονι ψύχει πηγνύμενον ἐν τῇ θερμοτέρᾳ ὥρᾳ συσφίγγεταί τε ὁμοῦ καὶ στρογγύλ-*
205 *λεται. ἀλλὰ καὶ τὴν ἶριν Θαύμα⟨ν⟩τος ἔκγονον ποιητής τις ᾐνίξατο· θαυμάσαντες γὰρ τὸ ἀπηκριβωμένον τοῦ σχήματος καὶ τοῖς μαθηματικοῖς κύκλοις προσόμοιον τάς τε τῶν χρωμάτων διαφοράς, εἶτα ταῦτά τε εὑρηκότες ὅτι ἐμφαντικὰ καὶ οὐχ ἐνυπόστατα καὶ ὅτι ἄγγελος τὸ ἐμφαινόμενον τοῦ ὑετοῦ, ἶριν τὸ σχῆμα κεκλήκαμεν ἀπὸ τῆς ποιητικῆς*
210 *Ἴριδος, ἣν δὴ θεῶν ἄγγελον ὁ μῦθος πεποίηκε.*

Τὸ δὲ ἦτα περιττότερόν μοι ἐκκεῖσθαι δοκεῖ, τοῦ ταῦ παρέργως τὰς ἑκατέρωθεν συλλαβὰς διασχίσαντος. ἡνία γάρ ἐστι τὸ ἀπέριττον, τὴν πρὸς τὰ θαυμαζόμενα ἐμφαῖνον κίνησιν τοῦ θαυμάζοντος. πρὸς ἐκεῖνα γὰρ εἴωθέ τις χωρεῖν, ὧν δὴ τὰς αἰτίας θαυμάζων μαθεῖν ἐπείγεται,
215 *ἐπεὶ καὶ Πλάτων τοῦ Αἰτναίου πυρὸς ἕνεκεν τρὶς τὴν ὀλοὴν ἀνεμέτρησε Χάρυβδιν, καὶ Εὐριπίδης ὁ τραγῳδὸς πολλάκις ἐπὶ τὰς τοῦ Εὐρίπου μεταβολὰς παρεγένετο, Δημόκριτός τε ὁ φιλόσοφος οὐκ ἐπαύσατο ἐπὶ τὸ τοῦ Σαράπιδος βαδίζων τέμενος, ἐν ᾧ δὴ μέσος αὐτὸς ὁ Σάραπις ἀπῃώρητο βαρύ τι σιδήρου χρῆμα, ἄχρις οὗ τοῦ λαξευθέντος*
220 *λίθου εἰς ἱερὸν ἔγνω τὴν δύναμιν. ἀλλ' αὕτη μὲν ἡ κίνησις σωματικῷ τυγχάνει μετρουμένη τῷ διαστήματι, ἡ δὲ δὴ τοῦ νοῦ ἀθρόα τε καὶ εὐεπίβολος, ἥτις εὐθὺς προσβάλλει τοῖς θαυμασίοις, κατανοοῦσα ταῦτα ταῖς ἀποδείξεσιν ἢ ταῖς ἀμέσοις κατανοήσεσιν, ὅθεν ἀγάλλεταί πως ἡ κατανοοῦσα ταῦτα ψυχή.*

225 *Καὶ μετὰ τὸ ἦτα θῆτα τυγχάνει ἀπαρεμποδίστως πρὸς αὐτὰ θέουσα*

200 Pl. Tht. 155 d || **205** *ποιητής τις*] Hes. Th. 265; v. Pl. Tht. 155 d || **210** *ὁ μῦθος*] e.g. Hom. Il. 8,398 || **215** cf. e.g. Olymp. in Alc. 2,94–96; in Gorg. 41,7 || **216–220** fontes non inveni

199 *μετρεῖται* **B**: *-ῆται* **P** || **201** *οὐ* **P**: *οὐδὲ* **B** || **203** post *ψύχει* habet *τὸ* vel *τι* et fort. *ὕδωρ* **B** || **204** *συσφίγγεταί* **P**: *σφίγγεταί* **B** || **205** *θαύματος* **PB**: sec. Plat. correxi | *ἔκγονον* **B**: *ἔγγ-* **P** || **208** *ἐμφαντικὰ* **B**: *ἐμφ. ταῦτα* **P** || **209** *ἐμφαινόμενον* **B**: *φαινόμενον* **P** || **211** *ἐκκεῖσθαι* **B**: *ἐγκ.* **P** || **215** *ἕνεκα* ut vid. **B** | *τρὶς ... ἀνεμέτρησε* **B**: *ἣν ... ἀναμετρήσας* **P** || **217** *τε* **B**: *δὲ* **P** || **218** *ἐπὶ τὸ* **B**: non leg. **P** (om. v^{38}) || **218** sq. *αὐτὸς ὁ σ.* **P**: *ὁ σ. αὐτὸς* **B** || **219** *χρῆμα* **B**: *σχῆμα* **P** | *οὗ*] *οὖν* v^{38} || **220** *αὕτη μὲν ἡ* **B**: *ἡ μὲν* v^{38}, **P** al. m. || **222** *εὐεπίβολος* **P**: *-επή-* **B** || **225** *ἀπαρεμ.* **P**: *εὐπαρεμ.* ut vid. **B**

καὶ οἷον σφύζουσα ταῖς πρὸς ἐκεῖνα κινήσεσιν, ἢ οὕτως ἔχειν ὡς ἔγνω δραμοῦσα ἐλάττονα μὲν τοῦ ἡλίου τὴν γῆν, ὅτι κῶνος ἡ ταύτης σκιά, ὑποβᾶσαν δὲ τὴν σελήνην τὸν ἥλιον, ὅτι κατὰ κάθετον αὐτῷ γεγονυῖα τὴν δοκοῦσαν ἡμῖν ἔκλειψιν τῶν ἡλιακῶν αὐγῶν ἀπεργάζεται. ἐπειδὰν ἕν τι τούτων γνοίη ἡ ψυχή, οἰστρεῖ καὶ μαίνεται καὶ ἀκάθεκτός πώς 230 *ἐστι ταῖς ὁρμαῖς, ὅθεν ὅλῳ ποδὶ πρὸς πάντα χωρεῖ ἀπαρεμποδίστοις θέουσα ταῖς κινήσεσι, καὶ ὁμολογοῦσα τούτοις οὐχ ὡς ἐφαίνοντο, ἀλλ' ὡς ἀπεδείχθησαν· ἓν γάρ τι τῶν τοῦ 'θέσθαι' σημαινομένων καὶ τὸ ὁμολογεῖν.*

Τὸ μὲν οὖν ἦτα κίνησίν τινα τῆς ψυχῆς ἐπὶ τῷ θαυμασμῷ δείκνυ- 235 *σιν, οὐ μέντοι γε ἀπαρέγκλιτον καὶ ἰθυτενῆ, τὸ δὲ ἰῶτα {ταύτην} ἀπό τε τοῦ κατὰ ῥῆμα 'ἵημι' καὶ τῆς ἀκλάστου γραμμῆς ταύτην ἐνδείκνυσι· δεῖ γάρ τινα βαδίσαντα πρός τι ὧν πολλάκις τεθαύμακεν, εὑρόντα τε τὴν αἰτίαν τοῦ οὕτως ἢ ἐκείνως ἔχειν καὶ θέμενον ταῖς ἀποδείξεσιν ἀπαρεγκλίτως πρὸς ἐκεῖνο χωρεῖν. τοιαύτη γὰρ καὶ ἡ τοῦ ἰῶτα* 240 *γραμμή· τῷ γὰρ ἦτα τὸ ἰῶτα παρωνυμοῦν μικρόν τι καὶ κοινωνοῦν κατὰ τὴν κίνησιν, κατὰ τὸν τῆς κινήσεως τρόπον τὴν διαφορὰν ἔχει, ὅτι τὸ μὲν ἔχει καὶ πλαγίαν τινὰ γραμμὴν ὑφ' ἧς πλαγιάζομεν μὴ κινούμενοι κατ' εὐθὺ πρὸς ὃ τεθαυμάκαμεν, ὅτι μὴ τεθεωρήκαμεν, τὸ δὲ μετὰ τὴν θεωρίαν ἐκτεταμένον ἰθυτενῶς οἷόν τις ἀτραπὸς ἀπλανὴς* 245 *καὶ μονοειδὴς πρὸς τὸ θαυμαζόμενον μόνον ἄγει τὸν θαυμάζοντα νοῦν. τὰ μὲν οὖν ἄλλα, ὅσα μετὰ τὴν πρώτην οὐσίαν ἐστίν, οἷον μετ' ἐκείνην ἐκείνης γνωρίσματα καὶ μηνύματα ὁ πολυπράγμων ἐκπληττόμενος νοῦς, εἶτα τῷ λόγῳ πρὸς ταῦτα φερόμενος καὶ τιθέμενος οὕτως ἔχειν, ἰθυτενῆ μετὰ ταῦτα πρὸς ἐκεῖνα ἔχει τὴν κίνησιν, οἷόν τισιν* 250 *ὁδηγοῖς ταῖς ἀποδείξεσι χρώμενος. πρὸς δὲ τὸ πρῶτον ὂν χωρῆσαι θελήσας καὶ μαθεῖν κἀκεῖνο ταῖς πολυπραγμοσύναις ἐπιχειρήσας, ὅ τι ποτέ ἐστι καὶ εἰ ἄπειρον ἢ πεπέρασται καὶ εἰ ἄναρχον ἢ ἦρκται καὶ εἰ κεκίνηται ἢ ἀκίνητον πέφυκε, τὰ μὲν πρῶτα δοκεῖ πως θιγγάνειν αὐτοῦ, οὐ τί ἐστιν ἀλλ' ὅτι ἐστίν, ἀπὸ τῆς τῶν δημιουργημάτων κατα-* 255 *νοῶν τάξεως· ἄλογον γάρ πως δοκεῖ καὶ πάντῃ ἀνόητον, τἆλλα μὲν*

236–237 *ἰῶτα / ἵημι*] cf. Pl. Cra. 427 a

226 *ἢ* **B**: *ἢ εἰ* **P**: fort. hic lac. statuenda ‖ **228** *αὐτῷ* **B**: *αὐτῆς* **P** ‖ **229** *ἐπειδὰν* **P**: *ἐπειδὰν οὖν* **B** ‖ **230** *ἡ* **P**: om. **B** ‖ **232** *ἐφαίνοντο* **B**: *ἐφαίνετο* **P** ‖ **235** *τινα* **P**: om. **B** | post *θαυμ.* add. et punct. del. *τῆς ψυχῆς* **P** ‖ **236** *γε* **P**: om. **B** | *ταύτην* seclusi ‖ **237** *ῥῆμα* **P**: *τὸ ὀρθῶς θαυμάζον* post corr. (al. man. ut vid.) **B** ‖ **238** *τινα βαδίσαντα* **P**: trsp. **B** ‖ **240** *καὶ* **B**: om. **P** ‖ **241** *τῷ* **B**: *τὸ* **P** | *παρ. μικρόν τι* **P**: *μικρόν τι παρ.* **B** ‖ **243** *τινὰ* ante *καὶ* trsp. **P** ‖ **246** *τὸ* **P**: *τὸν* **B**

ὅσα καὶ μετρίως ἥρμοσται νῷ ἐπιτρέπειν τῷ συμβιβάσαντι καὶ ἁρμόσαντι, τὴν δὲ τοῦ παντὸς ἁρμονίαν καὶ συμφωνίαν καὶ τὴν κατὰ μουσικοὺς λόγους τάξιν καὶ κίνησιν τύχῃ διδόναι καὶ τῷ αὐτομάτῳ καὶ
260 *εἰκῇ ὑπολαμβάνειν φέρεσθαι τὸ πάγκαλον τοῦτο καὶ παναρμόνιον δημιούργημα.*

Τέως μὲν οὖν ἀφάς τινας ἑαυτῷ πρὸς τὸ θεῖον ἐνδίδωσι καὶ οἷον δοκεῖ ἰθυτενῶς φέρεσθαι πρὸς αὐτό, ἐπειδὰν δὲ μὴ στῇ τοῦ πρώτου δραξάμενος ἀλλὰ περιεργαζόμενος ἄρξηται, πότερον ἐπέκεινα τῶν
265 *πάντων ἐστὶν ἡ μία τῶν πάντων ἀρχὴ λεγομένη ἤ τι τῶν πάντων οἷον κορυφὴ τῶν ἀπ' αὐτῆς προϊόντων, καὶ πότερον τὰ πάντα σὺν αὐτῇ λέγοιτο ἂν ἢ μετ' αὐτὴν καὶ ὑπ' αὐτῆς, τὸ κάππα στοιχεῖον δηλοῖ, καμπτόμενός πως καὶ ἀναστρέφων ὁ νοῦς εἰς ἑαυτὸν καὶ μυρίας ὑποστροφὰς πάσχων καὶ ἰλίγγας. ὅτι εἰ ἀρχή, πῶς τῶν ἄλλων ἐξῄρηται; πρὸς*
270 *γὰρ ἄλλο τι τὸ ὄνομα τοῦτο λέγεται. τῶν δ' οὕτω λεγομένων οὐ τὸ μὲν πρεσβύτερον τὸ δὲ μεταγενέστερον, ὅθεν συντέτακται τὸ πρῶτον αἴτιον καὶ συνῆρκται ὧν ἀρχηγόν ἐστι. καὶ πῶς ἅμα τε συνῆρκται καὶ τὸ ἐξαίρετον κατ' ἐκείνων εἴληφε; πῶς δέ, εἰ συνῆρκται ἐκείνῳ τὸ πᾶν, οὐχὶ καὶ συναΐδιον; ταῦτα γὰρ πάντα καμπαί τινές εἰσι τῆς*
275 *ψυχῆς, νῦν μὲν προϊούσης, νῦν δὲ ὑποστρεφούσης καὶ ἀνελιττομένης εἰς ἑαυτήν, ὥσπερ οἱ θερμοὶ τῶν ὁδοιπόρων ποιοῦσι. κἀκεῖνοι μὲν γάρ, τὸ τῆς γῆς πέρας ἐπιθυμοῦντες ἰδεῖν, μέχρι πολλοῦ προΐασι τῷ καινῷ τῆς θήρας ἐπιρρωννύοντες αὑτούς, ἐπειδὰν δὲ πρὸς τῷ ἀοικήτῳ γένωνται, νῦν μὲν φάραγξι νῦν δὲ θηρίων ἀλλοκότων ἐντυγχάνοντες*
280 *σώμασι, νῦν δὲ ἄλλο τι τῶν ἀήθων θεώμενοι καὶ καινῶν, ταῦτά τε δειλιάσαντες καὶ τὸ λεῖπον τῆς ὁδοῦ ἀπογνόντες ὡς ἄπειρον, ἀμβλύτεροί τε τὴν προθυμίαν ἐγένοντο καὶ τὸν ἔρωτα μαλακώτεροι καὶ ἀτονήσαντες ὑποστρέφουσιν. ἢν δέ τις καὶ τὸ στοιχεῖον αὐτὸ γεγραμμένον κατανοήσειε, τό τε τῆς πρεσβυτέρας χειρὸς καὶ τὸ τῆς νεωτέ-*
285 *ρας, οὐκ ἄκομψόν τινα χαρακτῆρα τῆς τοιαύτης πολυπλανοῦς ἐφέσεως λήψεται· ἐν οὐδεμιᾷ γὰρ ἀνεπηρέαστος ἡ γραμμή, ἀλλ' ἐπὶ μὲν τῆς*

264-267 Dam. De princ. I p. 1, 4–7 || **271-272** cf. p. 1, 16–2, 1

257 *νῷ*] *τῷ* s. l. add. **B** vel al. m. || **258** sq. *μουσικοὺς λόγ(ους)* **B**: *μουσικὸν λόγον* **P** || **260** *ὑπολαμβάνειν φέρεσθαι* **P**: *φέρεσθαι καταλαμβάνειν* **B** || **262** *ἑαυτῷ πρὸς* **P**: *πρὸς ἑαυτῷ πρὸς* **B** || **264** *περιεργαζόμενος* **P**: *-ον* **B** || **267** *ὑπ' αὐτῆς* **P**: *ὑπ' αὐτὴν* **B**: *ἀπ' αὐτῆς* Dam. || **268** *πως* **P**: *πως γὰρ* **B** | *ὁ νοῦς* s. l. additum habet **B**: om. **P** | *εἰς* **P**: *πρὸς* **B** || **275** *ἀνελιττομένης* **P**: *ἀνελιττούσης* **B** || **276** *εἰς* **P**: *πρὸς* **B** || **280** sq. *τε δειλιάσαντες* **B**: *προσδειλιάσαντες* **P** || **282** *τὴν προθυμίαν* scripsi: *τῆς προθυμίας* **P**: *ταῖς προθυμίαις* **B** || **284** *κατανοήσειε* **P**: *κατανοήσεται* **B**

πρώτης ἀπὸ τοῦ πέρατος ἐπικέκαμπται οὐχ ἅπαξ ἀλλὰ δίς, ἐπὶ δὲ τῆς δευτέρας μεσόθι διῄρηται· ἡ δὲ σχίζα τῶν διαιρεθέντων ἀπὸ τῆς αὐτῆς ἀρξαμένη ὁρμῆς ἐπὶ μεγίστην χωρεῖ τὴν ἀπόστασιν. ὥσπερ γὰρ ἐν ὀφθαλμῶν καὶ ὀφρύων καὶ ῥινὸς σχήματι χαρακτῆρές τινες ἐγκάθηνται τοῦ τῆς ψυχῆς ἰδιώματος – 'ὀφθαλμοί' γάρ φησιν ὁ Πολέμων 'ὑγροὶ λάμποντες ὡς λιβάδες ἤθη χρηστὰ ἐμφαίνουσιν' –, οὕτω δὴ καὶ ἐπὶ τουτωνὶ τῶν γραμμάτων ἀπόρρητά τινα μηνύματα κέκρυπται τῶν τε καθ' ἡμᾶς καὶ τῶν ὑπὲρ ἡμᾶς, ἃ δὴ ὁ μὲν ἀφιλόσοφος ὀφθαλμὸς ἁπλῆν τινα συνθήκην τῆς χειρὸς οἴεται, ᾧτινι δὲ ἡ ὄψις μετὰ νοερᾶς ἕξεως πρόεισι, τούτῳ ἀπὸ τῶν φανερῶν μεγεθῶν τε καὶ σχημάτων τὰ ἀφανῆ δῆλα καθέστηκε. καὶ ὥσπερ ἑνὸς ἀτόπου δοθέντος πολλὰ τὰ ἄτοπα ἕψεται, οὕτως ἑνὸς φιλοσόφως σημειωθέντος πολλὰ τὰ κάλλιστα ἐπακολουθήσει.

Αὐτίκα πρὸς τὸ κάππα τὸ λάμβδα οἵαν ἔχει τὴν συναφήν· καμπτόμενος γὰρ ὁ νοῦς τοῖς περὶ τὸ θεῖον ζητήμασι, καὶ νῦν μὲν προϊὼν νῦν δὲ ὑποστρέφων καὶ πολυκλινὴς γινόμενος, ταῖς ἐφ' ἑκάτερα τῶν μερισθέντων ῥοπαῖς οὐ μέχρι παντὸς τὴν πλάνην ὑφίσταται, τοῦ θεοῦ τοῦτον οἰκτείραντος καὶ ἐπικουρῆσαι θελήσαντος. ὥσπερ οὖν ὁ τὸν ἀπολωλότα ἐν ἀμφιλαφεῖ καὶ συσκίῳ ὄρει διερευνώμενος οὐκ εὐθεῖαν πρόεισι, τῇδε κἀκεῖσε τοῖς δένδρεσι καμπτόμενος καὶ μεταφερόμενος καὶ πολλάκις ὑφαιρῶν ἀλλ' οὐ προστιθείς, φωνήσαντος δὲ τοῦ ζητουμένου χειραγωγεῖται πρὸς ἐκεῖνον διὰ τῆς ἐν τῷ φθέγματι ἠχοῦς, οὕτω δὴ καὶ ὁ τὸ θεῖον ὅ τί ποτέ ἐστι πολυπραγμονῶν ὥσπερ ἐν τῷ Μινωταύρου λαβυρίνθῳ προϊὼν ὑποστρέφει καὶ προστιθεὶς ἀφαιρεῖται, λαμβάνων δ' ἐκεῖθεν θείαν αὐδὴν ὅτι 'ἐγώ εἰμι ὁ ὢν' καὶ 'ἐγὼ τὸ πρῶτον στοιχεῖον καὶ ἔσχατον', εἶτα καὶ ταῦτα προσυπισχνούμενος, ὅτι πρώτως ὂν αὐτὸ μὲν διὰ τὴν ὑπερούσιον ἕνωσιν ἄρρητόν ἐστι καὶ ἄγνωστον πᾶσι τοῖς δευτέροις, ἀπὸ δὲ τῶν μετεχόντων ληπτόν ἐστι καὶ γνωστόν, ἀφεὶς ἢ δι' αἰτιωτέρων ἃ μή ἐστιν ἢ αὐτὸ δι' ἑαυτοῦ καταλαμβάνειν ἀπὸ τῶν δευτέρων τὴν θήραν ἴσχει, τῇ κτίσει χειραγωγῷ

290 295 300 305 310 315

291 sq. Script. physiogn. I 305, 7–18; II 315, 21–22 || **297–298** Arist. Phys. 185 a 11–12 (= 186 a 9–10) || **311–312** Exod. 3, 14; Apoc. 1, 8

287 *ἐπικέκαμπται* **B**: *κέκαμπται* **P** || **288** *μεσόθι* **B**: *-όθ( )* **P** || **289** *ὁρμῆς* **P**: *στιγμῆς* **B** || **290** *ὀφρύων καὶ ῥινὸς* **P**: *ῥινὸς καὶ ὀφρύων* **B** || **291** *πολέμων* **B**: *πτολέμων* **P** || **296** *ἕξεως* **B**: *ὄψεως* **P** || **297** *καθέστηκε* **P**: *καθίστανται* **B** || **298** *φιλοσόφως* **P**: *φιλοσάφως* **B** || **299** *ἐπακολ.* **P**: *ἕψεται* **B** || **300** *τὴν συναφήν* **B**: *συναλιφήν* **P** || **303** *πλάνην* **B**: *βλάβην* **P** || **304** *οὖν* **P**: *γοῦν* **B** || **305** *ἀμφιλαφεῖ* **P**: *ἀμφιλαφίῳ* ut vid. **B** || **307** fort. *ἀφαιρῶν* legendum, cf. 310 || **310** *μινοταύρω λαβυρινθ* **P**: correxi: **B** non leg. || **315** *ἢ*[1] **P**: om. **B**

πρὸς ἐκεῖνο χρησάμενος. εἰ γὰρ καὶ ἄγνωστον ὅπερ ἐστὶ τὸ θεῖον, ἀλλ' ὅπερ ἔχει γνωστὸν φανερόν ἐστιν ἐν ἡμῖν· τὰ γὰρ τέως αὐτοῦ ἄδηλα καὶ ἀόρατα, τἆλλά τε καὶ ἡ ἀίδιος αὐτοῦ δύναμις καὶ θεότης, καθ-
320 *ορᾶται νοούμενα τοῖς ποιήμασιν. ἐπὶ μὲν γὰρ τῶν λοιπῶν λογικῶν ἀποδείξεων ἀπὸ τῶν πρεσβυτέρων τῶν δευτέρων αἱ καταλήψεις, δηλοῖ δὲ καὶ τὰ γραμμικὰ θεωρήματα τὰ δεύτερα τῶν πρώτων ἐχόμενα. οὐκ ἂν γάρ τις εἰδείη, ὅτι παντὸς τριγώνου αἱ γωνίαι δυοῖν ὀρθαῖν ἴσαι, εἰ μή τινα ἔχει πρεσβύτερα ἀφ' ὧν εἰς τοῦτο ἐλεύσεται, τήν τε ἐκτὸς γωνίαν*
325 *καὶ τὴν ἐντὸς καὶ τὴν ἐφεστηκυῖαν γραμμὴν ἐφ' ἑτέρᾳ γραμμῇ, οὐδ' ἂν ἄλλως θεωρήσειεν, ὅτι ἡ σελήνη κατώτερον φαίνεται τοῦ ἡλίου καὶ διχότομος οὖσα ἔλαττον {τε} τεταρτημορίου ἀπέχει ἀπὸ τοῦ ἡλίου, εἰ μὴ τοῖς προειλημμένοις εἰς τὴν ἀπόδειξιν ἀποχρήσεται. ἐν δὲ ταῖς περὶ τὸ θεῖον ἀποδείξεσιν, ἐπεὶ μηδὲν ἐκείνου πρεσβύτερον ἔχομεν, ἀπὸ*
330 *τῶν αἰτιατῶν τὸ πρῶτον συμπεραινόμεθα αἴτιον, ὥσπερ ἀπὸ τῶν φωτισμῶν τῆς σελήνης αὐτὸ δὴ τὸ τοῦ ἄστρου σχῆμα. οὕτω τις πρὸς τὸ θεῖον χωρεῖ θείαν ἐκεῖθεν λαμβάνων αὐδὴν καὶ ταύτῃ χειραγωγῷ πρὸς τὸ φωνῆσαν χρώμενος· τὸ γοῦν ἐντεῦθεν ἀφέμενος τῶν ζητήσεων καὶ οἷον μύσας ἕπεται τῷ καλέσαντι.*

335 *Τοῦτό γέ μοι μηνύει τὸ μῦ, τὴν ἀπερίεργον τοῦ νοῦ μύσιν καὶ πρὸς τὸ θεῖον ἄμεσον κίνησιν. μύσας γοῦν πρὸς πᾶσαν περίεργον ζήτησιν καὶ ἀπόδοσιν, δι' ἐκείνου πρὸς ἐκεῖνο χωρεῖ μὴ κάτω νεύων – 'κρημνὸς' γὰρ 'κατὰ γῆς ὑπόκειται ἑπταπόρου σύρων κατὰ βαθμίδος', ὅ φασι τὰ τῶν Ἀσσυρίων λόγια – μηδὲ τῇδε ἢ τῇδε διαστρεφόμενος,*
340 *ἀλλ' ἀκλινεῖ νεύματι πρὸς ἐκεῖνο φερόμενος. τὸ γὰρ πάσης ἐπέκεινα γνώσεως, ὡς καὶ τῷ σοφῷ Πρόκλῳ δοκεῖ, ἀνεπινοήτως ἐστὶ συνάπτεσθαι δι' ἐντυχιῶν· ὡς γὰρ ἀνεπινόητός ἐστιν ὁ τρόπος τῶν θείων ἐνεργειῶν, οὕτω καὶ τῶν θείων ἐντυχιῶν. καὶ δεῖ μὴ πολυπραγμονεῖν ἐπὶ τούτων, ἕπεσθαι δὲ μόνον· θρασύνεται γὰρ τὸ δραστήριον ἐκ τῆς παρ-*
345 *ακολουθήσεως. τὸ δὲ μύειν ἐπὶ τοσοῦτον ὥστε μὴ δοκεῖν 'μικρῷ ἑνὶ*

318–320 Rom. 1,20 || **338–339** Or. Chald. 164; cf. supra 3,148; Phil. min. II 132,15 sqq. || **341** *Πρόκλῳ*] Comm. in Or. Chald.? || **345–346** inter fr. Or. Chald. (ed. des Places) non invenitur

317 *ἐκεῖνα* **PB**: corr. Wk. | *καὶ* **B**: om. **P** || **318** *αὐτοῦ* **P**: *-ῷ* **B** || **320** *ποιήμασιν* **B**: *κτίσμασιν* **P** || **323** *δυοῖν* **P**: *δυεῖν* **B** || **326** *καὶ* – **327** *ἡλίου* **P**: om. **B** || **327** *τε* del. Wk. || **328** *προειλημμένοις* **P**: *προειρημένοις* **B** || **329** *ἐκείνου* post *ἔχομεν* trsp. **B** || **335** *γέ* **P**: *γάρ* **B** || **337** *ἀπόδοσιν* **P**: *ἀπόδειξιν* **B** || **338** *ἑπταπόρου* (fort. π^2 e *σπ* correctum) **B**: *ἑπαπόρου* **P** | *βαθμίδος* **P** (qui *καταβαθμίδος* scr.): *-δα* ut vid. **B** || **340** *τὸ* **B**: *τῷ* **P** || **344** *θρασύνεται* **P**: *θραύεται* vel *θραύειται* **B**

σώματι ναίειν' κατὰ τὰ λόγια· ὁ γὰρ δοκῶν οἰκεῖν ἐν αὐτῷ ὑπ' αὐτοῦ κατέχεται, τῆς τοιαύτης εὐθηνίας ἀναπιμπλάμενος. δεῖ οὖν ἀτεχνῶς μύειν, ᾧ δὴ τὸ νυστάζειν ἕπεται, καὶ πρὸς μὲν τὰς λογικὰς ταύτας μεθοδείας καὶ ἐντρεχείας μύοντι καὶ νυστάζοντι ἐοικέναι, πρὸς δὲ τὰς θείας καὶ ἀπλανεῖς ἀποδείξεις καὶ λίαν ἐγρηγορέναι· οὐδεὶς γὰρ ἂν 350 *ἄλλως ἐν μετοχῇ τοῦ πρώτου φωτὸς γένοιτο, ἕως μύσας τὰ αἰσθητήρια καὶ οἷον ἀπονυστάξας πρὸς πᾶσαν ἀπόδοσιν οὕτω δὴ καθαρῷ τῷ νῷ ταῖς ἀρρήτοις αἴγλαις ἐνατενίσειεν· 'ὁ γὰρ νοῦς', ὡς καὶ τῷ σοφῷ Πορφυρίῳ δοκεῖ, 'οὐκ ἐν σώματι, ἐν ἑαυτῷ δὲ κέκτηται τὸ ἐνεργεῖν τε καὶ τὸ εἶναι.' τοιοῦτον δὲ καὶ ὃ νοεῖ, μᾶλλον δὲ παρὰ πολὺ κάλλιον.* 355 *ὅθεν καὶ ὅταν λάβῃς ἀένναον οὐσίαν ἐν ἑαυτῇ κατὰ δύναμιν ἄπειρον καὶ νοεῖν ἄρξῃ ὑπόστασιν ἀκάματον, ἄτρυτον, οὐδαμῇ μὲν ἐλλείπουσαν, ὑπερζέουσαν δὲ τῇ ζωῇ τῇ ἀκραιφνεστάτῃ καὶ πλήρη ἀφ' ἑαυτῆς, ταύτῃ μήτε τὸ ποῦ ἐπιβάλῃς μήτε τὸ πρός τι· ἐκείνην μὲν γὰρ ἴσως ἐντεῦθεν οὐδὲν ἠλάττωσας, ἑαυτὸν δὲ ἀπέστρεψας, κάλυμμα λαβὼν* 360 *τὴν ὑποδραμοῦσαν τῆς ὑπονοίας φαντασίαν.*

Ἐπειδὰν οὖν καὶ μύσῃς καὶ ἀπονυστάξῃς πρὸς πᾶσαν λογικὴν μέθοδον, αὐτῷ δὲ χρήσῃ τῷ ὄντι πρὸς τὴν ἐκείνου γνῶσιν καὶ κατάληψιν σύμμετρον, τηνικαῦτα παραγενήσεταί σοι τὸ ξῖ, οἷον τὸ μετρίως τι ξέειν τῆς ἐκεῖθεν οὐσίας ἢ φύσεως καὶ μερικάς τινας δυνάμεις καταλαμ- 365 *βάνειν καὶ τὸ ὅλον βραχείας τινὰς καταλήψεις ἐκεῖθεν ἀποξέειν καὶ ταύτας ἔχειν εἰς πληρεστάτην τοῦ ζητουμένου αὐτάρκειαν. οὐ γὰρ ἐπειδὴ προσήγγισας τὸ πᾶν ἤδη κατείληφας, ἀλλὰ τὸ μὲν ὅλον οὐδὲν ἔγνως· ἵνα δέ σοι μὴ τὸ ἄγνωστον ἀνεπινόητον δόξῃ καὶ ἀνεπιχείρητον, ξύσματά σοί τινα τοῦ ἀπείρου μεγέθους δίδωσι· καὶ αὐτὸ γὰρ* 370 *τὸ μαθεῖν ὅτι ἀκατάληπτον κατάληψίς τίς ἐστι. πρῶτον μὲν οὖν τοῦτο ἀπέξεσας, εἶτα καὶ τἄλλα, ὅτι ἐκθεοῖ τοὺς προσεγγίζοντας, ὅτι ἄπειρον ἔχει τὴν δύναμιν, ὅτι οὔτε τόπῳ περιγράφεται οὔτε νοήματι, ὅτι ἓν τῇ φύσει ἐστὶ καὶ τρία ταῖς ὑποστάσεσιν, ὅτι τὸ μὲν πατήρ τε καὶ προβολεύς, τῶν δὲ τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα, ὅτι σύνθρονα καὶ* 375 *ὁμόδοξα. ταῦτα δή σοι ἐκεῖθεν ἔξεσται. ὃ δὲ τὴν φύσιν ἐστὶ καὶ οἵαν*

353–355 Porph. Sent. 41 (p. 53, 4–5) ‖ 356–361 40 (p. 47, 9–48, 7)

347 *τοιαύτης εὐθηνίας* **P**: *τούτου ἀσθενείας* **B** ‖ 352 *ἀπόδοσιν* **P**: *ἀπόδειξιν* **B** | *οὕτω* **B**: *αὐτῷ* **P** ‖ 355 *τὸ* **P**: om. **B** | *ὃ* **B**: *ᾧ* **P** ‖ 356 *καὶ* **P**: om. **B** ‖ 358 *ὑπερζέουσαν*] cf. Plot. VI 5, 12, 9: *ὑπερεξαίρουσαν* Porph. | *πλήρη* **B**: *-ει* **P** ‖ 359 *ἐπιβάλῃς* **B**: *-λλ-* **P** ‖ 360 *δὲ* **P**: om. **B** ‖ 364 *ξῖ* **B**: *ξῦ* **P** ‖ 369 *μὴ* **P**: *μὴ διὰ* **B** ‖ 371 *τὸ* **P**: *τοῦτο τὸ* **B** ‖ 373 sq. *τῇ φύσει* **B**: *τὴν φύσιν* **P** ‖ 376 *ὃ*] an *ὅ τι* vel *οἷον* legendum?

ἔχει τὴν τελειότητα καὶ πῶς ἥνωταί τε ἅμα καὶ διῄρηται, οὐδὲ ταῖς ἐγγιζούσαις δυνάμεσιν ἔγνωσται.

Ἐντεῦθεν οὖν σοι καὶ ἡ τοῦ ō φύσις γνωρίζεται. καὶ τοῦτο γὰρ τὸ
380 *στοιχεῖον ἀσύνθετον μὲν ἔχει καὶ τὴν γραφὴν καὶ τὴν ἠχήν, περιδεδινημένον δέ πώς ἐστι καὶ εἰς ἑαυτὸ ἀποκαθιστάμενον καὶ νοῦ φύσιν παραδηλοῦν καὶ χαρακτῆρα τῆς ἀπλανοῦς φύσεως· περιφερὲς γὰρ καὶ στρογγύλον καὶ οἷόν τις κύκλος ἐστὶ μαθηματικός, κἂν τις ἐκφωνῆσαι τοῦτο θελήσῃ, στρογγυλίζεται ἐν ἑαυτῷ τὸ στόμα καὶ τὰ χείλη περι-*
385 *στέλλεται τήν τε πληγὴν τὸ πνεῦμα παρὰ τὸ ἀκρόστομον ποιεῖται. τοιοῦτος δὲ γίνεται ὁ προσεγγίσας νοῦς τῷ θεῷ καί, ὅτι ἀποξέσας τοῦ ἐκεῖθεν κάλλους καὶ τοῦ ἀπορρήτου μεγέθους αὐτὸς περὶ ἑαυτὸν στρέφεται, ἀκριβὴς γεγονὼς νοῦς καὶ οὐχ οἷος ὁ ἐν τῇ ψυχῇ ἐστιν. ἐντεῦθεν καὶ ἀεικίνητος γίνεται κατὰ τὴν ἐξωτάτην περιφοράν, σφίγγει τε*
390 *καὶ συνέχει τὰ ψυχικὰ πάντα νοήματα καὶ τῇ ἀπαύστῳ κινήσει διακρίνει τε καὶ λεπτύνει καὶ ἑαυτῷ συμπεριάγει, νοερὰ κἀκεῖνα ποιῶν καὶ κινούμενα κυκλικῶς.*

Τῷ γοῦν τοιούτῳ ō τῷ περιηγμένῳ καὶ ἀποκαταστατικῷ καὶ στρεφομένῳ πρὸς ἑαυτὸ τὰ μετὰ ταῦτα τρία στοιχεῖα ὁμοῦ προστίθε-
395 *ται ἐφεξῆς, τὸ πῖ φημι, τὸ ῥῶ καὶ τὸ σίγμα· ταῦτα γὰρ σαφηνίζεται μὲν καὶ καθ' ἕν, ὁμοῦ δὲ συνερμηνευόμενα μάλιστα δῆλα καθέστηκε. θείαν γάρ τινα συμπληροῖ ταῦτα φωνὴν ὥσπερ ἐξ οὐρανοῦ τῷ κυκλικῷ ἐπιφθεγγομένην νοΐ 'πίε τοῦ ῥεύματος σιγῶν'. ἐπεὶ γὰρ τὰ τοῦ σώματος ἔμυσας αἰσθητήρια καὶ παντάπασιν ἔξω τῶν ὑλικῶν γέγονας*
400 *καὶ πρὸς πᾶσαν μὲν ζωὴν αἰσθητὴν ἀπενύσταξας, ἔνυξας δὲ αὐτὸν πρὸς τὴν νοερὰν καὶ τελεωτέραν κατάστασιν καὶ γέγονας οἷον ō, νοῦς ἀπηκριβωμένος, καὶ καθαρὸς καὶ εἰς ἑαυτὸν ἀνελιττόμενός τε καὶ ἀποκαθιστάμενος, καὶ τῆς μὲν τοῦ σώματος ἀπηλλάγης φύσεως, προσήγγισας δὲ ταῖς θείαις πηγαῖς, πίε τοῦ ἐντεῦθεν ῥείθρου σιγῶν. ἡ*
405 *τοίνυν πόσις οὐκ αἰσθητήν τινα δηλοῖ ὁλκὴν διὰ τοῦ ἐν τῷ στόματι πνεύματος οὐδὲ κενώσεως ἀναπλήρωσιν οὐδὲ ξηρότητος ὕγρανσιν, ἐπεὶ μηδὲ τὸ ῥεῖθρον τοιοῦτον, οἷον ῥέον ὑδάτιον καὶ τῇδε ἢ ἐκεῖσε τοῖς*

380 *ἀσύνθετον – περιδ.* mg. add. **P** ‖ **381** *δέ*] fort. *δή* **P** ‖ **382** *χαρακτῆρα* **B**: *-τὴρ* **P** ‖ **384** *θελήσῃ* comp. **P**: *θελήσειεν* **B** | *στρογγυλίζεται ἐν ἑαυτῶ τὸ στόμα* **P**: *στρογγύλλεται ἐν αὐτῶ τῶ σώματι* **B** ‖ **385** *παρὰ* **P**: *πρὸς* **B** ‖ **393** *περιηγμένω* **B**: *προηγμένω* **P** ‖ **394** *στρεφομένω* **P**: *ἀποστρεφομένω* **B** | *προστίθεται* **B**: *προτίθενται* **P** ‖ **395** *φημι* **P**: *φημι καὶ* **B** | *ταῦτα* **P**: *ταυτὶ* **B** ‖ **397** *τινα* **B**: om. **P** | *ὥσπερ* **B**: *ὡς* **P** ‖ **398** *ἐπιφθεγγομένην* **P**: *-η* ut vid. **B** | *γὰρ* **P**: *γάρ φησι* **B** ‖ **401** *ō* **P**: om. **B** ‖ **402** *καὶ*[2] **P**: om. **B** ‖ **405** *δηλοῖ ὁλκὴν* **P**: trsp. **B** ‖ **406** *ὕγρανσιν* **P**: *ὑγρασίαν* **B** ‖ **407** *ὑδάτιον* **P**: *ὕδα*[τι] **B**

ἀνέμοις φερόμενον, ἀλλὰ πηγή τις ἀΰλων ἐμφάσεων, ἃς πίνει ψυχὴ διψῶσα τοῦ τοιούτου νάματος, μᾶλλον δὲ ὧν ἐμφορεῖται νοῦς περιφερής τε καὶ τὴν κίνησιν τέλειος. πίνει δὲ οὐχ ὥστε διψῶν παύσασθαι, ἀλλ' 410 *ὥστε κορεσθῆναι μηδέποτε. τοιαύτη γὰρ ἡ τοῦ θείου πηγή, ὑποκινοῦσα μᾶλλον τὴν ἔφεσιν καὶ πρὸς πλείονα δίψαν διερεθίζουσα· ὃ γὰρ ἂν ἀρύσῃς ἀπὸ τῶν ἄνω πηγῶν, οὔτε στήσει τὴν ἔφεσιν καὶ πλειόνων σοι ναμάτων γενήσεται χορηγόν. οὐχ ὁ βουλόμενος δὲ πίνειν τοῦ τοιούτου ῥεύματος δύναται, ἀλλ' ἢ μόνον ὁ ἀκριβὴς νοῦς. ὅσοι δὲ καὶ πί-* 415 *νειν οἴονται τοῖς ζητήμασι, λανθάνουσιν ἑαυτοὺς καὶ τὴν ἐνοῦσαν λιβάδα ἀποξηραίνοντες· ἁλμυροῦ γὰρ σπῶντες τοῦ νάματος οὔτε τι ἥδονται καὶ αὐχμῶν ἑαυτοῖς καθεστᾶσιν αἴτιοι· ὅθεν καὶ θλίβονται περὶ τὴν δοκοῦσαν πηγὴν καὶ θορύβου παντὸς πληροῦσι καὶ ταραχῆς. τὸ δὲ αἴτιον ὅτι μὴ γεγόνασιν ō μηδ' ἀπενύσταξαν πρὸς τὰς λογικὰς* 420 *ἐντρεχείας μηδ' ὥδευσαν τὰς συλλογιστικὰς μεθόδους, ἀλλὰ μετὰ τούτων τὴν ἀσυλλόγιστον φύσιν καταμαθεῖν ἔσπευσαν. ὅθεν πίνουσι μέν, ἀλλ' οὐχ ὕδωρ διαφανές, ἰλυῶδες δὲ καὶ τελματιαῖον καὶ τὸ ὅλον βορβόρου πλῆρες. ὁ δ' εἰς ἑαυτὸν συστραφεὶς νοῦς πίνει τοῦ ῥείθρου σιγῶν, οὐδὲν ἐξετάζων τῶν παραδεδομένων οὐδὲ ζητῶν ἀρχὴν τῆς ἀρχῆς οὐδὲ* 425 *τὸν λόγον τῆς φύσεως ἢ τὴν φύσιν τοῦ λόγου οὐδὲ τὸν τρόπον τῆς θείας γεννήσεως ἢ τῆς τοῦ πνεύματος προβολῆς, ἀλλ' ἀθορύβως καὶ ἀταράχως τῆς εἰρηναίας πίνων πηγῆς ἥδεται καὶ ἀγάλλεται καὶ μᾶλλον ἐνθουσιᾷ τῷ ἀνεξετάστῳ κινούμενος. σῶμα δὲ λόγου καὶ πάθος ἀκούων σταυρόν τε καὶ ἥλους καὶ τὸ ἐκ τῆς νυγείσης αἷμα* 430 *πλευρᾶς καὶ πρὸ τούτων παρθένον τεκοῦσαν καὶ ἀμφότερα μείνασαν οὐ θορυβεῖται οὐδὲ ταράσσεται, ἀλλὰ σιγῶν ἀτρέμας ἵσταται καὶ ἐμφορεῖται τῶν ἐκεῖθεν πηγῶν.*

Ἔδει μὲν οὖν, φήσει τις, ἄχρι τοῦ σίγμα τῶν στοιχείων ἑστάναι τὸν ἀριθμόν· τὸ γὰρ πᾶν συμπεπλήρωται, ἡ θεολογικὴ ἀκρότης ἐν τρισὶ 435 *τοῖς προσώποις, ἡ τῶν ἐκεῖθεν παραχθέντων διαίρεσις, ἐπὶ ταύτῃ ἡ τοῦ νοήσαντος ἔκπληξις, ἡ ζήτησις, ἡ ἀπρόθυμος κίνησις, ἡ τοῦ ὀφθέντος ὁμολογία, ἡ ἰθυτενὴς πρὸς τοῦτο μετὰ ταῦτα ὁρμή, ἡ μετὰ τὰ αἰσθητὰ πρὸς τὰ θειότερα ἄνοδος, ὁ ὑποστρέφων δρόμος, ἡ ἐκεῖθεν αὐδή, ἡ τῶν αἰσθητηρίων ἀνενεργησία καὶ οἷον ἀπονύσταξίς τις* 440 *καὶ νέκρωσις, ἡ ἐντεῦθεν μετρία τοῦ νοῦ πρὸς τὸ θεῖον ἐνέργεια καὶ*

419 *παντὸς* **P**: *πάντως* vel *πάντα* **B** || **421** *ὁδεῦσαν* **B**: correxi: *εἴασαν* (leg. *ᾔεσαν* ?) **P** || **423** *τὸ ὅλον β.* **P**: *β. τὸ ὅλον* **B** || **428** *ἀταράχως* **B** (cf. 419 et 432): *ἀμάχως* **P** | *εἰρηναίας* **P**: *εἰρημένης* ut vid. **B** || **430** *σταυρόν τε* **P**: *καὶ σταυρὸν* **B** || **433** *ἐκεῖθεν* **P**: *ἐντεῦθεν* **B** || **434** *φήσει* **B**: *φησί* **P** | *ἄχρι* **P**: *μέχρι* **B** || **436** *τοῖς προσώποις* **B**: *ταῖς πρώταις* **P**

ἡ ξέσει ἐοικυῖα κατάληψις, εἶτα ἡ τοῦ νοῦ τελείωσις καὶ ἀκριβὴς κίνησις, μεθ' ἃ ἡ πόσις, τὸ ῥεῖθρον, ἡ σιγή.

Ἔδει οὖν τὸ πέρας τῆς καταλήψεως πέρας εἶναι τοῦ ἀριθμοῦ καὶ 445 *τοῖς γράμμασιν, ἀλλὰ πρὸς τὴν τοιαύτην δόξαν τὸ ταῦ ὑπαντᾷ, ὃ δὴ ἓν μὲν εἶναι δοκεῖ τῶν τοῦ λόγου μερῶν, δύο δέ πώς ἐστιν· ἐπειδὴ γάρ, φησι, τὴν ἀίδιον ὁ νοῦς προσείληφε κίνησιν καὶ πέπωκε τοῦ ῥείθρου σιγῶν, τί αὖ; ἆρα τὸ πᾶν κατείληφε καὶ πλέον οὐδέν ἐστιν οὗ πέπωκεν, ἀλλὰ τὸ ὅλον ῥεῖθρον τῆς θείας ἀιδιότητος ἐντὸς ἔσχηκε τοῦ* 450 *οἷον στόματος; τὸ γὰρ ταῦ, εἴ τις ἐθέλει ἐρεῖν ἐντελῶς, 'τί αὖ' ἐστιν ἀντὶ τοῦ 'τί γοῦν; πέρας ἐστὶ καταλήψεως ἡ μετὰ σιγῆς πόσις τοῦ νοητοῦ ῥεύματος;' εὐθὺς γὰρ ὑπαινίττεται ὡς πλέον ἐστὶ τοῦ καταληφθέντος τὸ διαφυγόν. οὔτε γὰρ θάλαττάν τις ὅλην αἰσθητῶς πιεῖν δυνηθείη οὔτε νοῦς ὅλην τὴν θείαν ἐντὸς συλλάβοι πηγήν. διὰ τοῦτο τὸ* 455 *ταῦ ὑπαντᾷ μονονουχὶ τοῦτο φθεγγόμενον πρὸς τὸν νοῦν, ὅτι 'τὰς αἰσθήσεις ἀφεὶς καὶ τὰς βαρείας πέδας τοῦ σώματος ἐπτερώθης μὲν πρὸς τὸν οὐρανὸν καὶ τὴν ἐκείνου μιμησάμενος κίνησιν, μᾶλλον δὲ τὴν φύσιν κτησάμενος, προσεπέλασας ταῖς ἀνωτάτω πηγαῖς καὶ πέπωκας τοῦ ῥεύματος ὡς ἐνῆν, οὔπω δὲ τὸ πᾶν ἀπηρύσω, ἀλλ' ἄπλετόν ἐστι* 460 *πέλαγος τὸ καταλειφθέν, ὃ δὴ ἀμείωτόν ἐστιν ἐσαεί, πληροῦν μὲν τοὺς διψῶντας καὶ προσεγγίζοντας, ἐλαττούμενον δὲ μηδέποτε'.*

Ταῦτά τε τὸ ταῦ ὥσπερ ὑποφωνεῖ πρὸς τὸν νοῦν καὶ τὸ ἀληθὲς ὑποδεικνύμενον παρεστὸς ὑποδείκνυσι τὸ υ οἷόν τι Ἀτλαντικὸν πέλαγος· κρατῆρι γὰρ τὸ υ ἔοικεν ὕδατος, μᾶλλον δὲ φιάλῃ χρυσῇ. 'ἰδοὺ 465 *γοῦν' φησι πρὸς τὸν νοῦν 'κρατὴρ ἕτερος μετὰ τὸ ρ κείμενος οὗ δὴ λίαν ἀφίστασο· τῷ μὲν γὰρ ρ πεπλησίακας ὥσπερ βραχεῖ τινι ἀμφορεῖ, τῷ δὲ υ οὔπω προσήγγισας.' ὁ δὴ Ὠκεανὸς θεῖός ἐστι τὴν ὅλην ἀπεικονίζων θείαν πηγήν. ἔχει δέ τινα καὶ ἡ τοῦ στοιχείου τούτου ἐκφώνησις καὶ δίψης καὶ πόσεως ἰδιότητα· τοιοῦτον γὰρ καὶ ὑπηχοῦσιν* 470 *οἱ ἀπλήστως τοῦ πόματος ἐμφορούμενοι, ὁπότε καὶ μάλιστα ἥδοιντο. ἀνέῳκται δὲ τῷ σχήματι ἐσαεὶ πάντα τὸν διψῶντα νοῦν εἰς ἑαυτὸ προκαλούμενον, μᾶλλον δὲ τὸν ἐγγίσαι τούτῳ δυνάμενον. εἶτα ἵνα μή τις ἐντεῦθεν οἰηθῇ, ὡς τὸ πᾶν τοῦ κρατῆρος ἀρύσασθαί τις τοῖς χεί-*

442 *ξέσει* **P**: *ζέσει* **B** | *ἀκριβὴς* **P**: *ἡ ἀκριβὴς* **B** || 446 *εἶναι δοκεῖ* **P**: *δοκεῖ εἶναι* **B** || 448 *αὖ* **P**: *οὖν* **B** || 451 *ἀντὶ τοῦ* **P**: *αὐτὸ* ut vid. **B** || 457 *μιμησάμενος* **B**: *-σόμ-* **P** || 457 sq. *τὴν φύσιν* **P**: *τῇ φύσει* **B** || 459 *ἀπηρύσω* **B**: *-ρρ-* **P** || 461 *ἐλ. δὲ μηδέποτε* **P**: *οὐδέποτε δὲ ἐλ.* **B** || 463 *παρεστὼς* **B**: *-ῶς* **P**: correxi | *ὑποδείκνυσι* **B**: *ὑπεδείκνυ* **P** || 465 *γοῦν* **P**: *γάρ* **B** | *δὴ* **P**: *δεῖ* **B** || 466 *ἀφίστατο* **P**: correxi: *ἀφῦσαι* **B** | *βραχεῖ τινι* **P**: *τινι βραχεῖ* **B** || 468 *ἀπεικονίζων* **P**: *-ον* **B** || 471 *ἑαυτὸ* **P**: *ἑαυτὸν* **B** || 472 an *προσκαλούμενον* scribendum? || 473 *οἰηθῇ* **P**: *οἰηθεὶς* **B**

λεσι δύναιτο καὶ μηδὲν ἐγκαταλιπεῖν, μᾶλλον δέ – ἵνα τελεώτερον περὶ τούτου νῦν διαλέξωμαι – ἐπειδὴ πολλοὶ οἴονται δεῖν πᾶσι τοῖς 475 *θείοις ἐπιπηδᾶν ὡς μηδὲν ἐᾶν ἀνεξέταστον· οὐ γὰρ ἀρκοῦσιν αὐτοῖς αἱ περὶ τῶν πρώτων καὶ δευτέρων φύσεων εὑρεσιλογίαι, ἅ τε περὶ νοῦ λέγουσι καὶ ὅσα περὶ ψυχῆς δογματίζουσιν, ἀλλ' εἰ μὴ καὶ τοῦ ὄντος αὐτοῦ περιδράξοιντο καὶ θεοῦ φύσιν ἐπίσταιντο κίνησίν τε καὶ τὴν τῶν κατὰ μέρος οἰκονομίαν, ἀβίωτον ἑαυτοῖς τὸν βίον νομίζουσιν, οὐ* 480 *καλῶς οἰόμενοι. τὸ μὲν γὰρ φιλοσοφεῖν ὡς ὁ θεὸς ἀμερίστως μὲν τὰ μεριστὰ γινώσκει, ἀχρόνως δὲ τὰ ἔγχρονα, ἀμεταβλήτως δὲ τὰ μεταβλητά, καὶ ὅτι τὸ θεῖον ἁπλοῦν πρώτως ἐστὶ καὶ μάλιστα καὶ διὰ τοῦτο καὶ αὐταρκέστατον καὶ ὅτι ὑπὸ τῶν ἐγγυτέρω μετεχόμενον ἀμέσως μετέχεται, ἔχει τινὰ λόγον καὶ οὐ παντάπασιν ἄδηλος ἡ ἀπόδει-* 485 *ξις, τὸ δ' ὅτι ἔνθερμον πνεῦμα τὴν οὐσίαν ἐστὶν ἢ νοῦς τοιόσδε ἢ ἓν ἀκίνητον ἢ ἀριθμὸς τῶν ὄντων ἐξῃρημένος, οὔτ' ἀπόδειξιν ἔχον ἐστὶν οὔτε τις πιστεύσειε, λέγουσιν, εἰ μὴ τῆς ῥινὸς ἕλκοιτο.*

Ἐπεὶ οὖν εἰς τὰ τοιαῦτα τοὺς πολλοὺς ἐφέλκεται τὸ φιλοπρᾶγμον, διὰ ταῦτα τῷ τῶν τοιούτων κρατῆρι, τῷ υ φημι, ἐγγειτόνων ἐστὶ τὸ 490 *φῖ, ἄχρι τοῦ φαινομένου φιλοσοφεῖν τὸν ἐξετάζοντα νουθετοῦν. τοῦτο γάρ μοι φαίνεται τὸ φῖ ὑπαινίττεσθαι, τὸ τὰ φαινόμενα μόνα τοῦ θείου πολυπραγμονεῖν καὶ ζητεῖν· φαινόμενα δέ φημι ἐνταῦθα οὐ τὰ οἷον ἰνδάλματα καὶ παρυφιστάμενα τοῖς σώμασιν, ὥσπερ αἱ σκιαί, ἀλλὰ τὰ προκείμενα καὶ δεικνύμενα. ἐπειδὴ γὰρ ὁ θεῖος βυθὸς ἐκ* 495 *φαινομένων καὶ ἀφανῶν σύγκειται καὶ τὸ μὲν αὐτοῦ περιπλεῖσθαι δύναται, τὸ δὲ πάντῃ ἄπλωτόν τε καὶ ἄπλετον πέφυκε, καὶ τὸ μὲν οἷον φαίνεται, τὸ δὲ ἀφανὲς πάντῃ καθέστηκεν, ἀρκεῖσθαι τοῖς φαινομένοις χρεών, μὴ μέντοι γε καὶ τοῖς ἀφανέσιν ἐπιχειρεῖν. τίνα οὖν τὰ τοῦ θείου φαινόμενα; ὅτι μέτρον ἐστὶ τῶν ὄντων, ὅτι ἑνιαῖον, ὅτι τὰ* 500 *πλήθη πάντων τῶν ὄντων ἀφορίζει καὶ μετρεῖ, ὅτι περατοῦν οἷς ἂν*

481–482 Procl. Elem. p. 110, 10–12; cf. Psell. Omn. doct. 17, 3–7 || **488** Luc. Herm. 68; Psell. Or. min. 8, 193–194; Ep. 224, K.-D. II 267, 21–22 || **499–502** Procl. Elem. p. 102, 28–33

475 *οἴονται* **B**: *ᾤοντο* **P** || **477** *τῶν* **P**: om. **B** | *φύσεων* **P**: om. **B** | *νοῦ* **P**: *νοῦν* ut vid. **B** || **478** *μὴ καὶ τοῦ* **P**: *καὶ τοῦ μὴ* **B** || **479** *αὐτοῦ* vel *-ῶν* **B**: *-οῖς* **P** | *ἐπίσταιντο* **P**: *ἐπίσταντο* **B** || **480** *ἀβίωτον* **P**: *ἀβίοτον* **B** | *ἑαυτοῖς* **B**: *αὐτοῖς* **P** || **481** *μὲν*[2] **P**: om. **B** || **482** *ἔγχρονα* **B**: *ἐγχρόνια* **P** || **484** *καὶ*[1] **P**: om. **B** || **485** *οὐ* **P**: *εἰ* **B** || **487** *ἐξῃρημένος* **P**: *ἐξηρτημένος* **B** | *ἔχον ἐστὶν* an sanum? || **490** *ἐγγ.*] i. e. *ἐν γειτόνων* || **494** *παρ. τοῖς σώμασιν* **P**: *τοῖς σώμασι παρ.* **B** | *ὥσπερ* **P**: *οἷον* **B** || **495** *καὶ δεικνύμενα* **P**: *ἐνδεικνύμενα* **B** || **498** *ἀφανὲς πάντῃ* **P**: *πάντῃ ἀφανὲς* **B** || **499** *γε* **P**: om. **B** || **501** *πάντων* **P**: *πάντα* **B**

παρῇ βούλεται καὶ περιάγειν εἰς ὅρον, ὅτι πάντα κρειττόνως ἢ κατὰ τὴν ἑαυτῶν τάξιν ἐπίσταται, ὅτι ἀφ' ἧς ἂν ἄρξηται τάξεως ἐκφαίνειν ἑαυτὸν πρόεισι διὰ πάντων τῶν δευτέρων, ὅτι οὐδὲ αὐτὸς ὁ νοῦς ἐστι
505 *θεῖος εἰ μὴ μεθέξει τῆς θείας ἑνάδος, ὅτι κατὰ τὸ ὑπερπλῆρες ἑαυτοῦ μεταδίδωσι τοῖς μετεχομένοις, καὶ τἆλλα ὅσα δὴ μὴ παρεῖται τοῖς θεολόγοις καὶ μάλιστα Διονυσίῳ τῷ πάνυ ἀκριβέστερον περὶ τούτων φιλοσοφήσαντι. τὰ δὲ ἀφανῆ τίνα; ὁ τρόπος τῶν θείων οἰκονομιῶν καὶ πρὸ τούτων ἡ τοῦ θείου φύσις αὐτή, ἡ ἕνωσις, ἡ διαίρεσις, ἡ πρὸς τὸ*
510 *πρῶτον αἴτιον ἀναγωγὴ τῶν ἀπ' ἐκείνου, ἡ τοιάδε πρόοδος. ἐσθίοντα οὖν τὸν λόγον, τὸν θεῖον ἀμνόν, ἡ προβεβλημένη σὰρξ εὐωχείτω σε, μὴ μέντοι γε καὶ τῶν κεκρυμμένων ὀστῶν ἅψαιο, ἀλλ' ἐσθίων ὅσα βρώσιμα τῇ βάσει τοῦ θυσιαστηρίου τὸ αἷμα ἐπίχεε, παραχωρῶν τῇ πίστει τῶν κεκρυμμένων. ταῦτά σοι τὸ φῖ σαφῶς ὑποφαίνει, τῶν*
515 *φαινομένων ἅπτεσθαι συμβολικῶς νουθετοῦν.*

Τὸ δὲ χῖ καὶ μείζονα τὴν φιλοσοφίαν ὑποβάλλει τοῦ φῖ. ἐπεὶ γὰρ ὃ φαίνεται πολλάκις καὶ παραφαίνεται, ὥσπερ τὰ τῶν εἰκασμάτων εἰκάσματα ἔφη τις σοφός, διὰ τοῦτο τὸ χῖ ὥσπερ ὑπερείδει τὸ φαινόμενον τοῦ φῖ· μὴ γάρ, ὃ σοί, φησί, δοκεῖ φαίνεσθαι, τοῦτο σπεῦδε λαβεῖν,
520 *ἵνα μὴ ὑπόκρισις εἴη τὸ φαινόμενον, ἵνα μὴ ὡς σκότει προσέλθῃς τῷ δοκοῦντι φωτὶ καὶ τὸ ἀρχέκακον σκότος ἄγγελον ὑπολήψῃ φωτός, ἀλλ' ἐκεῖνο μόνον ἀρύσῃ καὶ καρδίᾳ καὶ χείλεσιν, ὅσον σοι χεῖται παρὰ θεοῦ. ἐπεὶ γὰρ ὁ τῆς σοφίας κρατὴρ ὑπερπλήρης ἐστί, τοῖς βλύζουσι νάμασι τοῖς χεομένοις ὑπόθες τὸ πρόσωπον, τὸ ἀπορρέον ὑπόδεξαι τῆς*
525 *πηγῆς. οὐκ ἐνδεής ἐστιν ἡ φιάλη, ἵνα πίῃς ἐγκύψας, οὐδὲ πλήρης μόνον, ἵνα τοῖς ἐκείνης χείλεσι προσθήσῃς τὰ σά, ἀλλὰ καὶ ὑπερπλήρης· τὸ μὲν γὰρ ἐνδείας, τὸ δὲ αὐταρκείας, τὸ δὲ παντελοῦς ἀγαθότητος. διὰ τοῦτο μὴ λίαν πλησιάσειας τῷ κρατῆρι, μή που καὶ πυρὸς ἐν αὐτῷ περιτύχῃς ῥύαξιν, ἀλλὰ πόρρω στῆθι καὶ τοῦτο μετ' εὐλα-*
530 *βείας. οὐ γὰρ δέος μήποτε ἀπέλθῃς διψῶν· κορέσουσί σε οἱ ἐκεῖθεν μεριζόμενοι ποταμοί, οὐ τέσσαρες μόνον ὥσπερ οἱ ἀπὸ τῆς Ἐδὲμ*

502–503 110, 12–13 ‖ 503–504 110, 29–30 ‖ 504–505 140, 5–8 ‖ 505–506 116, 17–18 ‖ 507 *Διονυσίῳ*] Div. nom., e.g. 648 C–D ‖ 510–512 cf. Psell. Theol. I op. 99 (praesertim ll. 135–147) ‖ 512–514 cf. Exod. 29, 12; Levit. 4, 7 ‖ 518 an Plat. intendit? ‖ 521 II Cor. 11, 14 ‖ 523–528 cf. Psell. Theol. I 21, 9–24 ‖ 531 Gen. 2, 10–14

503 *ἄρξηται* **P**: *ἄρχηται* **B** ‖ 504 *ὅτι* **P**: *ὅτι δὲ* **B** ‖ 505 *ἑαυτοῦ* **B**: *αὐτοῦ* **P** ‖ 507 *ἀκριβέστερον* **P**: om. **B** ‖ 514 *ὑποφαίνει* **B**: *ὑποφαίνεται* **P** ‖ 519 *σοι φησί* **P**: *φησὶ σοι* **B** | *τοῦτο* **P**: *τοῦτο δὴ* **B** ‖ 522 *ἀρὺς* **P B**: corr. Wk. ‖ 525 *ἐγκύψας* **B**: *ἐκκύψας* **P** ‖ 527 *παντελοῦς* **P**: fort. *-ῶς* **B** ‖ 530 *οὐ* **P**: *οὐδὲ* **B** | *δέος* **P**: *δέῃ* ut vid. **B**

ῥέοντες, ἀλλ' ἀριθμὸν ὑπερβαίνοντες, ἐμπλήσουσί σε τοῦ ποτίμου νάματος, κἂν λίαν διψητικώτατος εἶ κἂν διὰ πολλῆς τῆς ὁδοῦ προσήγγισας τῇ πηγῇ, ἀποκαμὼν τοῖς ἱδρῶσι τῶν ἀρετῶν καὶ τῷ συντόνῳ λειποψυχήσας καὶ κατάξηρος ταῖς ἐργασίαις γενόμενος· οὐ γὰρ ἐκλείψει σοι ὁ τοῦ ἐλαίου καμψάκης ὡς τῇ Σαραφθίᾳ ποτέ, μᾶλλον δὲ ἡ ἀένναος τῶν εὐσπλάγχνων ῥευμάτων πηγή. μὴ τοίνυν ἐπιπηδήσῃς τοῖς ἔνδον τοῦ κρατῆρος νάμασιν· οὔτε γὰρ δυνήσῃ πιεῖν καὶ τῆς αὐθαδείας ἀποκείσεταί σοι κόλασις. τί οὖν; ἀνεξέταστά σοι ἔσονται τὰ χεόμενα καὶ πᾶν ὃ δὴ χεῖταί σοι τοῦτο δὴ καὶ πρὸς πόσιν προκείσεται; ἀλλὰ δέδοικα μὴ οὐ πᾶν ᾖ τὸ χεόμενον διειδὲς ὕδωρ καὶ καθαρόν, δέδοικα δὲ μὴ καὶ ἁλμυρόν ἐστι καὶ θαλάττιον ἐν ᾧ ἡ καταποντίζουσα πέφυκε καταιγίς, φοβοῦμαι μὴ βαθὺ τυγχάνῃ καὶ ὕπουλον οὗ ῥυσθῆναι καὶ ὁ προφήτης αἰτεῖ. (535) (540)

Διὰ τοῦτο τὸ ψῖ ἐπανορθοῦται τὸ χῖ ὡς ἐκεῖνο τὸ φῖ, μᾶλλον δέ σοι τὴν τῶν ναμάτων ὑποβάλλει ψηλάφησιν. ὅρα, γάρ φησι, μὴ ἀπατηθῇς μηδ' ὡς γλυκεῖ προσέλθῃς τῷ ἁλμυρῷ μηδ' ὡς ὕδατι τῇ ἀβύσσῳ. ἐκεῖ μὲν γὰρ πνεῦμα θεοῦ ἐπιφέρεται, ἐνταῦθα δὲ σκότος ἐπιχεῖται βαθύτερον τοῦ ψηλαφητοῦ. διὰ τοῦτο ψηλάφησον καὶ αὐτὸς περὶ τοῦ λόγου τῆς ἀληθείας. εἰσί σοι χεῖρες οὐ μαλακοῦ καὶ σκληροῦ διάκρισιν ἔχουσαι, ἀλλ' ἀληθείας καὶ ψεύδους, ἐστί σοι δύναμις ἁπτικὴ τῆς ψυχῆς. δύνῃ διὰ ταύτης ἐφευρεῖν, τίς μὲν ἡ Μερρὰ καὶ ἄποτος τῷ ὄντι πηγή, τίς δὲ ὁ τὴν πόλιν εὐφραίνων τοῦ θεοῦ ποταμός, μᾶλλον δὲ τίνα τὰ τούτου ὁρμήματα. ὅρα γοῦν μὴ τῆς σκοτεινῆς ἀβύσσου ᾖ τὸ χεόμενον ἐν ᾗ ὁ δράκων ἐντέταλται κατοικεῖν, μή πού τις ἰὸς πίνοντί σοι συνολισθήσῃ τῷ στόματι καὶ καταδαπανήσῃ σου τὴν ψυχήν. εἰ γὰρ καὶ κεχείρωται τὸ μέγα κῆτος, ὃ δὴ τὰ ἁλμυρὰ τρέφει τῆς θαλάττης νάματα, καὶ τοῖς σταυρικοῖς ἥλοις δεδέσμευται, ἀλλ' οὐ πάντῃ γε νενέκρωται, εἰς ἡμετέραν καὶ τοῦτο νουθεσίαν καὶ παίδευσιν τηρηθέν. δέος οὖν μὴ προσελθὼν τῇ θαλάττῃ περιτύχῃς τῷ κήτει καὶ προσαφήσῃς τῷ δίψει καὶ τὴν ψυχήν. ψηλάφα τοίνυν τὰ ὕδατα τά τε σταδαῖα καὶ τὰ κινούμενα ὅσα τε ἐν λίμναις καὶ ὅσα ἐν φρέασιν – (545) (550) (555) (560)

535-536 III Reg. 17, 7–16 || **542-544** Ps. 68, 15–16 || **548** Gen. 1, 2 || **548-549** cf. Exod. 10, 21 || **552** cf. Exod. 15, 23 || **553** Ps. 45, 5 || **554-555** cf. Apoc. 20, 1–3 || **557-558** cf. Iob 3, 8

533 *διὰ* **P**: *δεῖ* **B** || **534** *τῷ συντόνῳ* **P**: *τῇ συντονίᾳ* **B** || **536** *ὁ* **P**: om. **B** || **542** *δὲ* **P**: om. **B** || **554** *γοῦν* **P**: *οὖν φησι* ut vid. **B** || **556** *πίνοντί σοι συν.* **P**: *συν. σοι πίνοντι* **B** | *καταδαπανήσῃ* **B**: *-σει* **P** || **557** *καὶ* **B**: om. **P** || **558** *δεδέσμευται* **P**: *-μηται* **B** || **559** *γε* **P**: om. **B** || **560** *δέος οὖν* **P**: *δέον γοῦν* **B** || **561** *προσαφήσῃς* **P**: *-εις* **B** | *ψυχήν* **B**: *πηγήν* **P** || **562** *σταδαῖα* **B**: *στα αῖα* (spat. 3 litt. relinquens) **P** | *λίμναις* **B**: *-νῃ* **P**

οἶδα γὰρ καὶ φρέαρ διαφθορᾶς – καὶ ὅσα ἀπ' οὐρανῶν ἔρχεται· οὐδὲ γὰρ ἅπαντα καὶ ταῦτα καθαρά, ἀλλ' ἔστιν ἃ καὶ μετὰ πλείονος τοῦ
565 *ὑπεκκαύματος κάτεισιν, ἃ δὴ καὶ ῥαγδαῖά ἐστι καὶ βαρύτατα καὶ πλήρη τοῦ ἐκεῖθεν καπνοῦ. εἰ γοῦν οὕτω πίνεις, ἔσται σοι πάντως πηγὴ ἀλλομένη εἰς ζωὴν αἰώνιον.*

Τί δ' ἄν τις εἴπῃ καὶ περὶ τοῦ τελευταίου στοιχείου, ὃ δὴ καὶ ω̄ μέγα διαφερόντως ὠνόμασται, εἰ καί τινες τὴν προσθήκην τοῦ ποσοῦ
570 *ἀθετήσαντες ω̄ μόνως κεκλήκασι, τὸ δὲ ἕτερον ο̄; τί οὖν ἐστι τοῦτο καὶ διὰ τί μέγα καὶ διὰ τί ἔσχατον; ἀλλὰ πρὶν εἰπεῖν καὶ περὶ τῆς οὐσίας τούτου καὶ φύσεως, ὥσπερ ἐν καταστάσει βραχύ τι περὶ τῶν προαγόντων διαληψώμεθα, ἵν' ἐκεῖθεν καὶ τὸ συνεχὲς τῶν προλαβόντων πρὸς τοῦτο εὑρήσομεν. ἐπεὶ γὰρ τὸ μὲν φῖ τὸ φαινόμενον ὑπεδεί-*
575 *κνυε, τὸ δὲ χῖ τὸ χεόμενον καὶ οἷον ἀπορρέον τοῦ θείου κρατῆρος, τὸ δὲ ψῖ ψηλάφησιν ὑπετίθει τοῖς σπῶσι τοῦ νάματος ἤτοι διάκρισιν θολεροῦ καὶ καθαροῦ πόματος, ἵνα μή τις οἰηθῇ, ὡς ἕτερον οὐδέν ἐστι παρὰ τὸ φαινόμενον μὴ καὶ χεόμενον, ἀλλὰ πᾶν ὅσονπερ ἐν τῷ κρατῆρί ἐστιν ὑπερβλύζον κενοῦται, ὡς μηδὲ ὑποστάθμην τινὰ τῷ ἀγ-*
580 *γείῳ ἐναπομεῖναι, ὁ τοῦ μεγάλου ω̄ λόγος φωνεῖ τῷ σχήματι σιωπῶν ὡς ἄβυσσός ἐστι τὸ καταλειφθὲν συγκεκλεισμένη τε καὶ ἀπρόσιτος. τὰ μὲν γὰρ ἄλλα, ὅσα μεθεκτὰ τοῖς ἀξίοις εἰσί, μετρεῖται ταῖς δεχομέναις αὐτὰ φύσεσι καὶ καταλλήλως αὐταῖς ἐπιρρεῖ, τὸ δ' ὅσον ἀπομένει τῷ πλήρει κρατῆρι οὔτε ψυχῇ ἐστι φορητὸν οὔτε νῷ χωρητόν. τοῦτο οὖν*
585 *ἐστι τὸ μέγα ω̄, ὁ μέγιστος τῆς σοφίας κρατήρ, ἀφ' οὗ τέως οὐδεὶς ἀπηρύσατο. πᾶσα οὖν κίνησις νοερὰ ἄχρι τοσούτου πρόεισιν, ἕως ἂν τῷ μεγάλῳ ω̄ προσπελάσειεν. ἐκεῖ δὲ γενομένη τῆς ἐφέσεως ὁμοῦ καὶ κινήσεως ἵσταται, ἐπεὶ μηδὲ φυσική τίς ἐστι τῶν ὑπὲρ φύσιν ἐνέργεια. ἀλλ' εἴ τι καὶ τοιοῦτον ἡμῖν ἐπιγενήσεται, ὕστερον εἰσόμεθα τοῦτο,*
590 *ἀλλ' οὐκ ἐνεργήσομεν. μέγα δὲ τοῦτο ω̄ προωμολογημένως προσηγόρευται ἢ ὅτι ἀντιδιέσταλται τῷ ο̄ – νόες μὲν γὰρ ἀμφότερα, ἀλλ'*

563 *φρέαρ διαφθορᾶς*] Ps. 54, 24 ‖ **566–567** Io. 4, 14

566 *πάντως* **P**: *παντὶ* (ut vid.) comp. **B** ‖ **568** *καὶ*[1] **P**: om. **B** ‖ **569** *ποσοῦ* **P**: *ποιητ(οῦ)* ut vid. **B** ‖ **570** *ἀθετήσαντες* **P**: *ἀμελήσαντες* **B** | *τοῦτο* **P**: *καὶ τοῦτο* **B** ‖ **571** *εἰπεῖν* **B**: *εἴπωμεν* **P** ‖ **573** *διαληψώμεθα* **P**: *-ψόμ-* **B** ‖ **574** *πρὸς τοῦτο* **B**: *πρὸ τούτου* **P** | *ὑπεδείκνυε* **P**: *ὑποδείκνυσι* **B** ‖ **575** *οἷον* **B**: *οἷον τὸ* **P** ‖ **578** *ὅσονπερ* **P**: *ὅσον* **B** ‖ **579** *ἀγγείω* **B**: *ἄγγει* **P** ‖ **584** *οὖν* **B**: *γὰρ* **P** ‖ **586** *ἀπηρύσατο* **B**: *-ρρ-* **P** | *οὖν* **P**: *γοῦν* **B** ‖ **588** *τις* **P**: *τις ἡμῶν* **B** | *φύσιν* **B**: *τὴν φύσιν* **P** ‖ **589** *εἰσόμεθα* **P**: *πεισόμεθα* (ex *ἐπ-* corruptum?) **B** ‖ **590** *προωμολογημένως* **B**: *προσωμολόγηται ἢ* **P** | *προσηγόρευται* **P**: *ὑπηγόρευται* **B** ‖ **591** *ο̄* **P**: *μικρῷ* [*ο̄* …]*ῥες* (?) evan. **B** | *νόες* **P**: *νοῖ* **B** | *ἀμφότερα* **P**: *-αι* **B**

ἐκεῖνο μὲν μικρὸν καὶ μετέχον, τοῦτο δὲ μέγα καὶ μόνως ἀμέθεκτον – ἤ, ᾧ καὶ μᾶλλον προστίθεμαι, οὐ πρός τι συγκριτικῶς μέγα ὠνόμασται, ἐπεὶ μηδὲ σύγκρισιν ὑποφαίνει τὸ ὄνομα, ἀλλ' ὅτι μέγα ἁπλῶς ἀσυγκρίτῳ τῶν ὄντων ἀξιώματι ὑπερκείμενον. τοῦτο γοῦν καὶ πέρας 595 *ἐστὶ πάσης φύσεως καὶ ὑπὲρ τοῦτο οὐδέν ἐστιν, ἀλλ' ὥσπερ ἡ ἀπλανὴς τῶν σωμάτων ἁπάντων πέρας καθέστηκε καὶ ὅρος ἐστὶ τῶν τε πλανωμένων σφαιρῶν καὶ τῶν ἀπλανῶν. ἐκπέφευγε δὲ καὶ τὴν ἐν τόπῳ θέσιν τῷ μὴ πρός τινος περιέχεσθαι. οὕτω δὴ καὶ τὸ μέγα ω̄ οἷόν τις μεγίστη περιοχὴ πάντων τῶν ὄντων ἐστίν, ὅσα τε αἰσθητὰ καὶ* 600 *ὅσα δὴ νοερά. διὰ τοῦτο γὰρ καὶ δὶς ἐσφαίρωται, ὅτι καὶ τὴν ἀπλανῆ περιέχει. μέγα δὲ οὐχ ὅτι ἐμμέγεθες καὶ πολυμερές, εἰ καὶ τῷ ποσῷ προσκεχρήμεθα, ἀλλ' ὅτι ὑπερμέγεθες καὶ πάντων περιληπτικὸν καὶ τῶν ὄντων οὐδέν. αἱ δὲ περιοχαὶ κατὰ μὲν τὴν πρεσβυτέραν χεῖρα τὴν ἁπλουστέραν τε καὶ λιτὴν ἠνεῳγμένως ἐκφέρονται οἷόν τινα δύο τοῦ* 605 *βραχέος σημεῖα, κατὰ δὲ τὴν νεωτέραν πάντῃ ἐσφαίρωνται. τίνας οὖν πρὸς ἀμφοτέρας τὰς χεῖρας ἐννοίας ἁρμόσομεν; καὶ ὅτι τὸ πρώτως ἀγαθὸν κατ' αὐτὸ τὸ ἀγαθὸν εἶναι δημιουργῆσαν τὸν ἄνθρωπον καὶ ὡς ἐνῆν τὸ οἰκεῖον ἀξίωμα ἐν τούτῳ ἀπεικονισάμενον μεθεκτὸν αὐτὸν πάντων τῶν ὄντων ὑπὲρ φύσιν ποιῆσαι ἐβούλετο. διὰ τοῦτο οἷον ἠνέῳ-* 610 *κτο προσκαλούμενον πρὸς ἑαυτὸ τὸ πλάσμα πρὸς τὴν τῆς ὅλης τελειότητος μέθεξιν. ἐπεὶ δὲ ἀπατηθεὶς ἐκεῖνος τῆς νοερᾶς ζωῆς τὴν αἰσθητὴν ἀντηλλάξατο, ἐκλείσθησαν οἱ κρατῆρες τοῦ νάματος, καὶ διὰ τοῦτο ἐκ μέρους γινώσκομεν καὶ ἐκ μέρους καταλαμβάνομεν. ἡ γὰρ ὁλότης ἐγκέκρυπται τῷ μεγάλῳ ω̄, ἔσται δὲ ἡ γνῶσίς ποτε πρόσωπον* 615 *πρὸς πρόσωπον ὡς ἐπηγγέλμεθα, τέως δὲ νῦν ἡ τελειότης ἐγκέκλεισται ἐν τῷ στοιχείῳ τούτῳ τῆς γνώσεως. κἂν γάρ τις τὸν ἀέρα περάσειε καὶ τὰς μετ' αὐτὸν σφαίρας, κἂν ἐπὶ τοῦ νώτου τῆς ἔξω περιφορᾶς στῇ, κἂν ὑπὲρ τοῦτον προβῇ, κἂν ὁποιδήποτε χωρήσειε, τὸ μέγα οὐ παρελεύσεται ω̄. ὃ δὴ καὶ τρίτον ὑπερβέβηκεν οὐρανὸν καὶ* 620 *τὸν ἕβδομον καὶ ὅρος ἐστὶ πάντων ὁρισμῶν καὶ πέρας περάτων, ἐντὸς*

614 et **615–616** I Cor. 13, 12 ‖ **618–619** Pl. Phaedr. 247 b 7–c 1

592 *μικρὸς* **P B**: correxi | *καὶ*[1] **B**: *ἢ* **P** | *μετέχων* **P B**: correxi | *μέγα* **P**: *μέγας* **B** | *μόνως* **P**: *μόνον* ut vid. **B** | *ἀμέθεκτοι* ut vid. **P B**: correxi ‖ **595** *τῶν ὄντων* **B**: *τῶ ὄντι* **P** ‖ **597** sq. *τε πλανωμένων* **B**: *πεπλανωμένων* **P** ‖ **602** *περιέχει* **B**: *περι* et spat. vac. 3/4 litt. **P** ‖ **606** *οὖν* **P**: *γοῦν* **B** ‖ **607** *καὶ*] leg. *ἢ*? ‖ **609** *ἐν τούτω* **P**: om. **B** ‖ **610** *ἠνέωκτο* **P**: *ἠνέωκται* **B** ‖ **611** *πρὸς*[1] **P**: *εἰς* **B** | post *πλάσμα* add. *προκαλου* (?) **B** | *τῆς ὅλης τελ.* **P**: *τελ. τῆς ὅλης* **B** ‖ **615** *ἐγκέκ. τῶ μεγάλω* **P**: *τῶ μεγάλω ἐγκέκ.* **B** ‖ **616** *ὡς* **P**: om. **B** ‖ **617** *κἂν* **P**: *ἐὰν* **B** ‖ **618** *καὶ* **P**: *κἂν* **B** | *τοῦ νώτου* ut vid. **B**: *τὸν νῶτον* **P** ‖ **619** *τοῦτον* **P**: *τοῦτο* ut vid. **B** | *ὁποιδήποτε* **P**: *ὁπηδήποτε* **B** ‖ **620** *οὐρανὸν* … **621** *ἕβδομον* **P**: om. **B**

ἑαυτοῦ πάντα συγκλεῖον καὶ σπαργανοῦν καὶ μηδὲν ἔχον πρεσβύτερον ἢ ὑψηλότερον.

Ἐπεὶ γοῦν ἀπόρρητά τε καὶ ἄρρητα τὰ ἐν τούτῳ περιεχόμενα, μηδ' 625 ἡμεῖς τὰ ἐν τοῖς βάθεσι κρυπτόμενα ἀνιχνεύσωμεν, ἀλλ' ἄχρι τοῦ σχήματος στήτω χωρήσας ὁ λόγος ἡμῖν. καὶ ἐπειδὴ πρὸς τῷ πέρατι τῶν ὄντων γεγόναμεν, πέρατι δὴ καὶ ἡμεῖς τὸν λόγον περιλαβόντες ἐνταῦθα στήσωμεν τὴν ἐξέτασιν, τοσοῦτον δὴ ὑπειπόντες, ὅτι μὴ πρὸς τὴν φύσιν τῶν στοιχείων, ἀλλὰ πρὸς τὴν νῦν ἀκοὴν τὸν λόγον παρεμε- 630 τρήσαμεν. εἰ δέ τι καὶ τῶν τελείων παρατεθείκαμεν, ἐν τύπῳ τοῦτο παρεχαράξαμεν καὶ εἰκάσματι καὶ διττὸν τοῦ λόγου τὸ σῶμα ἐπλάσαμεν, καλὸν ὡς ἂν καὶ αὐτὸς φαίης καὶ κάλλιστον, τὸ μὲν οἷόν τισι χρώμασι τῇ τῆς ἑρμηνείας λειότητι περιανθίσαντες καὶ ταῖς λέξεσι, τὸ δὲ καὶ καταπυκνώσαντες τοῖς νοήμασιν, ἵν' ὁ μὲν μετ' αἰσθήσεως νοῦς 635 τῷ φαινομένῳ τοῦ λειμῶνος ἀγάλληται, ὁ δ' ἐπιστρέφων πρὸς ἑαυτὸν πρὸς τὸ κρυπτόμενον ἐμβαθύνων ὡραιότερον δρέποιτο τοῦ καρποῦ. ἔγωγε οὖν πολλάκις πολλοὺς μὲν καὶ ἄλλους λόγους ἐγεννησάμην, οὐδένα δὲ τόκον ὡς τοῦτον εἰσεποιησάμην, ὃν δὴ ἐν μιᾷ νυκτὶ καὶ ὠδίνησα καὶ ἀπέτεκον. εἰ μὲν οὖν οὕτω φανείη καὶ σοί, βεβαιοῦται καὶ ἡ 640 κρίσις ἡμῖν, εἰ δ' οὖν, ἀλλ' ἡμεῖς γε οὐ χείρους τῶν πιθήκων ἐσμὲν οὐδὲ οὕτω μισότεκνοι, ἀλλὰ τὸ οἰκεῖον γέννημα, ὅσον γε μᾶλλον μὴ στέργηται παρ' ἄλλων, περιεξόμεθα.

37

[Fragmentum de materia]

Ἡ ὕλη μήτηρ τῶν εἰδῶν καὶ τιθηνὸς λέγεται· καὶ γὰρ καὶ αἱ τῶν (426r) ζῴων μητέρες κατὰ τὸν λόγον τὸν τὸ 'τί ἦν εἶναι' σημαίνοντα τοὺς λόγους ἅπαντας ἔχουσι τῆς γενέσεως διὰ τῶν παρὰ τῶν ἀρρένων 5 καταβαλλομένων γονῶν ἐν τοῖς κατὰ τὰς μήτρας ὑγροῖς.

637 *λόγους ἐγεννησάμην*] Syn. Ep. 1 (p. 3, 1); cf. Psell. apud Boiss. 176, 10 || 640–642 cf. Babr. Fab. 56; Syn. Ep. 1 (p. 4, 10–13); Psell. apud Boiss. 176, 6–9
37 O 426r || 2 cf. supra 7, 15

622 *ἑαυτοῦ* **B**: *ἐνιαυτοῦ* **P** || 624 *γοῦν* **P**: *οὖν* **B** | *τὰ* Wk.: *καὶ* **P B** || 632 *καὶ*[1] **B**: spat. vac. 3 litt. **P** || 632 sq. *τισι χρώμασι* **B**: *τινι χρώματι* **P** || 633 *περιανθίσαντες* **B**: *-ήσ-* **P** || 637 *οὖν* **P**: *γοῦν* **B** | *μὲν* **P**: om. **B** | *ἐγεννησάμην* **P**: *ἐνεγκυμόνησα* **B** || 640 *χείρους* **P**: *ἥσσους* **B** || 641 *ὅσον* **P**: *ὅσῳ* **B** || 642 *περιεξόμεθα* **B**: *περιεψόμεθα* **P**
37 3 *σημαίνεται* **O**: corr. Wk. || 4 *περὶ* **O**: correxi || 5 *μήτερας* ut vid. **O**: corr. Hansen

38

(295) *Περὶ ὀνείρων*

Τὸ περὶ τῶν ἀληθινῶν ὀνείρων καὶ τῶν ψευδῶν ζήτημα ἐπεχείρησα μέν σοι καὶ πρότερον διαλύσασθαι, οὐ μὴν εἰς τέλος ἀφικόμην σοι τῆς ἀκριβοῦς διαλύσεως· ἀλλὰ νῦν σοι κεφαλαιωδῶς ὁπόσα τῷ τόπῳ διαπορεῖται ἐξακριβώσομαι. 5

Οὐχ ἡ αὐτή ἐστιν ἡ τῆς ψυχῆς ζωὴ καὶ ἡ τοῦ συνθέτου, ἀλλ' ἡ μὲν 296 *οὐσιώδης τέ ἐστι καὶ | καθ' ἑαυτήν, ἡ δὲ ἔλλαμψις ἀπὸ ταύτης καὶ οἷον εἴδωλον ἀληθείας. καὶ ἡ ἀπόλυτος δὲ ψυχὴ τοῦ σώματος ἢ κατὰ τὴν οἰκείαν ἐνεργεῖ φύσιν ἢ τὰς ἑαυτῆς μοίρας τῷ νῷ συνάψασα ὥσπερ ὑπὸ κυβερνήτῃ ἐκείνῳ κατὰ τοῦ νοητοῦ πελάγους ἀφίησι ἢ καὶ* 10 *τοῦτον ὑπεραναβᾶσα καὶ τῷ θεῷ προσχωρήσασα κρειττόνων καὶ ὑψηλοτέρων θεωριῶν καταπίμπλαται. ἐν τοίνυν τοῖς ὕπνοις εἰ μὲν ἡ θεία ψυχὴ ὥσπερ ὑπὸ σκότους τῶν σωματικῶν καλυπτομένη παθῶν ἀνεπαίσθητός ἐστι καὶ ἑαυτῆς καὶ τῆς νοερᾶς ἰδιότητος καὶ τῆς ὑπὲρ ταύτην θειότητος, ἀφάνταστος ὅλως τῆς ἀληθείας ἐστί, καὶ ἡ σωματι-* 15 *κὴ ζωή, εἴτε ἀπὸ τῶν μεθημερινῶν φροντίδων, εἴτε ἀπὸ τῶν ἀλογωτέρων ὀρέξεων, εἴτε ἀπὸ τῶν παντοίων περὶ τὴν ὕλην ταύτης κινήσεων, εἴτε ἀπὸ δαιμονίων φαντασμάτων ἢ καὶ ἐξ ἄλλων τοιούτων ἀφορμῶν, τὰ κατάλληλα τούτοις φαντάζεται. πολλάκις δὲ καὶ οἱ ἀπατηλοὶ δαίμονες προγνώσεσιν αὐτὴν μελλόντων πραγμάτων ἐξαπατῶν-* 20 *τες, ὧν οὐδ' αὐτοὶ τὴν κατάληψιν ἔχουσιν, ἀλλ' ἢ μόνον εἰκαστὴν ὑπόνοιαν, σύμβολα ταύτῃ ψευδῆ τῶν γενησομένων δῆθεν ὑποδεικνύουσιν. εἰ δὲ ἡ κρείττων ἐκείνη ψυχὴ ἄσχετος εἴη πρὸς τὰ χείρω, τριττὴν ἔχει τῶν ὄντων καὶ ἐσομένων τὴν ἀλήθειαν, ἐπεὶ καὶ εἰς τρεῖς τάξεις αὐτὴν διῃρήκαμεν· ἢ γὰρ ἑαυτῆς ἐστι μόνης ἢ συνῆπται τῷ νῷ ἢ καὶ* 25 *ὑπὲρ τοῦτον γεγονυῖα θεῷ προσκεκόλληται. εἰ μὲν οὖν τὸ ἑαυτῆς ἐνεργεῖ, ἐπειδὴ τοὺς λόγους ἔχει τῶν γινομένων, ἀπολυθεῖσα ἐν τοῖς* 297 *ὕπνοις | τοῦ σώματος τὴν οἰκείαν ἀνελίττει ζωήν, καὶ τά τε ὄντα οἶδε τῆς γενέσεως μέρη τά τε ἐσόμενα· οὕτω τοιγαροῦν μεταβολάς γε πραγμάτων μαντεύεται καὶ καταστάσεις βίων καὶ βασιλέων διαδοχὰς ἢ* 30

38 **a**[2] pp. 295–297 ‖ 10 *κυβερνήτῃ ἐκείνῳ*] cf. Pl. Phaedr. 247 c ‖ 16 *μεθημερινῶν φροντίδων*] cf. Iambl. Myst. 3, 2, 5 ‖ 19–22 cf. Psell. Phil. min. II 158, 8–26

38 1 tit. ex Taur. 331: om. **a**[2] ‖ 2 sq. *ἐπεχειρίσαμεν* **a**[2]: corr. Gautier ‖ 23 *κρειττόνων* **a**[2]: corr. Wk.

ἀρχὰς καὶ ὅσα τοιαῦτα. εἰ δὲ συνοδεύοι τῷ νῷ καὶ ὑφ' ἡγεμόνι ἐκείνῳ τάττεται, τὰ κρείττονα ἐν τοῖς ὕπνοις ὁρᾷ, διακόσμους ἀγγελικῶν τάξεων, φύσεις ἀκινήτους, νοερὰς καταστάσεις, θεοπρεπεῖς ἰδιότητας. εἰ δὲ θεῷ ἑνωθείη τὰς ἑαυτῆς πάσας δυνάμεις συμπτύξασα, τὰ κρείττονα
35 *ἔτι μυεῖται καὶ ἀπορρητότερα, λόγους προνοίας, δικαιώματα καὶ κρίσεις, ὑπερφυεῖς ἐλλάμψεις, καὶ ὅλως ἐπίπνους τῷ ὑπὲρ νοῦν κρείττονι καταστᾶσα πνεύματι τῶν ὑπερφυῶν ἔχει τὴν δήλωσιν.*

Σκεπτέον δέ σοι καὶ τοῦτο ἐν τοῖς ὀνείροις, εἰ ἐπακολουθεῖ τοῖς ὁρωμένοις ἡ ψυχή, εἰ οἶδεν ὅτι μεμύηται, εἰ δοκεῖ φῶς ὁρᾶν, εἰ οἴεται
40 *πνεῦμα αὐτὴν ἔξωθεν περιθεῖν ἀναφὲς καὶ ἀσώματον, εἰ ταῖς μακαρίαις θέαις συναγάλλεται καὶ ἐπαίρεται. εἰ μὲν γὰρ οὕτως ἔχει, θεοπέμπτοις ὀνείροις ἐπιτρυφᾷ· εἰ δὲ βεβύθισται τὰς ἑαυτῆς ἀκτῖνας καὶ ἀγνοεῖ τὴν ἰδίαν ἐνέργειαν, πεπλάνηται περὶ τὰ ἐνύπνια. καὶ τοῦτο δὲ ἴδιον τῶν ἀληθεστέρων ὀνείρων· ὁμαλή πως αὐτῶν ἐστιν ἡ συνέχεια*
45 *καὶ ὁμόλογος τοῖς οἰκείοις μέρεσι· τὰ δέ γε ψευδῆ φαντάσματα πολὺν μεταξὺ τὸν ταραγμὸν καὶ τὴν ἀνομοιότητα κέκτηται.*

39

[Quaestio de supplicio aeterno et creatione divina]

Εἰ τὸ ἐν κολάσει διηνεκεῖ εἶναι τοῦ μηδόλως εἶναι πολλῷ χαλεπώτερον, πῶς ὁ θεὸς τοὺς ἐν ἁμαρτίαις, φασί, μέλλοντας τὸν βίον κατατρίβειν παρήγαγε, τὸ χεῖρον ἢ τὸ ἄμεινον προελόμενος; (301)

5 *Ὁ τοὺς μέλλοντας ἁμαρτήσειν ἀξιῶν μὴ δεῖν προαγαγεῖν τὸν θεὸν ἢ οὐδόλως τὴν ἀνθρωπίνην φύσιν νομοθετεῖ ἢ ἄτρεπτον αὐτὴν προαχθῆναι καὶ ἀναλλοίωτον. τὸ δέ ἐστιν ἢ σύμπαν τὸ ἀνθρώπινον γένος τῆς δημιουργίας διατεμεῖν ἢ ἀπαιτεῖν θεοῦ φύσιν ἔχοντα τὸν ἄνθρωπον προελθεῖν· ὧν ἑκάτερον εἰς ὅσον ἀπονοίας καὶ δυσσεβοῦς ἥκει γνώ-*
10 *μης, αὐτόθεν ἐστὶν ἰδεῖν τὴν στήλην ἱσταμένην ἀνεξάλειπτον. χωρὶς δὲ τῶν εἰρημένων ὁ λέγων, διότι ἔμελλόν τινες τῶν ἀνθρώπων εἰς ἁμαρτίας ἐξολισθαίνειν, διὰ τοῦτο ἔδει τούτους μηδὲ γενέσθαι, ὁ τοιοῦτος οὐδὲν ἕτερον λέγει ἢ ὅτι ἔδει τὴν ἁμαρτίαν καὶ μήπω γεγενημένην τῆς τοῦ θεοῦ δημιουργίας ἐπικρατεῖν. εἰ γὰρ ὅτι ἔμελλόν τινες ἁμαρτάνειν*

40 *πνεῦμα – ἀσώματον*] cf. Iambl. Myst. 3,2,14 || **41** sq. *θεοπέμπτοις ὀνείροις*] 3,2,8
39 a² 301ᵛ–302ʳ

36 *τῷ* Wk.: *τῶν* **a²**

ἔδει τὴν ἐπ' αὐτοὺς δημιουργίαν πεπαῦσθαι τοῦ θεοῦ, δῆλον ὅτι τὸ 15
κράτος τῆς ἁμαρτίας ἂν εἴη ἢ τῆς ἐνεργείας τοῦ θεοῦ. οὐδὲ ταύτης δὲ
τῆς ἀνοίας ἀπολύεται ὁ ψῆφον εἰσάγων, ὅτιπερ τοὺς μέλλοντας ἁμαρ-
τάνειν ἐχρῆν μηδόλως παρὰ τοῦ δημιουργοῦ γενέσεως μετασχεῖν ἢ
302 *πρὸς αὐγὰς ἡλίου προαχθῆναι· | ἔοικε γὰρ ὁ τοιοῦτος δυσχεραίνειν*
μὲν ἐάν τις ἁμαρτὼν δίκην δῷ, φιλονεικεῖν δὲ παρὰ τῶν μηδὲν μη- 20
δέπω ἁμαρτησάντων τιμωρίαν λαβεῖν. τοῦτο γάρ ἐστι τὸ τοὺς μέλλον-
τας ἁμαρτάνειν γενέσεως καὶ ὑπάρξεως ἀποστερεῖν καὶ τῆς δημιουρ-
γίας ἐκκόπτειν τοῦ θεοῦ, ἀλλὰ γὰρ καὶ ἀπὸ τῆς θείας προγνώσεως,
καταδικάζειν μὲν βούλεσθαι τοὺς ἁμαρτήσοντας, ἐν αὐταῖς δὲ ταῖς
πράξεσι γεγενημένους ζητεῖν ἀφίεσθαι τῶν κολάσεων, ὅπερ οὔτε ἀν- 25
θρώπινον οὔτε θεῖον ἐπίσταται δίκαιον. καὶ τὸ μὲν πρὸ τῶν ἁμαρτη-
μάτων μηδένα δίκην ἀπαιτεῖν κοινή τε πᾶσιν ἀνθρώποις κρίσις καὶ
θείοις νόμοις ἁρμόδιον· ἀπαιτεῖν δὲ μετὰ τὴν ἀνεπίστροφον ἁμαρτίαν
τὴν δίκην τῆς θείας μισοπονηρίας καὶ δικαιοσύνης ἀπόδειξις. πῶς οὖν
ἄν τις μελετήσας, ἃ μὲν πᾶσι δοκεῖ, τούτων τἀναντία φρονεῖν, ἃ δὲ 30
μισοπόνηρον καὶ δίκαιον δείκνυσι τὸν θεόν, ταῦτα μὴ ἀνέχεσθαι τι-
μᾶν, εἶτα οὗτος οὐχὶ τῆς ἐσχάτης καὶ παραπληξίας καὶ δυσσεβείας
αὐτὸς ἑαυτὸν ἔνοχον ποιεῖ;

40

(410r) *Περὶ Ἅιδου*

Τὸν Ἅιδην, περὶ οὗ ἠρώτησας, εἴ τίς ἐστιν ἑτέρα δόξα Ἑλληνικὴ
περὶ αὐτοῦ ὧν φθάσας ⟨ἤκουσας⟩, οὔτε κρείττονα φύσιν ὁ Πορφύριος
οἴεται ἐν ταῖς περὶ τῶν νοητῶν ἀφορμαῖς οὔτε χῶρόν τινα ὑπόγειον,
ἐν ᾧ ἐπιχωριάζειν οἴονται οἱ πολλοὶ τὰς ψυχάς, ἀλλ' ἄτοπόν τινά φησι 5
περὶ τούτου λόγον. τὸ γὰρ πνεῦμα, ὅπερ ἡ ψυχὴ ἐκ τῶν σφαιρῶν συν-
ελέξατο καὶ χιτῶνα ἑαυτῇ ἐποιήσατο, ἵνα διὰ τούτου μέσον τῷ παχεῖ
συμπλακῇ σώματι, ὅπερ δὴ καὶ εἰδώλου τύπον τῇ λογικῇ ὑποσῴζει
ψυχῇ, τοῦτο ἐκεῖνος τὸν Ἅιδην τίθεται, ἀπὸ τοῦ ἀειδῆ καὶ σκοτεινὸν
εἶναι τὴν φύσιν τοῦ πνεύματος τὸ ὄνομα θέμενος. ἐξελθούσῃ γὰρ 10
αὐτῇ, φησι, τοῦ στερεοῦ σώματος τὸ πνεῦμα τοῦτο συνομαρτεῖ. ἐκ δὲ

40 **O** 410r ‖ 6-7 Porph. Sent. 29 (p. 18, 7) ‖ 9 *ἀειδῆ καὶ σκοτεινὸν*] Porph. p. 18, 12–13 ‖ 10-15 p. 18, 6–12

40 2 *εἴ τίς* Wk.: *ἥτις* **O** ‖ 3 *ἤκουσας* add. Wk. ‖ 7 leg. *μέσου*? ‖ 11 *τούτῳ* **O**: correxi: non habet Porph.

τῆς πρὸς τὸ σῶμα προσπαθείας τὸν λόγον ἔχουσα τὸν μερικὸν προβεβλημένον, καθὸ σχέσιν ἔσχε πρὸς τὸ τοιόνδε σῶμα, ἐναπομόργνυται τὸν τύπον τῆς φαντασίας εἰς τὸ πνεῦμα καὶ οὕτως ἐφέλκεται τὸ
15 *εἴδωλον.*

Ἐπεὶ δὲ διήκει τὸ βαρὺ πνεῦμα καὶ ἔνυγρον ἄχρι τῶν ὑπογείων τόπων, οὕτως καὶ αὐτὴ λέγεται χωρεῖν ὑπὸ γῆν, οὐχ ὅτι ἡ αὐτῆς οὐσία μεταβαίνει τόπους ἢ ἐν τόποις γίνεται, ἀλλ' ὅτι τῶν πεφυκότων σωμάτων τόπους μεταμείβειν σχέσεις ἀναδέχεται. καὶ ὡς ἂν διατεθῇ,
20 *εὑρίσκει σώματα τόποις οἰκείοις διωρισμένα. διὸ καθαρώτερον μὲν διακειμένῃ σύμφυτον τὸ ἐγγὺς τοῦ ἀύλου σώματος, ὅπερ ἐστὶ τὸ αἰθέριον, προελθούσῃ δὲ ἐκ λόγου εἰς φαντασίας προβολὴν σύμφυτον τὸ ἡλιοειδές, θηλυνθείσῃ δὲ καὶ παθαινομένῃ πάρεστι τὸ σεληνοειδές, πεσούσῃ δὲ εἰς τὸ σῶμα, ὅταν κατὰ τὸ αὐτῆς ἄμορφον στῇ εἶδος, ἐξ*
25 *ὑγρῶν ἀναθυμιάσεων συνεστηκός, ἄγνοια ἕπεται τοῦ ἐντὸς τελεία καὶ σκότωσις.*

Καὶ μὴν καὶ ἐν τῇ ἐξόδῳ ἔτι κατὰ τὴν δίυγρον ἀναθυμίασιν τὸ πνεῦμα ἔχουσα τεθολωμένον σκιὰν ἐφέλκεται καὶ βαρεῖται, χωρεῖν σπεύδοντος τοῦ τοιούτου πνεύματος εἰς μυχὸν γῆς φύσει. καὶ ὥσπερ
30 *τὸ γεῶδες ὄστρεον περικειμένῃ ἀνάγκη ἐπὶ γῆς ἐνίσχεσθαι, οὕτω καὶ ὑγρὸν πνεῦμα ἐφελκομένῃ εἴδωλον περικεῖσθαι ἀνάγκη. ὑγρὸν δὲ ἐφέλκεται τοῦτο, ὅταν συνεχῶς ὁμιλεῖν τῇ φύσει μελετήσῃ. ὅταν δὲ μελετήσῃ ἀφίστασθαι, αὐγὴ ξηρὰ γίνεται καὶ ἄσκιος καὶ ἀνέφελος, 'αὐγὴ δὲ ξηρὰ ψυχὴ σοφωτάτη' καθ' Ἡράκλειτον ὡς τοῦ σώματος ὃ*
35 *ἐφέλκεται αὐγοειδοῦς ὄντος οὐ χαλεπῶς, ἀλλ' ὅταν ᾖ σοφὴ ἡ διάθεσις, ὥσθ' ἕπεται τῇ ἀμαθίᾳ νέφος καὶ σκιὰ καὶ εἴδωλον ἐκ τῆς προσπαθείας.*

Ἐν Ἅιδου τοιγαροῦν λέγεται ἡ ψυχὴ εἶναι, ὅταν προεστήκοι εἰδώλου φύσιν μὲν ἔχοντος εἶναι ἐν τόπῳ, σκότιον δὲ τὴν ὑπόστασιν
40 *κεκτημένου. ταῦτα οὐκ ἐγώ φημι – μὴ γὰρ ἂν οὕτω μανείην –, ἀλλ' ὁ τερατολόγος Πορφύριος, ὃς δὴ πρῶτος καὶ μάλιστα τὰς Ἑλληνικὰς δόξας οὐκ ἠκριβώσατο μόνον, ἀλλὰ καὶ ματαιότερον ἐξειργάσατο.*

16–33 p. 18, 14–20, 5 ‖ **34** fr. B 118 Diels-Kranz ‖ **38–39** Porph. p. 18, 1–3

13 *καθ' ὃν* Porph. ‖ **19** *μεταμείβειν*] *μεταβαίνειν* Porph. ‖ **21** *σώματος*] immo *σῶμα* (Porph.) ‖ **22** *φαντασίας* Porph.: *-ίαν* **O** ‖ **25** *ἐντὸς*] immo *ὄντος* (Porph.) ‖ **29** *γῆς* Porph.: *γῇ* **O** ‖ **35** *ὄντος* Porph.: *ὄντως* **O**

41

(272r) *Περὶ αἰῶνος καὶ χρόνου*

Ὁ μὲν ἡμεδαπὸς θεολόγος Γρηγόριος τὸν αἰῶνα ὅ τί ποτέ ἐστιν ὁρι-
ζόμενος, π[ρῶτον λέγειν] φαίνεται ὃ οὐκ ἔστιν, ἀναιρῶν τὸ ὑποπτευό-
272v μενον, εἶτα τίθεται [ὅπερ ἐστίν. 'αἰὼν'] | γάρ φησιν, 'οὔτε χρόνος οὔτε
χρόνου τι μέρος – οὐδὲ γὰρ μετρητόν –, ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος 5
ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀιδίοις αἰών, τὸ συμπαρεκτεινόμε-
νον τοῖς οὖσιν οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα.'

Οἱ δέ γε τῶν Ἑλλήνων σοφοὶ αἰῶνα οὐ τὸ ὑποκείμενόν φασι μόνον,
ἀλλὰ καὶ τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου οἷον ἐκλάμπον κατ' αὐτὴν τὴν
τοῦ ἤδη ὄντος ταυτότητα· ὃ γὰρ ἄν, φασι, μήτε ἦν μήτε ἔσται, ἀλλ' 10
ἔστι μόνον, ἑστὼς ἔχον τὸ εἶναι τῷ μὴ μεταβάλλειν εἰς τὸ μέλλον μηδ'
αὖ μεταβεβληκέναι, τοῦτό ἐστιν ὁ αἰών. ἡ τοίνυν περὶ τὸ ὂν ἐν τῷ
εἶναι ζωὴ ὁμοῦ πᾶσα καὶ πλήρης καὶ ἀδιάστατος, τοῦτο ὃ δὴ ζητοῦ-
μεν αἰών. οὐ τοίνυν αἰὼν ἡ νοητὴ οὐσία οὐδὲ ἡ στάσις ἡ ἐκεῖ· ὁ γὰρ
αἰὼν οὐκ ἐν στάσει μόνον, ἀλλὰ καὶ ἐν ἑνὶ καὶ ἀδιάστατος καὶ μετέχει 15
στάσεως, οὐκ αὐτὸς δὲ στάσις ἐστίν. οὐ τοίνυν ὁ ἕκαστον τούτων
ἰδών, οἷον νοητὴν οὐσίαν, στάσιν, ἀιδιότητα, ταυτότητα, αἰῶνα εἶδεν,
ἀλλ' ὁ πάντα συναγαγών – καὶ τὸ μὲν οἷον ὑποκείμενον λέγει οὐσίαν,
εἶτα κίνησιν τοῦτο καθ' ὃ ζωὴν ὁρᾷ, εἶτα στάσιν τὸ πάντῃ ὡσαύτως
καὶ ἀδιαστάτως – πάντα ἰδὼν οὗτος εἶδεν αἰῶνα ζωὴν μένουσαν ἐν 20
τῷ αὐτῷ, ἀεὶ παρὸν τὸ πᾶν ἔχουσαν, ἀλλ' οὐ νῦν μὲν τόδε, αὖθις δὲ
ἕτερον, ἀλλ' ἅμα πάντα, οἷον ἐν σημείῳ ὁμοῦ πάντων ὄντων καὶ οὔ-
ποτε εἰς ῥεῦσιν προϊόντων. ἡ τοίνυν τοῦ ὄντος παντελὴς οὐσία καὶ
ὅλη, τοῦτο ἂν εἴη αἰών· αἰὼν γὰρ ἀπὸ τοῦ ἀεὶ ὄντος ὠνόμασται. εἰ δὲ
μὴ ἀφίσταιτό τις αὐτοῦ τῆς θέας, ἀλλὰ συνὼν εἴη τῆς φύσεως ἀγασ- 25
θεὶς καὶ δυνατὸς τοῦτο πράττειν ἀτρύτῳ φύσει, δραμὼν καὶ αὐτὸς εἰς
αἰῶνα ἔσται οὐκ ἀποκλίνων οὐδαμῇ, ἵν' ᾖ ὅμοιος καὶ αἰώνιος τῷ ἐν
αὐτῷ αἰῶνι τὸν αἰῶνα καὶ τὸ αἰώνιον θεώμενος. εἰ οὖν τὸ οὕτως ἔχον

41 P 272r–273r || **4** *φησιν*] Greg. Naz. Or. 38, PG 36, 320 B (= Or. 45, 528 C) || **8-10** Plot. III 7,3,24–26 || **10-14** III 7,3,34–38 || **14-16** III 7,2,31–36 || **15** *ἐν ἑνὶ*] Pl. Tim. 37 d 7 || **18-23** Plot. III 7,3,8–20 || **23-24** III 7,4,37–43 || **24-32** III 7,5,7–18

41 3 *πρῶτον λέγειν* evan.; partim sec. Benakis scripsi || **4** *ὅπερ ἐστίν* temptavi | *αἰὼν* e Greg. Naz. supplevi || **10** *ἄν*] *ὄν* Benakis: fort. delendum || **11** *μέλλον*] *ἔσται* Plot. || **23** *ῥύσιν* Plot. || **28** *αἰῶνι*] *αἰωνίῳ* Plot.

αἰώνιον, τὸ μὴ ἀποκλῖνον εἰς ἑτέραν φύσιν κατὰ μηδέν, ζωὴν ἔχον, ἣν
30 *ἔχει πᾶσαν ἤδη, εἴη ἂν ἀίδιον, ἀιδιότης δὲ ἡ τοιαύτη κατάστασις τοῦ ὑποκειμένου ἐξ αὐτοῦ οὖσα καὶ ἐν αὐτῷ, αἰὼν δὲ τὸ ὑποκείμενον μετὰ τῆς τοιαύτης καταστάσεως ἐμφαινομένης. ἡ δὲ τοῦ αἰῶνος φύσις παγκάλη καὶ ἀίδιος περὶ τὸ ἓν καὶ ἀπ' ἐκείνου καὶ πρὸς ἐκεῖνο καὶ ζῶσα κατ' ἐκεῖνο καὶ ἐν ἐκείνῳ. καὶ εἴρηται τοῦτο, οἶμαι, τῷ Πλάτωνι*
35 *καλῶς καὶ βαθείᾳ τῇ γνώμῃ. οὐκ ἄρα διαστήσεις τὸν αἰῶνα οὐδὲ ἐξελίξεις οὐδὲ παρατενεῖς· ὅταν γὰρ τὸ ἀεὶ [λ]έγωμεν περὶ τοῦ αἰῶνος, ἕνεκα τῆς σαφηνείας τὸν λόγον ποιούμεθα. ἐπεὶ τό γε ἀεὶ οὐ κυρίως κατὰ τοῦ αἰῶνος λέγοιτο, ἀλλὰ ληφθὲν εἰς δήλωσιν τοῦ ἀφθάρτου πλανᾷ τὴν ψυχὴν ὡς εἰς ἔκβασιν εἰρημένον τοῦ πλείονος. βέλτιον οὖν*
40 *οὐκ ἀεὶ ὂν τὸν αἰῶνα, ἀλλὰ μόνον ὂν λέγειν. πᾶν οὖν καὶ ὂν καὶ κατὰ πᾶν ἀνενδεὲς καὶ οὐ ταύτῃ μὲν πλῆρες, ἄλλῃ δ' ἐλλεῖπον ἡ τοῦ αἰῶνος φύσις ἐστί.*

Τοιαύτην μὲν οὖν περὶ τοῦ αἰῶνος οἱ παρ' Ἕλλησι φιλοσοφήσαντες ἔσχον διάνοιαν. τὸν δὲ χρόνον οὔτε τὴν σύμπασαν ἔφασαν κίνησιν
45 *οὔτε τὴν τοῦ παντὸς οὔτε τὸ κινούμενον· εἰ γὰρ μὴ κίνησις τῆς σφαίρας ὁ χρόνος, σχολῇ γε ἂν ἡ σφαῖρα αὐτή. λέγοις δ' ἂν περὶ αὐτοῦ ὡδέ πως· ὡς πρότερον, πρὶν τὸ πρότερον δὴ τοῦτο γεννηθῆναι, ἐν τῷ ὄντι ἀνεπαύετο χρόνος· φύσεως δὲ πολυπράγμονος καὶ ἄρχειν αὐτῆς βουλομένης καὶ εἶναι αὐτῆς καὶ τὸ πλέον τοῦ παρόντος ζητεῖν ἑλο-*
50 *μένης, ἐκινήθη μὲν καὶ αὐτή, ἐκινήθη δὲ καὶ αὐτός, καὶ εἰς τὸ ἔπειτα ἀεὶ καὶ τὸ ὕστερον κινούμενοι, μῆκός τι τῆς πορείας ποιησάμενοι, αἰῶνος εἰκόνα τὸν χρόνον εἰργασάμεθα. ψυχὴ γὰρ ἀθρόον μὲν τὸ ὂν ὁρῶσα ἐν αἰῶνί ἐστιν, ἐξελίττουσα δὲ τὴν τοῦ ὄντος φύσιν, ὥσπερ ἐξ ἡσύχου σπέρματος, ἐχρόνωσεν οἷον αὑτήν, ἀντὶ τοῦ αἰῶνος χρόνον*
55 *ποιήσασα, καὶ κόσμον δημιουργήσασα αἰσθητὸν μιμήσει τοῦ νοητοῦ, κινούμενον κίνησιν οὐ τὴν ἐκεῖ, ὁμοίαν δὲ καὶ ἐθέλουσαν εἰκόνα ἐκείνης εἶναι, τὰς τοῦ χρόνου διεξόδους πάσας ἐν ἑαυτῇ περιέλαβεν· τὴν γὰρ ἐνέργειαν αὐτῆς παρεχομένη ἄλλην μετ' ἄλλην, εἶθ' ἑτέραν πάλιν ἐφεξῆς, ἐγέννα τε μετὰ τῆς ἐνεργείας τὸ ἐφεξῆς καὶ συμπροήει*
60 *μετὰ δια[νο]ίας ἑτέρας μετὰ τὴν πρώτην. διάστασις οὖν ζωῆς χρόνον εἶχε καὶ τὸ πρόσω ἀεὶ τῆς ζωῆς [χρόνον ἔχει ἀεὶ] καὶ ἡ παρελθοῦσα ζωὴ χρόνον ἔχει παρεληλυθότα. εἰ οὖν χρόνον τις λέγοι [ψυχῆς ἐν*

32-35 III 7,6,1-5 ‖ 34-35 Pl. Tim. 37 d 7 ‖ 35-40 III 7,6,15-27 ‖ 40-42 III 7,6,37-38 ‖ 44-45 III 7,7,22-24 ‖ 45-46 III 7,8,20-21 ‖ 46-73 III 7,11,11-62

39 *πλανᾷ*] *πλανῷ ἂν* Plot. ‖ 60 *διανοίας* sec. Plot. Benakis ‖ 61 *χρόνον* … *ἀεὶ* Plot. sequens Benakis ‖ 62 sq. *ψυχῆς* … *μετ* e Plot. Benakis

κινήσει μετ]αβατικῇ βίον ἐξ ἄλλου εἰς ἄλλον, δοκεῖ τι λέγειν· εἰ γὰρ αἰών ἐστι ζωὴ ἐν [στάσει καὶ τῷ αὐτῷ ὡσα]ύτως, εἰκόνα δὲ δεῖ τοῦ 273r *αἰῶνος τὸν χρόνον εἶναι, ἀντὶ μὲν κινήσεως | νοερᾶς ψυχῆς τινος μέ-* 65 *ρους κινήσεως μέτρον τὸν χρόνον οἰητέον, ἀντὶ δὲ ταυτότητος καὶ τοῦ ὡσαύτως καὶ μένοντος τὸ μὴ μένον ἐν ταὐτῷ, ἄλλο δὲ καὶ ἄλλο ἐνεργοῦν λογιστέον τὸν χρόνον, ἀντὶ δὲ ἀδιαστάτου καὶ ἑνὸς εἴδωλον τοῦτο τὸ ἐν συνεχείᾳ ἕν, ἀντὶ δὲ ἀπείρου καὶ ὅλου τὸ εἰς ἄπειρον πρὸς τὸ ἐφεξῆς ἀεί, ἀντὶ δὲ ἀθρόου τὸ κατὰ μέρος ἐσόμενον. δεῖ δὲ* 70 *οὐκ ἔξωθεν τῆς ψυχῆς λαμβάνειν τὸν χρόνον, οὐδὲ τὸν αἰῶνα ἐκεῖ ἔξω τοῦ ὄντος, οὐδὲ παρακολούθημα οὐδ' ὕστερον, ἀλλ' ἐνορώμενον καὶ ἐνόντα καὶ συνόντα, ὥσπερ κἀκεῖ αἰών.*

Ἀρχὴ οὖν χρονικῆς κινήσεως ψυχὴ τοῦ ὄντος τῇ πολυπραγμοσύνῃ ἐκστᾶσα καὶ ἑαυτὴν πρῶτον ἰδοῦσα καὶ οἷον μετρήσασα καὶ χρόνον ἐξ 75 *ἑαυτῆς ἀπογεννήσασα. εἰ οὖν ὑποθοίμεθα μηκέτι ἐνεργοῦσαν, ἀλλὰ παυσαμένην ταύτην τὴν ἐνέργειαν καὶ τὴν ἐνεργοῦσαν ψυχὴν ἐπιστραφεῖσαν πρὸς τὸν αἰῶνα, πέπαυται πάντως [τὸ χρο]νικὸν μέτρον, ἀναλυθείσης τῆς κινηθείσης καὶ κινησάσης ψυχῆς εἰς τὸν τοῦ αἰῶνος βυθόν, οὐχ ὅτι με[ταπ]εσεῖν δεῖ ταύτην εἰς ἑτέραν φύσιν ἀντὶ τῆς* 80 *ψυχῆς νοητήν, ἀλλ' ὅτι τὸ ἁρμοσθὲν πρὸς ὃ ἥρμοσε, φημὶ [δὴ] τὸν νοῦν, τῇ κοινωνίᾳ τῆς νοερᾶς φύσεως αἰώνιον ἐγεγόνει. ὁ μὲν γὰρ αἰὼν οἷον πρωτότυπον μὴ παράδειγμα, τὸ δὲ αἰώνιον δεύτερον ἐκεῖνο καὶ ἐν μετοχῇ τούτου λεγόμενον, ὥσπερ τὸ προαιώνιον πρὸ τοῦ αἰῶνός ἐστιν ἑστηκός.* 85

Ταῦτά σοι ἐκ τῶν Πλωτινείων ἀδύτων ἠρανισάμην ἐς ὅσον οἷόν τε μετὰ τοῦ σαφοῦς ἐξαγγείλας.

42

(64v) *Τοῦ αὐτοῦ ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο'*

Τοῦτο μάλιστα ῥητορικὸν ἐγὼ καὶ τεχνικὸν τίθεμαι, τὸ τὰς ἀπόρους τῶν ὑποθέσεων εὐπορωτέρας εἰς λόγων ἀποτελεῖν γέννησιν· οὐ γὰρ

76–78 III 7, 12, 8–11
42 P 64v–65v ‖ 1 Hom. Il. 4, 1

64 sec. Plot. suppl. Benakis ‖ 69 *τοῦτο*] *τοῦ ἑνὸς* Plot. ‖ 70 post *ἀθρόου* habet *ὅλου* Plot. ‖ 78 *τὸ χρονικὸν* partim evan.; suppl. Benakis ‖ 80 *μεταπεσεῖν* Benakis ‖ 81 *δὴ* scripsi: evan. **P**

θαυμάζομεν τὸν ἐκ πηγῆς δι' ἀμάρας ὕδωρ ὀχετηγοῦντα, ἀλλὰ τὸν ἐξ
5 *ἀποτόμου πέτρας ἐκθλίψαντα νάματα. ἔστι δὲ καὶ ἄλλο εἶδος τεχνικοῦ λόγου, μεταβολῆς ἔχον ποιότητα, ὥσπερ εἴ τις ἁλμυρὰ ὕδατα ἐργάσαιτο πότιμα. ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν πραγμάτων ἐθαυματούργει Μωσῆς, ἡμῖν δὲ ὁ λόγος ἰσχύει πρὸς τὴν μετάστασιν, ὅσαπερ τὸ ξύλον ἐκεῖνο πρὸς τὴν μετάθεσιν. καὶ σοφὸς οὐχ ὁ τὰ θεῖα κατὰ τὴν αὐτῶν*
10 *φύσιν ὑψ⟨ηλ⟩ολογούμενος, ἀλλ' ὃς καὶ τὰ ἐναντίως ἔχοντα εἰς θειοτέραν ἰδέαν μεταποιεῖ· οἶδα γὰρ ὡς οὐ τοσοῦτον τὰ Μυσῶν καὶ Φρυγῶν διέστηκεν, ὅσονπερ ὁ Ἑλληνικὸς καὶ ψευδὴς λόγος καὶ ὁ ἡμέτερός τε καὶ ἀληθής. εἰ δέ τις τὸ παρ' ἐκείνοις ἁλμυρὸν καὶ πικρὸν εἰς τὴν τοῦ ἡμετέρου λόγου μετασκευάζει γλυκύτητα, οὗτος ἐμοὶ σοφὸς καὶ σοφῶν*
15 *ὁ κάλλιστος.*

Ἵν' οὖν καὶ τὴν περὶ τούτων ἔχητε τέχνην, βραχύν τινα μῦθον Ἑλληνικὸν καὶ πάντῃ τοῖς ἡμετέροις λόγοις ἀπᾴδοντα εἰς τὴν θειοτέραν ἰδέαν μεταποιήσωμεν. ὁ δὲ τοῦ μύθου πατὴρ καὶ ὁ τῶν ἄλλων γεννήτωρ ποιητὴς Ὅμηρος. ἐκείνῳ γὰρ οὕτω δόξαν πεποίηνται οἱ θεοὶ
20 *παρακαθήμενοι τῷ Διὶ ἐν ἐδάφει χρυσῷ καὶ προσδιαλεγόμενοι τούτῳ καὶ οἷον συνευωχούμενοι καὶ τὰ μὲν πρὸς ἀλλήλους, τὰ δὲ πρὸς ἐκεῖνον φιλοφρονούμενοι καὶ αὖθις παρ' ἐκείνῳ τὰς δεξιώσεις λαμβάνοντες, καί τις παρ' αὐτοῖς Ἥβη τὸ νέκταρ οἰνοχοοῦσα ἐπιδεξίως ἅμα καὶ ἀσφαλῶς, οἱ δὲ ὁμοῦ τε τοῦ ἀθανάτου πεπλήρωνται πόματος καὶ*
25 *τὴν Τροίαν ὁρῶσι κακῶς ὑπὸ τῶν Ἀχαιῶν πάσχουσαν.*

Πρῶτον μὲν οὖν ὁ σύμπας λόγος ἐκτετραγῴδηται καὶ καταμεμύθευται, ὅτι μὴ μεγαλοπρεπῶς μηδὲ ὑψηλῶς τῷ ποιητῇ ἡ τῶν θεῶν συνουσία πεποίηται· θοίνη γὰρ τὸ πᾶν καὶ μέθη καὶ ἀκρασία. ἀλλ' ὅ γε τεχνικὸς λόγος δύναιτ' ἂν ὁπόσα καὶ βούλοιτο. διὰ ταῦτα οὐδ' ἂν
30 *ἡμεῖς ἀπορήσαιμεν λόγων τὸ τῆς ποιήσεως μυθῶδες μετατιθέντων καὶ ἀλληγορούντων τὸ πεπλασμένον εἰς τὴν ἀλήθειαν.*

Αὐτίκα τὸ τοῦ Ζηνὸς ὄνομα εὐφυῶς τῷ ποιητῇ πέπλασται καὶ ἑτοίμως ἔχει πρὸς ἀλληγορίαν ἀφορμῶν· παρῆκται γὰρ ἀπὸ τῆς ζωῆς· ζωὴ δὲ καὶ ταμίας ζωῆς τίς ἂν εἴη ἄλλος ἢ ὁ ἐπὶ πᾶσι θεὸς ὁ ἐν τοῖς
35 *εὐαγγελίοις εἰρηκὼς 'ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή'; ὑπεροχικὴν μὲν οὗτος καὶ τὴν οὐσίαν καὶ τὴν ζωὴν εἴληχε, καὶ οὐδεὶς αὐτῷ πεπλησίακεν ἢ πλησιάσει ποτέ. ἀλλ' ἐπειδὴ καὶ δημιουργός ἐστι, παράγων κατὰ λόγους καὶ μέτρα προόδων, ὥσπερ αὐτὸς οἶδε, τὰ ποιήματα, διὰ*

11 CPG I 377 || **19–25** Hom. Il. 4, 1–4 || **32–33** cf. Pl. Cra. 396 a 4–8 || **35** Io. 14, 6

10 *ὑψηλολογούμενος* Ioh. Diac. 420: *ὑψολογούμενος* **P** || **19** *πεποίηται* **P**

ταῦτα οὐκ ἀποξενοῖ τῆς πρώτης αἰτίας, ἀλλὰ συμβιβάζει πρὸς ἑαυτὸν καὶ ἀνάγει καὶ κοινωνοὺς τῶν θαυμασίων [αὐτοῦ ποιεῖται. ἡ τ]οίνυν 40 *κοινωνία ὧν ἐκεῖνος ἔχει ὑπερφυῶν καλῶν καὶ ἡ ἐπιστροφὴ τῶν κοινωνούντων [............] αἰτίαν, οὐκ ἂν ἄλλο εἴη ἢ συνουσία καὶ συνδιάλεξις· φωνὴν μὲν γὰρ οὐ προΐεται [............] κεχαρακτήρισται παρ' αὐτοῖς λόγος· ψυχὴ γὰρ ταύτης ἐδέησεν, ἵν' ἐκφήνειε τὰ* | 65ʳ *βουλεύματα, ὁ δὲ παντέλειος νοῦς οὐ δεῖταί τινος πρὸς τὴν ἔκφρασιν* 45 *ὧν ἔχει δυνάμεων. διὰ ταῦτα τῷ διαλεκτικῷ μὲν χαρακτῆρι οὐ κέχρηται, διαδόσιμον δὲ ἀρρήτως ποιεῖται τὴν δύναμιν.*

Ἀλλὰ τίνες οἱ τῷ ζωηρρύτῳ λόγῳ παρακαθήμενοί τε καὶ προσανέχοντες καὶ ἐκ τοῦ σύνεγγυς τοὺς διαλόγους ποιούμενοι; τίνες ἄλλοι ἢ οἱ πρώτως καὶ ἀμέσως τὴν τοῦ εἶναι πρόοδον εἰληχότες, εἴτε Χερουβὶμ 50 *βούλοιτό τις τούτους καλεῖν εἴτε δυνάμεις εἴτε τινὰς ἀρχάς τε καὶ ἐξουσίας εἴτε 'λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν βασιλείαν', οἷς ὥσπερ δὴ τῶν ἄλλων αὐτοῦ θαυμασίων ὑπερφυῶς κοινωνεῖ, οὕτω δὴ καὶ τοῦ ὀνόματος; οὐ γὰρ βασκαίνει ὁ θεὸς τοῖς βουλομένοις τοῖς μεγαλείοις ἐκείνου χα-* 55 *ρακτηρίζεσθαι· εἰ γὰρ ἀνθρώποις τοῦτο δίδωσι τοὔνομα, καὶ θεοὺς εἶναι βούλεται τοὺς ἐπικήρους καὶ ὠκυμόρους καὶ προσονειδίζει μὴ αἰσθανομένους τῆς δωρεᾶς, ἀλλ' ἀποθνῄσκουσι δίκην ἀνθρώπων καὶ τῶν οὐρανίων ἀψίδων ἀπολισθαίνουσι, πῶς ἂν τούτου βασκήνειε ταῖς περὶ αὐτὸν φύσεσι; καὶ διὰ ταῦτα ἡ σεραφικὴ καὶ ἀρχαγγελικὴ καὶ ἀγγε-* 60 *λικὴ σύμπασα φύσις, καὶ εἴ τις ἄλλη ὠνομασμένη ἢ ἀκατονόμαστός ἐστι τάξις, ἐν τῷ καλῷ ἑστηκυῖα, τῷ μεγάλῳ θεῷ παρακάθηται καὶ καινοπρεπῆ τινα πρὸς αὐτὸν τὴν ὁμιλίαν ποιεῖται, τὰ μὲν ἀναφέροντες τὴν διακονίαν ὧν διῳκήσαντο, τὰ δὲ παρ' ἐκείνου προνοητικὴν λαμβάνοντες δύναμιν.* 65

Ὁποῖον δὲ καὶ τὸ ὑποδεξάμενον τούτους χρυσοῦν ὡς ἀληθῶς δάπεδον; τοῦτο δέ τις εἴτε βούλοιτο τὸν ἐξώτατον καλεῖν οὐρανὸν εἴτε πᾶσαν τὴν αἰθέριον οὐσίαν καὶ φύσιν εἴτε τὴν νοερὰν αὐτῶν περιοχὴν εἴτε τι ἄλλο τῶν μεγαλοπρεπῶν καὶ θείων, οὐ διαφέρομαι, ὅτι τὰ θεῖα ἀπέχει μὲν τῶν ἐνταῦθα καλῶν, εἰς δὲ νόησιν λαμβανόμενα ἐμφέρειάν 70 *τινα τῆς οἰκείας οὐσίας ἀπὸ τῶν παρ' ἡμῖν θαυμαζομένων δίδωσι. διὰ ταῦτα χρυσῷ εἴκασται ἡ ἀνέχουσα τούτους δύναμις.*

48 *ζωηρρύτῳ λόγῳ*] cf. op. 47, 38 || 51–52 cf. e. g. Rom. 8, 38; Eph. 3, 10 || 52–53 Hebr. 1, 14 || 56–58 cf. Ps. 81, 6–7

40 supplevit Sathas || 42 c. 14 litt. desunt; fort. *πρὸς τὴν πρώτην* || 43 lac. c. 14 litt. || 44 *ψυχῇ* **P**: corr. Sathas || 72 *τούτου* **P**: corr. Wk.

Ἐπεὶ δὲ τὸ κάλλιστον τῶν ὄντων ἡ πρὸς θεὸν ὁμιλία ἐστὶ καὶ ἡ τοῦ νοῦ πρὸς ἐκεῖνον διάδοσις, ἧς αἱ θεῖαι φύσεις καθαρῶς ἀπολαύουσι,
75 *διὰ ταῦτα πανδαισίᾳ τῷ ποιητῇ ἡ ὁμιλία ἀπείκασται. εὐωχίας δέ, καὶ μάλιστα πανδήμου, γνωρίσματα ψυκτῆρες καὶ κρατῆρες καὶ φιάλαι καὶ πρόχοοι καὶ ὑδρορρόαι, κύλικές τε καὶ εἴ τι ἄλλο Θηρίκλειον ἔκπωμα καὶ ἡ ἑτέρα τῆς τοσαύτης κατασκευῆς ἰδέα. ἀλλ' ὄντως τὴν ποικιλίαν τῆς θοίνης παρωσάμενος, ἐπειδὴ καὶ ἁπλοῦν καὶ θεῖον τὸ*
80 *εὐωχούμενον, τὴν Ἥβην αὐτοῖς παραλαμβάνει κιρνῶσαν τὸ νέκταρ καὶ μεθύουσαν, ἵν' οὕτως εἴπω, τοὺς δαιτυμόνας.*

Ἀλλὰ τίς ἡ Ἥβη; καί μοι μικρὸν ἀνάσχοισθε πόρρωθέν τι περὶ τούτων προδιοικουμένῳ. δύο τούτω παρὰ τῷ ἐπιστημονικῷ λόγῳ ἐστίν, οὐσία καὶ γένεσις· ἀλλ' ἡ μὲν ἕστηκεν, ἡ δὲ πρόεισιν, οὐκ ἐπανακυ-
85 *κλοῦσα οὐδ' ἐπανακάμπτουσα, ἀλλὰ κατ' εὐθὺ ῥέουσα· διὰ ταῦτα ὠκύμορός τέ ἐστι καὶ ἐφ' ἑαυτῇ περιγράφεται· τῆς δὲ ἡ οὐσία ἀθάνατος καὶ πλέον τούτου καὶ ἀμετάβλητος, οὐχ ἡβῶσα, οὐκ αὔξουσα, οὐκ ἀπορρέουσα, ἀλλ' ἐφ' ἑαυτῆς ἑστηκυῖα ἄτερ πάσης μεταβολῆς καὶ κινήσεως. ἐπεὶ οὖν τοῦτο προὐθέμεθα, τὴν προδιοίκησιν τῷ λόγῳ*
90 *προσεφαρμόσωμεν· ἡ περὶ θεὸν ἀσώματος φύσις οὔτε διὰ γενέσεως εἰς τὸ εἶναι ἐλήλυθεν οὔτε γένεσιν ἔχει διοικοῦσαν, ἀλλ' οὐσία τίς ἐστι καθαρὰ καὶ ἀμετάθετος. ἵν' οὖν αὐτῷ τὸ ἀναυξές τε καὶ ἀγήρων, μᾶλλον δὲ τὸ ἀκμαῖον καὶ ἔντονον, ὁ λόγος προσμαρτυρήσῃ, τὴν Ἥβην εἰς τὴν οἰνοχοείαν παρέλαβεν. ἔστι δὲ αὕτη τῶν παρ' ἡμῖν ἡλικιῶν ἡ*
95 *χαριεστάτη καὶ ὄντως νεανικωτάτη καὶ εὔχαρις, οἵα δὴ κἀκείνη ἡ φύσις ἐστίν, ἡβῶσα ὡς ἀληθῶς τὸν αἰῶνα πάντα καὶ ἐμφορουμένη μὲν τοῦ νέκταρος, κόρον δὲ οὐδέποτε ἔχει· τὸ γὰρ προσειλημμένον ὁμοῦ τε τὴν προλαβοῦσαν δίψαν σβέννυσι καὶ ἑτέραν θερμοτέραν ἐνίησι.*

Καταλλήλως οὖν τῷ ποιητῇ ἡ Ἥβη τὸ νέκταρ οἰνοχοεῖ τοῖς θεοῖς·
100 *πῶς γὰρ ἂν τὴν τῶν παντελείων ἀγαθῶν ἐχώρησαν ἀποπλήρωσιν, εἰ μὴ ὡς ἀληθῶς ἥβασκον, εὐτονωτάτην τὴν δύναμιν πρὸς τὴν μέθεξιν ἔχοντες; τὸ γὰρ νέκταρ ἡ τῶν θειοτέρων ἐστὶ καὶ ὑπερφυῶν καὶ μεγαλείων μετάληψις· νέκταρ ὡς ἀληθῶς ἡ τῶν τριῶν προσώπων ἕνωσις καὶ διάκρισις, ὁ τῆς προνοίας λόγος, ὁ τῆς κρίσεως, ὧν ἀεὶ κατα-*
105 *τρυφῶσιν ὅσαι περὶ τὸ θεῖον φύσεις ἑστήκασι, μᾶλλον δὲ ὅσαι τῷ θείῳ προσκάθηνται, ἐπαναπαυόμεναι τοῖς ἐκεῖσε κλιντῆρσιν ἢ θρόνοις ἢ βασιλικοῖς σκίμποσιν. ἀλλὰ 'δειδέχατ' ἀλλήλους'· τοιαύτη γὰρ ἡ τῶν θείων φιλοφροσύνη· οὐ γὰρ μόνον τὰ μείζονα τῶν θαυμασίων τοῖς*

76–78 cf. Athen. XI; Psell. Or. min. 13,51–56

84 *γέννησις* **P**: corr. Wk. (cf. 90) || **93** *προμαρτυρήσῃ* **P**: corr. Sathas

ὑφειμένοις καταδιδόασιν, ἀλλ' οὐδὲν ἧττον καὶ τὰ ἐλάττονα πρὸς ἐκεῖνον ἐπιστρεφόμενα [.........] τὴν ἐπιστροφὴν τίθενται. 110

Καὶ τί καινόν, ὅπου γε καὶ ἡμεῖς ἀντιδιδόαμεν τῷ θεῷ ὧν πα[........]νομέν τε καὶ ἔχομεν; τίνα ταῦτα; θυσίαν καθαράν, πνεῦμα 65ᵛ *κατανύξεως συντετριμ[μένον, ἐπι]|θυμίαν κεκολασμένην, θυμὸν ἐγκεχαλινωμένον τῷ λόγῳ, τὴν πρακτικὴν ἅπασαν συντονίαν καὶ κακοπάθειαν. οὕτως ἐκεῖνοι 'δείδεχατ' ἀλλήλους Τρώων πόλιν εἰσορόωντες'.* 115 *ἡμεῖς μὲν γὰρ οὐκ ἄν ποτε δυνηθείημεν ὁμοῦ τε προσανέχειν θεῷ καὶ τῶν τῇδε ἔχεσθαι· οὐ γάρ ἐσμεν ἀκριβὴς νοῦς, ἀλλ' ὁ ἐν σώματι, διὰ ταῦτα καὶ μεμερίσμεθα· καὶ τοῖς μὲν ἄνω προσκείμενοι τῶν κάτω ἐπιλελήσμεθα, τῶν δὲ καθ' ἡμᾶς ἐχόμενοι τῶν ὑπὲρ ἡμᾶς ἀφεστήκαμεν. ἐκείνοις δὲ ἡ ἐφ' ἑκάτερα ῥοπὴ ὁμοῦ πάρεστιν· οἰκονομεῖν μὲν γὰρ τὰ* 120 *τῇδε λαχόντες παρὰ θεοῦ, ὁμοῦ τε τὰ τῇδε ἐπιτροπεύουσι καὶ τῶν θείων οὐ διακέκρινται.*

Φιλοσόφως τοιγαροῦν τῷ ποιητῇ τοῦτο νενόηται· ὅθεν εἰσάγει τοὺς εὐωχουμένους θεῷ, ὁμοῦ τε τοῦ νέκταρος ἀπολαύοντας καὶ τὴν Τροίαν προνοητικῶς περιέποντας· ἡ γὰρ πόλις αὕτη ἀντὶ τῆς ἐπὶ γῆς συμ- 125 *πάσης πολιτείας τῷ ποιητῇ εἴληπται· Τροία γὰρ ἀτεχνῶς ἡ κοσμικὴ αὕτη κατάστασις πέφυκε, τοῦ μὲν νοητοῦ κάλλους καταφρονήσασα, τὸ δ' αἰσθητὸν καὶ περιλεσχήνευτον τῆς Ἑλένης ἁρπάσασα, ὅπερ ἐστὶ τὸ γοητεῦον καὶ ἐπιποίητον, εἶτα ὑπὲρ τούτου ἀραμένη πόλεμον, ἐφ' ᾧ περιῃρέθη μὲν τὸ τεῖχος, καθῃρέθη δὲ τὸ ἀξίωμα, αἰχμάλωτός τε καὶ* 130 *δοριάλωτος γέγονε, τοῦ Ἕκτορος προαναιρεθέντος αὐτῆς, ἤτοι τοῦ ἐχέτορος νοῦ, ᾧ δὴ συναπῆλθεν ἀπολλυμένῳ καὶ παντελῶς κατηδάφισται. εἷλε δὲ αὐτὴν οὐδὲν οὕτως ἄλλο ὡς ὁ δούρειος ἵππος, τὸ θυμικὸν καὶ χρεμετιστικὸν μέρος καὶ ὄντως ἄλογον, ὃν νυκτὸς εἰσάγουσιν οἱ καθήμενοι τῇ ἡμετέρᾳ πόλει καὶ πανευδαίμονι, ὁπότε τῇ τῶν* 135 *παθῶν ἀχλύι συγκαλυπτόμεθα· τότε γὰρ οἱ πολέμιοι ἡμῖν δαίμονες ἐπιχειροῦσι ταῖς καθ' ἡμῶν μηχαναῖς.*

Οὗτος ὁ μῦθος, αὕτη τοῦ ψεύδους πρὸς τὴν ἀλήθειαν μεταποίησις, ἣν ὑμεῖς πρὸς τὰς καθ' ἕκαστον ἀλληγορίας προχειριζόμενοι, ῥᾷστον ἂν οὐ τῷ ποτίμῳ μόνον λόγῳ τοὺς ἁλμυροὺς ἀποκλύσαιτε, ἀλλὰ καὶ 140 *τοὺς ἁλμυροὺς ποτίμους ποιήσαιτε.*

112–113 cf. Ps. 50, 19 et Rom. 11, 8 || **140–141** cf. infra 46, 12; 47, 10–12; Pl. Phaedr. 243 d

109 *μεταδιδόασιν* coni. Wk. || **110** *ἀντίδοσιν* vel *οἷον ἀντίδοσιν* suppleverit Wk. || **112** fort. *παρ' αὐτοῦ λαγχάνομεν* (cf. 121) || **113** supplevit Sathas || **121** *περιτροπεύουσι* **P**: corr. Wk. || **128** *περιλεσχήνευτον* Ioh. Diac. 423: *-ήνεστον* **P** || **132** *ἀπολλομένῳ* ut vid. **P**: corr. Sathas || **140** *μόνῳ* **P**: corr. Sathas

43

Τοῦ αὐτοῦ ἀλληγορία εἰς τὸν Τάνταλον

Πάλιν ἡμᾶς ἐπὶ τὰς ποιητικὰς θύρας ἀνθέλκετε, ἀφ' ὧν μόλις ἐπὶ
τὴν φιλόσοφον αὔλειον ἀνειλκύσμεθα. ἐγὼ δὲ κἂν ἀπώκνησα πρὸς τὴν
τοιαύτην παλινῳδίαν, εἰ μὴ τὸ προβεβλημένον παρ' ὑμῶν κρείττονος
5 *ἐδεῖτο τῆς ἐπισκέψεως· ἐπὶ γυμνὸν μὲν γὰρ τὸν μῦθον οὐκ ἄν ποτε*
αὐτὸς ἀφίξομαι ἑκών. εἰ δέ τις αὐτῷ κρείττων τοῦ φαινομένου ὑπο-
κάθηται ἔννοια, δεῆσάν ποτε κατιέναι ἀπὸ τοῦ τῆς φιλοσοφίας ὕψους,
ἐφήσω τῇ γλώττῃ ὥσπερ ῥεύματι πρὸς τὸ κάταντες φερομένῳ. δεῖ γὰρ
τὸν φιλόσοφον μὴ ἀεί ποτε ἀτρύτως ἔχειν πρὸς τὰς τῶν ὄντων ἐπ-
10 *οψίας, ἀλλὰ καὶ φιλόμυθον εἶναί ποτε καὶ σπουδάζειν περὶ τὰ παίγ-*
νια· παιδιὰ δὲ τῷ φιλοσόφῳ μῦθος καὶ λέξις ἐπιτερπὴς καὶ ἱστορία ἢ
διαχέουσα τὴν ψυχὴν ἢ συστέλλουσα.
Παίξωμεν οὖν καὶ ἡμεῖς, εἰ δοκεῖ, περὶ τὸν ἐκ Διὸς φύντα Τάνταλον
καὶ θεασώμεθα τοῦτον τῷ λόγῳ, ὅπως ποτὲ τῷ ἀέρι τὸν πάντα χρόνον
15 *περιποτώμενος δειμαίνει μὲν τὸν ὑπερτέλλοντα πέτρον, ὅστις ἀδαμαν-*
τίνοις ὥσπερ καλωδίοις ἀπῃωρημένος καὶ μικρόν τι τῆς ἐκείνου ὑπερ-
ανέχων κορυφῆς, φοβεῖ μὲν τῷ μέλλειν κατιέναι, οὐ κάτεισι δέ· ὁ δὲ
τῷ φόβῳ κυμαίνεται καὶ ταύτην δίδωσι δίκην τῆς ἀκολάστου γλώττης
καὶ ξύγκλυδος.
20 *Πρὶν ἢ δὲ τὰ περὶ τοῦ παιδὸς ἐξετάσαι, τὸν τούτου πατέρα κατα-*
νοήσωμεν, ὅστις ἐστὶν ὁ Ζεύς. ἐμοὶ δὲ τοῦτο δοκεῖ σπουδῆς ἄξιον,
πῶς ἀμφίβολον αὐτῷ τὴν γονὴν ὁ τοῦ δράματος ὑποκριτὴς προσμαρ-
τύρεται· 'Διὸς' γάρ φησι 'πεφυκώς, ὡς λέγουσι, Τάνταλος'. ἀλλ' ἐπειδὴ
πλάτος ὑπανοιγόμενον τῶν θεωρημάτων ὁρῶ, δοκεῖ μοι ὥσπερ τελετῇ

43 P 65^{v}–66^{r} **B** 159^{r}–160^{v} (**p**^{12} 46^{r}–48^{r} **v**^{30}) **m**^{17} 221^{r}–223^{r} (**o**^{2}**m**^{24}**v**^{31}**a**^{8}**a**^{9}**b**^{14}) ‖ 14–19 cf. Eur. Or. 6–10 ‖ 23 Eur. Or. 5

43 1 *Τοῦ – τάνταλον* **P**, **B** (qui *ἀναγωγὴ* loco *ἀλληγορία* habet): *Ἀλληγορία περὶ τοῦ ταντάλου· τοῦ σοφωτάτου ψελλοῦ* **m**^{17} ‖ 2–12 om. **m**^{17} ‖ 3 *φιλόσοφον* **p**^{12}: *φιλοσοφ·* **P**, term. non leg. **B** | *ἀνειλκύσμεθα* scripsi: *ἀνθειλκύσμεθα* **P**: *μετωκίσθημεν ἢ ἀνειλκύσθημεν* **B** | *τὴν* **P**: om. **B** ‖ 4 *ὑμῶν* **B**: *ἡμῶν* **P** ‖ 6 *αὐτὸς* **P**: om. **B** | *ἀφίξομαι* **P**: *ἀφίξωμαι* **B** | *αὐτῷ* **B**: *αὐτὸν* **P** ‖ 9 *ἐποψίας* **P**: *ὑποψίας* **B** ‖ 11 *παιδιὰ* scripsi: *παιδικὰ* codd.: *παιδιαὶ* Boiss. ‖ 13 *φύντα* **B m**^{17}: *ἐκφύντα* **P** ‖ 14 *ποτὲ* **P m**^{17}: om. **B** ‖ 15 *περιποτώμενος* **P B**: *περιπετώμενος* **m**^{17} | *τὸν* – 16 *ὑπερανέχων* **m**^{17} (cf. 59; Eur. Or. 6): *τὴν ὑπερτέλλουσαν πέτραν ἥτις … ἀπῃωρημένη καὶ … ὑπερανέχουσα* **P B** ‖ 17 *κορυφῆς* **P m**^{17}: *κεφαλῆς* **B** ‖ 19 *ξύγκλυδος* **P B**: *-ιδος* **m**^{17} ‖ 20 *περὶ* **B m**^{17}: om. **P** ‖ 21 *τοῦτο δοκεῖ* **P B**: *δοκεῖ καὶ τοῦτο* **m**^{17} ‖ 23 *φησι, πεφυκώς* **P B**: *πεφυκώς φησιν* **m**^{17} ‖ 24 *πλάτος*] *πέλαγος* coni. Boiss. (non spernendum)

τινι τῷ λόγῳ προσέρχεσθαι· αἱ γὰρ τελεταὶ σωματικὰ τούτων τὰ πα- 25
ραπετάσματα, ἣν δὲ εἴσω τῶν ἀδύτων χωρήσῃ τις, φῶς ἐκεῖ καθαρὸν
καὶ ἀπογύμνωσις τῶν αἰσθητῶν. τὸν Δία τοίνυν οἱ Ἕλληνες ἄλλος ἄλ-
λαις ἐννοίαις κατεμερίσαντο· οἱ μὲν γὰρ τὸν τοῦ παντὸς τοῦτον ὑπο-
νοοῦσι δημιουργόν, ὃν δὴ διὰ τοῦτο καὶ Ζῆνα καὶ Δία προσηγορεύκα-
σιν, ἐκεῖνο μὲν ὡς ζωῆς τοῖς οὖσι χορηγόν, τοῦτο δὲ ὡς αἰτίαν τινὰ 30
διὰ πάντων τῶν ὄντων φοιτήσασαν, ὃν δὴ καὶ τρίτον ποιοῦσιν ἀπὸ
τοῦ ἑνός. ἓν γάρ φασι τὸ ἐκ τῶν πάντων καὶ πρὸ τῶν πάντων, μεθ' ὃ
ἰδέας καὶ ἐφεξῆς τὸν δημιουργόν· τοῦτον γὰρ ἀμέσως προσάγουσι τοῖς
ποιήμασιν. οἱ δέ τινες ταύτην μὲν τὴν αἰτίαν ἀπέγνωσαν, φαινομένῃ
δέ τινι φύσει τὴν προσηγορίαν ταύτην ἐπιφημίζουσιν, ἥτις δὴ ὁ δεύτε- 35
ρος πλάνης ἐστί, Ζεὺς τοῖς ἀστρολόγοις ὀνομαζόμενος, ὅτι τοῦ ὑπερ-
κειμένου τοῦτον φθαρτικοῦ τυγχάνοντος ταῖς γενέσεσιν, οὗτος οἷς ἂν
ἀλῷ σχηματιζόμενος ἢ ὑφαιρεῖταί τι τῶν κακιόνων ἢ προστίθησι τὰ
καλλίονα. τοιαύτη μὲν καὶ ἡ δευτέρα δόξα περὶ τοῦ Διὸς τοῖς
Ἕλλησιν. ἡ δὲ τρίτη ἱστορικωτέρα ἴσως καὶ ἀληθεστέρα· αὐτόν τε 40
γὰρ καὶ τὸν τούτου πατέρα τὸν Κρόνον ὁμόθεν ἀπὸ Κρήτης γεννῶσι,
καὶ τὸν μὲν οὐκ ἴσασιν ὅποι γῆς κατορώρυκται, τοῦ δὲ τὸν ἐπὶ τῷ
τάφῳ δεικνύουσι κολωνόν. εἶτα τὴν θνητὴν φύσιν ὑπεραναβάντας ἀγ-
χισπόρους ποιοῦσι τῆς οὐσίας τοῦ κρείττονος καὶ πρὸς τὸ τῆς θειότη-
τος εἶδος μεταβιβάζουσι. τούτῳ δὴ τῷ λόγῳ καὶ Ἑρμῆς προστίθεται ὁ 45
Τρισμέγιστος· τἆλλα γὰρ θεωρῶν τοὺς μύθους τοῦτον δὴ μόνον γυμ-
νὸν ἐξεδέξατο καὶ πρὸς τὴν ἐκείνου μίμησιν τὸν ἑαυτοῦ παῖδα διερεθί-
ζει τὸν Τάτ.

29–32 cf. Plat. Cra. 396a ‖ **30** *ζωῆς χορηγόν*] cf. Procl. in Cra. 78, 8–9 ‖ **31** *διὰ πάντων*] cf. e. g. Euseb. Praep. ev. XV 12, 1; SVF II 320, 21 ‖ **45–48** an ad *Ἑρμοῦ πρὸς Τὰτ λόγος καθολικός* (opus perditum) spectat?

25 *προσέρχεσθαι* **P B**: *προσέρχεται* **m**^{17} ‖ **27** *αἰσθητῶν* **B m**^{17}: *ἐσθήτων* **P** ‖ **28** *ἐννοίαις* **B**: *τοῦτον ἐνν.* **P**: *ἐνν. τοῦτον* **m**^{17} | *τὸν τοῦ παντὸς τοῦτον* **P**: *τὸν τοῦ παντὸς* **m**^{17}: *αὐτὸν πρῶτον τοῦ παντὸς* **B** ‖ **30** *ζωῆς* **P m**^{17} (cf. 54): *τῆς ζωῆς* **B** ‖ **31** *τῶν ὄντων* **P B**: om. **m**^{17} | *φοιτήσασαν* **B m**^{17}: *φοιτήσαντα* **P** ‖ **32** *τῶν*^{1,2} **P m**^{17}: om. **B** | *ὃ* **P m**^{17}: *ὃν* **B** ‖ **34** *τινες* **P B**: om. **m**^{17} | *ἀπέγνωσαν* **P m**^{17}: *ἐγύμνωσαν* **B** ‖ **35** *δέ* **m**^{17}: *ὅτι* **P B** | *δὴ* **P m**^{17}: *δὲ* **B** ‖ **36** *ζεὺς* **P B**: om. **m**^{17} | *ὀνομαζόμενος* **m**^{17}: *ἐπον.* **P B** ‖ **37** *φθαρτικοῦ* **B m**^{17}: *φθαρτοῦ* **P** ‖ **37–38** *οἷς ἂν ἀλῷ* **P B**: *οἷς ἀλώῃ* **m**^{17} ‖ **38** *τι* **P m**^{17}: om. **B** ‖ **40** *ἱστορικωτέρα* **B m**^{17}: ambig. (potius *-ώτερον*) **P** | *ἴσως καὶ* **B m**^{17}: *καὶ ἴσως* **P** | *ἀληθεστέρα* **B m**^{17}: *ἀληθέστερον* **P** ‖ **41** *καὶ* **B m**^{17}: om. **P** | *τὸν τούτου πατέρα τὸν* **P m**^{17}: *τὸν πατέρα τούτου* **B** | *ὁμόθεν* **P m**^{17}: *οἱ μῦθοι* **B** ‖ **42** *ὅποι* **B m**^{17}: *ὅπῃ* **P** | *τὸν*^{2} om. **m**^{17} ‖ **46** *θεωρῶν* **P m**^{17}, fort. **B** (partim evan.): *παραθεωρῶν* **p**^{12} | *τοὺς* **P p**^{12}: evan. **B**: *ὡς* **m**^{17} ‖ **47** *ἐξεδέξατο* **P m**^{17}: *ἐδέξατο* **B** | *ἐκείνου* **P B**: *-ων* **m**^{17} ‖ **48** *τάτ* **m**^{17}: *τα* et spat. c. 5 litt. **P**: *τάνταλον* **B**

Ἡμῖν οὖν, εἰ πρὸς τὴν ἱστορίαν τὸν μῦθον μεταχειριζοίμεθα, οὐδὲν
50 *μέγα ἔσται σωματικὰς γενέσεις τοῦ Ταντάλου συνειληχόσιν· ἀλλ᾽ οὐδ᾽*
εἰ πρὸς τὰ ἄστρα τὸν λόγον ἀνατείνοιμεν, ἄξιόν τι τῆς φιλοσόφου
σπουδάσομεν σκέψεως· τὰ γὰρ ἐκ τῶν μαθημάτων οὐχ ὑπάρξεις, ἀλλὰ
σχήματα καὶ ποιότητες. λεγέσθω τοίνυν παρ᾽ ἡμῶν Ζεὺς ὁ χορηγὸς
ζωῆς τοῖς ὅλοις θεός, Τάνταλος δὲ τὸ αἰθέριον πῦρ· τέταται γὰρ δι᾽
55 *ὅλων τῶν σφαιρῶν καὶ φύσιν ἔχει ἄνω κάτωθεν ἅλλεσθαι. τοῦτο γοῦν τὸ*
αἰθέριον πῦρ, ὁ παρὰ τῷ τραγῳδῷ Τάνταλος, τῷ ἀέρι πέφυκεν ἐποχού-
μενον· τῷ γὰρ πέρατι τῆς τοῦ πυρὸς σφαίρας ἡ ἀρχὴ τῆς τοῦ ἀέρος
προσῆπται· λεπτότερον δὲ τυγχάνον τοῦ ἀέρος τὸ πῦρ ὥσπερ ὀχήματί
τινι τούτῳ ἐπελαφρίζεται. ὁ δὲ ὑπερτέλλων τὴν τούτου κορυφὴν πέ-
60 *τρος ὁ κατὰ Ἐμπεδοκλέα σφαῖρός ἐστιν, ὡς δ᾽ ἂν ἡμεῖς φαίημεν, ἡ*
ἀπλανὴς κυκλοφορία· ὁ μὲν γὰρ ἀὴρ τὸ πῦρ ὑποβέβηκε, τὴν ἀπλανῆ
δὲ σφαῖραν τὸ πῦρ, ἥτις δὴ ὥσπερ τις χερμὰς ἐπιβεβάρηται καθάπερ
τινὶ κορυφῇ τῇ πρώτῃ ἐπιφανείᾳ τοῦ πυρός. αὕτη δὲ ἡ ἀπλανὴς τῇ
ἀπαύστῳ καὶ ταχείᾳ περιαγωγῇ τῆς κινήσεως δοκεῖ μὲν πιέζειν τὸ
65 *πῦρ, ἵνα μηδέν τι καινὸν ἐν τοῖς πολυκλονήτοις στοιχείοις γένηται· οὐ*
διαφθείρει δέ, ἀλλὰ τὸ μὲν ὥσπερ ὑποπέφρικε – δεδόσθω γὰρ τοῦτο
τῇ τοῦ μύθου ἐξουσίᾳ – συναγόμενόν τε καὶ συνειλούμενον· ὁ δὲ πε-
ριελισσόμενος κύκλος ἀφαιρεῖταί τι αὐτῷ ἀεὶ τοῦ δέους, τὸν ἅπαντα
χρόνον ζῳογονῶν, ἀλλ᾽ οὐ φθείρων.
70 *Τὸ δὲ ἀμφιβάλλειν τὸν ὑποκριτὴν περὶ τῆς τούτου γενέσεως ταύτην*
μοι ὑποβάλλει τὴν ἔννοιαν, ὅτι τετολμήκασί τινες τῶν Στωικῶν
πυρώδη φύσιν τῷ τοῦ παντὸς προσάψαι δημιουργῷ, ἀλλ᾽ οὐχ ἥ γε
Ἀκαδημία, οὔθ᾽ ἡ πρεσβυτέρα οὔθ᾽ ἡ νεωτέρα, τοῦτον τὸν λόγον ἐδέ-
ξαντο· ἀσώματον δὲ τοῦτον ὡρίσαντο καὶ πρὸς μηδὲν τῶν στοιχείων

59–60 Emped. fr. B 27–29 (Diels-Kranz) ‖ 71–72 cf. SVF II 307,4–7 (Euseb. Praep. ev. III 9,9)

49 *εἰ* **P m**^{17}: *εἰ μὲν* **B** | *τὸν μῦθον* **P B**: *τὴν εὐριπίδιον* **m**^{17} | *μεταχειριζοίμεθα* **P B**: *-όμεθα* **m**^{17} ‖ 50 *γενέσεις* **P m**^{17}: *γεννήσεις* **B** ‖ 51 *τὰ ἄστρα* **m**^{17}: *τὸν ἄστρον* **P B** | *ἀνατείνοιμεν* **P B**: *-ομεν* **m**^{17} ‖ 53 *τοίνυν* **P B**: *δὴ* **m**^{17} | *ἡμῶν* **B m**^{17}: *ἡμῖν* **P** ‖ 54 *ζωῆς* **P B** (cf. 30): *τῆς ζωῆς* **m**^{17} | *τέταται* **P m**^{17}: *πέταται* **B** ‖ 56 *τραγῳδῷ* **P B**: *τραγικῷ* **m**^{17} ‖ 58 *τυγχάνον τοῦ ἀέρος* **P m**^{17}: *τοῦ ἀέρος τ.* trsp. **B** ‖ 60 *ὁ … σφαῖρός* **P B**: *ἡ … σφαῖρά* **m**^{17} | *κατὰ* **P B**: *κατὰ τὸν* **m**^{17} **p**^{12} | *ἐμπεδοκλέα* **B m**^{17}: *-κλῆ* **P** | *δ᾽ ἂν ἡμεῖς φαίημεν* **P B**: *δὲ ἡμεῖς ἂν φαῖμεν* **m**^{17} ‖ 61 *τὸ πῦρ* **P B**: *τῷ πυρὶ* **m**^{17} ‖ 61 sq. *τὴν ἀπλανῆ δὲ σφαῖραν* **P B**: *τῇ ἀπλανεῖ δὲ σφαίρα* **m**^{17} ‖ 62 *ὥσπερ* **P B**: *καθάπερ* **m**^{17} | *τις* **P m**^{17}: om. **B** ‖ 65 *γένηται* **B m**^{17}: *γίνηται* **P** ‖ 66 *δεδόσθω* **B m**^{17}: *διδόσθω* **P** ‖ 68 *ἀφαιρεῖται* **P B**: *ἀφαιρεῖ* **m**^{17} | *τι* **P m**^{17}: om. **B** | *ἀεὶ* **B m**^{17}: *αἰεὶ* **P** ‖ 73 *ἐδέξαντο* **P m**^{17}: *-ατο* **B**

ἐοικός τι ἔχοντα. διὰ τοῦτο ὁ ἐν τῇ σκηνῇ λόγος ἀμφιβάλλει περὶ τῆς 75
τοῦ Ταντάλου γονῆς καὶ τὸ ἀπὸ τοῦ δημιουργοῦ τὸ πῦρ γεγενῆσθαι
ταῖς δημώδεσι παραχωρεῖ ὑπολήψεσι· σπουδάζεται γὰρ φιλοσοφία
κἀπὶ τοῖς δράμασι, καὶ διὰ τοῦτο, ὅπερ ἀπεμφαῖνον τοῦ μύθου πρὸς
τὸν ἀληθῆ λόγον εὑρίσκει, τῷ τοῦ πλήθους συρφετῷ δίδωσιν.

Ἀλλὰ πῶς ἄνθρωπος ὁ Τάνταλος ἦν; πῶς δὲ τῆς κάτω γενέσεως πε- 80
φυκὼς ἀποτέλεσμα συνδιῃτᾶτο θεοῖς; πῶς δὲ καὶ συνδιαιτώμενος τού-
τοις ἔκφορα τὰ ἐκείνων ἐποίει μυστήρια καὶ διὰ τοῦτο ᾐώρηται καὶ
τὸν λίθον πεφόβηται; φημὶ τοίνυν ἐγὼ ὡς ἀρχὴ τοῖς ἐν γενέσει τὸ
πῦρ· ἡμῖν τε γὰρ εἰς τὴν σωματικὴν οὐσίαν συντελεῖ καὶ μέρος γίνε-
ται τῆς συνθέσεως τὸ κορυφαιότατον. ἀλλὰ καὶ πᾶν αἰσθητὸν φύσιν 85
ἔχον ὁρᾶσθαι, κἂν μὴ ὁρῷτο ἐπιπροσθοῦντός τινος σώματος, αὐτὸ δὴ
τὸ ὁρᾶσθαι τῆς πυρώδους οὐσίας μετείληφε. τὴν δὲ ἀπλανῆ παῖδες
Ἑλλήνων πέμπτον ὑποτιθέμενοι σῶμα οὐδέν τι λυσιτελεῖν ἡμῖν εἰς τὴν
γένεσιν οἴονται. διὰ τοῦτο λέγεται ὁ τοῦ Διὸς παῖς Τάνταλος, ὃν ἡμεῖς
πῦρ ἐθεωρήσαμεν, ἄνθρωπος εἶναι καὶ τὴν γῆν λαχεῖν οἰκητήριον, ὅτι 90
μεθ' ἡμῶν τὸ πῦρ καὶ πρώτη τοῦτο τοῦ σώματος ἡμῶν σύστασις. τὸ δ'
αὐτὸ καὶ θεοῖς ἔλαχεν Ἑλληνικοῖς συνοικεῖν· εἰ γὰρ θεοὶ τούτοις οἱ
πλάνητες, τούτοις δὲ ἀγχωμάλως τὸ πῦρ παροικεῖ, ὁμοδίαιτον ἄρα
τοῦτο τοῖς ἐκείνων θεοῖς. ἔκπυστα δὲ τὰ ἐκείνων πεποίηκεν, ὅτι φωτὶ
πάντα καταλαμβάνεται, τὰ μὲν θεῖα τῷ θείῳ, τὰ σωματικὰ δὲ τῷ 95
σωματικῷ. ἀκόλαστος δὲ τῷ πυρὶ ἡ γλῶττα, ὅτι τοῦτο μόνον τῶν στοι-
χείων παφλάζει τῇ φύσει καὶ εἰς τὸ ἀεὶ συνηχεῖ· ἥ τε γὰρ γῆ στάσι-
μος οὖσα καὶ ἀμετάθετος καὶ ἤχου ἐστέρηται· τό τε ὕδωρ, εἰ μή τι
εἴη τὸ κινοῦν, ἠρεμεῖ ἐπικεχυμένον τῇ γῇ· ὅ τε ἀὴρ 'ἀψόφῳ βαίνει
κελεύθῳ' κατὰ τὴν ποίησιν· τὸ δὲ πῦρ ἀεὶ τῷ ἐγκειμένῳ εἰσαεὶ στε- 100
νοχωρούμενον πνεύματι περισαλπίζει τὰ ὦτα οἷς ἂν προσεγγίσειε.

99-100 Eur. Tr. 887–888

75-76 *τῆς ... γονῆς* **m**^{17}: *τὰς ... γονὰς* **P B** ‖ **79** *εὑρίσκει* **P m**^{17}: *-ων* **B** | *τῷ τοῦ πλήθους συρφετῷ δίδωσιν* **P m**^{17}: *τῷ σ. δίδωσι τοῦ πλ.* **B** ‖ **80** *δὲ* **P B**: *δὲ καὶ* **m**^{17} ‖ **82** *τὰ ἐκείνων* **P B**: *τἀκείνων* **m**^{17} | *ᾐώρηται* **P**: *ᾐώρητο* **B**: *ἀπηώρηται* **m**^{17} ‖ **83** *πεφόβηται* **P m**^{17}: *-ητο* **B** ‖ **84** *τε* **B m**^{17}: *τι* **P** ‖ **85** *συνθέσεως* **P m**^{17}: *συνέσεως* **B** ‖ **86** *κἂν* – **87** *ὁρᾶσθαι* **B m**^{17}: om. **P** ‖ **86** *μὴ* **B**: om. **m**^{17} | *τινος* **m**^{17}: *αὐτῷ τινος* **B** | *αὐτὸ δὴ τὸ* **m**^{17} **p**^{12}: *αὐτῷ δὴ τῷ* **B** ‖ **88** *ἡμῖν* **P B**: post *γένεσιν* trsp. **m**^{17} ‖ **89** *λέγεται* **B m**^{17}: *λέγει* **P** ‖ **91** *πρώτη* **P B**: *πρῶτον* **m**^{17} | *τοῦτο* **P m**^{17}: om. **B** | *ἡμῶν* **P m**^{17}: om. **B** ‖ **92** *εἰ* **P m**^{17}: *οἱ* **B** | *τούτοις* **B m**^{17}: *τούτων* **P** ‖ **93** *ἀγχωμάλως* **P B**: *καὶ* **m**^{17} | *παροικεῖ* **P m**^{17}: *συνοικεῖ* **B** ‖ **94** *τὰ ἐκείνων* **P B**: *τἀκείνων* **m**^{17} ‖ **95** sq. *τὰ σωματικὰ δὲ τῷ σωματικῷ* **B**: *τὰ σ. τῷ σ.* **P**: *τὰ δὲ σ. τῷ σ.* **p**^{12}: *τῷ σ. δὲ τὰ σ.* **m**^{17} ‖ **96** *τῶν στοιχείων* **P m**^{17}: *τὸ στοιχεῖον* **B** ‖ **97** *εἰς* **P B**: *ἐς* **m**^{17} ‖ **98** sq. *τι εἴη τὸ κινοῦν* **P m**^{17}: *τις εἴη δονοῦν* **B**: *τι εἴη δονοῦν* **p**^{12} ‖ **99** *βαίνει* **P B**: *μένει* **m**^{17} ‖ **100** *ἀεὶ* om. **m**^{17} | *εἰσαεὶ* **P**: *ἐσαεὶ* **m**^{17}: om. **B**

Τοιαύτη μὲν ἡ κεκρυμμένη τοῦ μύθου διάνοια. ὑμῖν δὲ τὰ ἐνταῦθα εἰρημένα μὴ ἀμετακίνητα δόγματα ἔστωσαν· πρὸς γὰρ τὸ χρειῶδες τοῦ λόγου τὰς τῶν ὀνομάτων φύσεις ἐξειλήφαμεν, ἐπείπερ ἐφ' ἑτέρῳ
105 *μύθῳ, ἐν ᾧ δὴ ὁ μὲν Κρόνος τὸν Δία γεννᾷ, οὗτος δὲ τὸν πατέρα δεσμεῖ, ἄλλως ἂν ἐκδεξαίμεθα ἐκεῖνον τὸν παῖδα τοῦ Κρόνου. χρόνον γὰρ τὸν Κρόνον ἐκεῖσε νομίσαντες δώσομεν αὐτῷ πάντα καταβροχθίζειν τὰ ἐκ τῆς ἐκείνου ὀσφύος γεννώμενα· τοιοῦτος γὰρ ὁ χρόνος δαπανητικὸς τῆς οὐσίας τῶν αἰσθητῶν· ἔμελλε δὲ καὶ αὐτὸς τῷ συνεχεῖ τῆς οἰκείας*
110 *φύσεως ῥεύματι παραρρεῖν τε καὶ παραπόλλυσθαι· ἀλλ' ἡ ἐκ διαδοχῆς τῶν ὄντων ζωή, ἥτις δὴ Ζεὺς ἐκείνῳ τῷ μύθῳ προσηγόρευται, τὴν τούτου ῥοὴν ἀνέχει καὶ οἷον δεσμεῖ, ὥστε μὴ παραπόλλυσθαι. ἐπεὶ δὲ καὶ ἡ τοῦ καθ' ἕκαστον ζωὴ κινουμένη καὶ παραρρέουσα, διὰ τοῦτο καὶ Ῥέαν μητέρα τῷ Διὶ ὁ μῦθος ἐπέστησεν. ἔδοξε δὲ καὶ τοῦτον ὁ*
115 *Κρόνος καταπιεῖν, οὐ καταπέπωκε δέ· τῷ μὲν γὰρ τὰς μερικὰς ζωὰς διαφθείρειν, διολλύων ἡμᾶς τοῖς πέρασι τοῦ εἱμαρμένου βίου, ὑφήρπασε τῷ λαιμῷ τὸν Δία· ἐφ' ὅσον δὲ μὴ πᾶσαν τῶν ὄντων τὴν ζωὴν κατανάλωσεν, ἀλλὰ μένει συντηρουμένη ταῖς διαδοχαῖς, ἠλευθέρωται ὁ παῖς τοῦ παιδοκτόνου πατρός.*
120 *Ἐπεὶ οὖν ὑμῖν τὴν ὁδὸν νῦν πρώτως τῶν Ἑλληνικῶν μύθων ἠνοίξαμεν καὶ ὑφηγησάμεθα ὅπως δεῖ τούτους ἀλληγορεῖν, τῷ ἐνταῦθα κανόνι στοιχοῦντες καὶ ὑμεῖς τι τοῖς ἐπιλοίποις συνεισενέγκατε.*

104 sq. *ἐφ' ἑτέρῳ μύθῳ*] infra op. 47

102 post *διάνοια* add. *ἐφίησι γὰρ ποιηταῖς τῆς ἐπιστήμης ὁ νόμος ἀνεπιπλήκτως μυθολογεῖν* **m**[17] || **103** *ἔστωσαν* **PB**: *ἔστω* **m**[17] || **104** *ἐπείπερ* **Bm**[17]: *ἐπεὶ γὰρ* **P** | *ἐφ'* **Pm**[17]: *ἐν* **B** || **106** *ἐκδεξαίμεθα* **Bm**[17]: *-ώμεθα* **P** | *τὸν* **Bm**[17]: om. **P** || **107** *ἐκεῖσε* **PB**: *ἐκεῖ* **m**[17] || **108** *ἐκείνου ὀσφύος* **Pm**[17]: *ὀσφύος αὐτοῦ* **B** || **111** *ἐκείνω* **Pm**[17]: *ἐν ἐκείνω* **B** | *προσαγορεύεται* Ioh. Diac. 333 || **112** *ῥοὴν* **Pm**[17]: *ζωὴν* **B** || **113** *καί*[2] **PB**: *ἐστὶ καὶ* **m**[17] || **114** *μητέρα* **Bm**[17]: post *ἐπέστησεν* trsp. **P** | *δὲ* **Bm**[17]: *γὰρ* **Pp**[12] | *καὶ* **Pm**[17]: om. **B** || **114–115** *ὁ κρόνος καταπιεῖν* **Bm**[17]: *κ. ὁ κρόνος* **P** || **115** *οὐ καταπέπτωκε δέ* **Bm**[17]: *ἀλλ' οὐ κ.* **P** || **116** *διαφθείρειν* **Bm**[17]: *καταφθείρειν* **P** || **117** *ὅσον* **m**[17]: *ᾧ* **PB** | *δὲ μὴ* **Pm**[17]: *μὴ δὲ* **B** || **118** *κατανάλωσεν* **m**[17]: *κατηνάλωσεν* **B**: *καταναλύει* **P** | *συντηρουμένη* **Pm**[17]: *-μενος* **B** | *ἠλευθέρωται* **Pm**[17]: *-ωτο* **B** || ad **119** *πατρός* finit **m**[17] || **122** *τοῖς ἐπιλοίποις* **B**: *τῶν ἐπὶ λόγοις* **P**

44

Τοῦ αὐτοῦ ἀλληγορία περὶ τῆς Σφιγγός

Ἐπὶ τῶν λεγομένων τελετῶν τὰ μὲν ἄδυτα ἔνδον ἦν, ὡς δηλοῖ καὶ τοὔνομα, τὰ δὲ παραπετάσματα προεβέβληντο, ἀθέατα τὰ ἐν τοῖς ἀδύτοις φυλάττοντα. ἐν δὲ τοῖς Ἐλευσινίοις ἀνεῴγνυντό τε ταῦτα καὶ ἀπεγυμνοῦντο τὰ κεκρυμμένα. ἐγίγνετο δὲ τοῦτο ἐν περιόδῳ ἐτῶν, ἵνα 5 *μὴ τὰ ἀβέβηλα βεβήλοις πολλάκις ὀπτάνοιντο· ὑμεῖς δὲ καὶ τῆς ἡμέρας πολλάκις τὸν ἱεροφάντην καταβιάζεσθε τὰ κελύφανα τοῦ μύθου περιρρηγνύειν, ἵνα τὸ ἀποκείμενον τῷ ἐλύτρῳ ἀπόρρητον ἐκεῖθεν ἀναλαβόντες καταβροχθίσησθε. ἐγὼ δὲ ἀπώκνησα ἂν τοῦτο ποιεῖν, εἰ μὴ αἱ μὲν ἀρχαῖαι κατήργηντο τελεταί, θεῖα δὲ ἐκρατύνθη δόγματα, ἀνα-* 10 *πεταννύοντα μὲν τὰ παραπετάσματα, ἔνδον δὲ τοῦ ἀδύτου πολλάκις εἰσάγοντα τὸν τελούμενον. διὰ τοῦτο περιρρηγνύσθω μὲν τὸ τοῦ μύθου τῆς Σφιγγὸς ἔλυτρον, τὸ δὲ κεκρυμμένον ἀνακεκαλύφθω φιλοσοφίαν ἔχον ἀπόρρητον.*

Πλάττει δὲ ταύτην ὁ μῦθος κόρην εὐπρόσωπον οὐ μέχρι ποδῶν, 15 *ἀλλ' ἕως ὀμφαλοῦ, τὸ δὲ μετὰ ταῦτα δασεῖα ἡ θρὶξ καὶ πόδες θηρὸς καὶ οὐρὰ μακρά, ἡ δὲ γλῶττα ἀττικίζουσά τε καὶ Πυθαγόρειος, αἰνιττομένη τὰ πράγματα· τῷ γὰρ ἀνθρώπῳ τὸν λόγον προσάπτουσα, ἑτέροις τοῦτον, ὡς ἴστε, ἡρμήνευε τοῖς ὀνόμασι. τοιοῦτον μὲν τὸ τοῦ μύθου τέρας, καὶ δεδόσθω τοῖς ποιηταῖς ἐπ' ἐξουσίας πλάττειν ἃ* 20 *βούλοιντο, ἀλλ' ὁ φιλόσοφος νοῦς μὴ τῷ φαινομένῳ προσκείσθω, ἀλλὰ τῷ αἰνισσομένῳ διὰ τοῦ τέρατος. ὁ τοίνυν ἐμὸς λόγος περὶ τῆς Σφιγγὸς τοιοῦτος.*

Ἡ Σφὶγξ οὐδὲν ἄλλο ἐστὶν ἢ ἄνθρωπος ἐξ ἀνομοίων συγκείμενος. πολυμερὲς γὰρ χρῆμα ἡ οὐσία ἡμῶν· τὰ μὲν γὰρ ταῖς λογικαῖς δυνά- 25 *μεσι συναπτόμεθα, τὰ δὲ τῆς ἀλόγου μετέχομεν φύσεως· τὸ μὲν γὰρ ἐν ἡμῖν ἓν καὶ ὁ μετ' ἐκεῖνο νοῦς καὶ ἡ μετὰ τοῦτον διφυὴς διάνοια,*

44 P 66ᵛ–67ʳ **V** 175ʳ–177ʳ (**v**^{14}**v**^{46}**p**^{12}**v**^{30}) || 7–9 (et 12–13) cf. infra 46,130–131

44 1 *Τοῦ – σφιγγός* **V**: *τοῦ αὐτοῦ εἰς τὴν σφίγγα* **P** || 3 *προεβ.* **P**: *προβέβληντο* **V** || 4 *τε* **V**: om. **P** || 5 *τοῦτο* **P**: *τούτοις* **V** | *περιόδῳ* **P**: *περιόδοις* **V** || 6 *πολλάκις* **V**: om. **P** | *ὀπτάνοιντο* **V**: *-οιτο* **P** || 7 *καταβ.* **V**: *βιάζεσθε* **P** | *τὰ* **P**: *καὶ τὰ* **V** | *κελύφανα* **V**: *κέλυφα* **P** (forma quae et in Psell. apud Bidez CMAG VI 44, 4 legitur) || 8 *ἐλλύτρῳ* **P V** | *ἐκεῖθεν* **V**: *ἐκεῖ* **P** || 9 *καταβροχ.* **V**: *ἀναβροχθίσησθε* **P** || 10 *κατήργηντο* **V**: *-ηνται* **P** || 13 *ἔλλυτρον* **P V** || 16 *ἕως* **V**: om. **P** | *δασεῖα ἡ θρὶξ* **V**: *δασὺ τῇ τριχὶ* **P** || 17 *γλῶττα* **P**: *-σσ-* **V** || 19 *ἴστε* **P**: *ἦσται* **V** | *τοιοῦτον* **V**: *καὶ τ.* **P** || 20 *ἐπ' ἐξουσίας* **V**: om. **P** || 25 *γὰρ*^{2} **P**: om. **V** | *ταῖς λογικαῖς δυνάμεσι* **V**: *τῇ λογικῇ δυνάμει* **P**

ἥ τε ἀληθὴς δόξα τὸ τῆς διανοίας συμπέρασμα, λογικὰ πάντα καὶ θεῖα· ἡ δὲ φαντασία καὶ ἡ αἴσθησις καὶ ὅσα σώματος δεῖται πρὸς τὴν 30 *ὑπόστασιν, ἄλογα καὶ κτηνώδη καὶ πρὸς τὸ ἐκτὸς νενευκότα. ἔστι οὖν ταῦτα καὶ καθ' ἑαυτὰ τῷ λόγῳ διαιρετά, ἀλλ' ἡ τοῦ ἀνθρώπου πλάσις συγχεῖ πάντα καὶ τέως πέφυκεν ἀφανῆ. εἰ μὲν οὖν εὐθὺς τῷ φρονεῖν φιλόσοφόν τις σχοίη νοῦν καὶ γνοίη τί ὄντα νοῦς καὶ ψυχὴ ποῖ γέγονε, μισεῖ μὲν τὴν ὕλην, ἀποστρέφεται δὲ τὸ σῶμα, μύσας δὲ τὰς* 35 *αἰσθήσεις καὶ πολλὰ χαίρειν εἰπὼν τῇ φαντασίᾳ, πρῶτον μὲν τὴν ψυχὴν ἐπὶ τῆς οἰκείας οὐσίας τηρεῖ, ἔπειτα δὲ ἔνδον χωρεῖ πρὸς τὸν νοῦν καὶ διὰ ⟨τοῦ⟩ νοῦ συγγίνεται τῷ θεῷ. εἰ δ' ὡς ἔτυχε μείνῃ ἐπὶ τῆς γενέσεως καὶ χρῷτο μὲν ταῖς αἰσθήσεσι, φαντασιώδη δὲ κτήσαιτο τὴν ζωήν, πρὸς τὴν τῶν θηρίων φύσιν ταῖς προαιρέσεσιν ηὐτομόλησεν·* 40 *ἔνθα δὴ γενόμενος τῶν μὲν κυρίως ὄντων οὐδὲν οἴεται εἶναι, ἐκεῖνα δὲ ὑφίστασθαι μόνα δοκεῖ ὧν ἂν ἀπρὶξ ταῖν χεροῖν λάβοιτο. ἐν τῷ τοιούτῳ γοῦν βίῳ καὶ κύνες ἐνεοὶ καὶ ἐκ δρυμοῦ σύες καὶ μονιοὶ ἄγριοι καὶ χρεμετίζοντες ἵπποι ἐπὶ τὴν γειτνιῶσαν παρὰ τῆς θείας γραφῆς κατονομαζόμεθα, ἐπὶ δὲ θατέρου βίου ἄγγελοι καὶ παῖδες θεοῦ, εἴπω* 45 *δὲ καὶ θεοί. ἀλλ' ἐπεὶ ἐς τοσοῦτον ἀφεστᾶσι τὰ ἀντικείμενα – μέγα γὰρ χάσμα ἐστήρικται μεταξὺ θεοῦ καὶ θηρός –, δεῖ καὶ μέσην ἀμφοτέροις δοῦναι ζωήν, ἣν τὰ μὲν τῶν Χαλδαίων λόγια ἑτεροφαῆ φασι καὶ ἑτεροκνεφῆ κατὰ τὴν πρὸς θάτερον τῶν ἄκρων ἀπόκλισιν καὶ ἐγγύτητα, ἐγὼ δὲ ἁπλῶς οὕτως ἀνθρωπίνην κατονομάσαιμι. τριττὴν οὖν,* 50 *ὡς ὁ λόγος ἡρμήνευσεν, ἐφωράσαμεν τὴν ζωήν, θηριώδη καὶ ἀνθρωπίνην καὶ θεοειδῆ. ἀλλ' ἐν μὲν τῇ θηριώδει σωματικὰ πάντα καὶ θεῖον οὐδέν, ἐν δὲ τῇ θείᾳ φιλόσοφος ἡ διεξαγωγὴ καὶ κατάργησις τῶν αἰσθήσεων, ἐν δὲ τῇ μέσῃ καὶ ἀνθρωπίνῃ σύμμιξις ἐξ ἀμφοῖν· ἐνταῦθα γὰρ οὔτε θηρίον ἐσμὲν οὔτε θεός, ἀλλ' ἀμφότερα, καὶ οὐδὲ ἀμφότερα* 55 *καθαρῶς. ἐν τίνι οὖν τῶν τριῶν ζωῶν εὑρηκέναι τὴν Σφίγγα οἰόμεθα; ἢ δῆλον ἐν τῇ μέσῃ καὶ ἀνθρωπίνῃ· οὔτε γὰρ ἄνθρωπος αὕτη τελέως,*

41 cf. Pl. Tht. 155 e ‖ 42 *κύνες ἐνεοὶ*] Is. 56, 10 | *ἐκ – ἄγριοι* Ps. 79, 14 ‖ 43 Ier. 5, 8 ‖ 44 sq. cf. Ps. 81, 6 ‖ 45 sq. cf. Luc. 16, 26 ‖ 47–48 *ἑτεροφαῆ … ἑτεροκνεφῆ*] cf. Syn. Insomn. 141C–D; Psell. Phil. min. II 127, 7 ‖ 52 *κατάργησις τῶν αἰσθήσεων*] Corp. Herm. X 5

30 *οὖν* **V**: *μὲν οὖν* **P** ‖ 31 *ἑαυτὰ* **V**: *αὐτὰ* **P** | *πλάσις* **P**: *φύσις* **V** ‖ 32 *τῷ* **P**: *τοῦ* **V** ‖ 33 *ὄντα* **PV**: *ὄντων* **p**[12]: *ὄντως* **V** mg. ‖ 35 *πρῶτον* **P**: *πρῶτα* **V** ‖ 36 *δὲ* **P**: om. **V** ‖ 37 *τοῦ* **p**[12]: om. **PV** ‖ 38 *φαντασιώδη – 39 ζωήν* **V**: *φαντασιώδει δὲ κέχρηται τῇ ζωῇ* **P** ‖ 41 *μόνα* **V**: *μόνον* **P** | *λάβοιτο* **V**: *λάβηται* **P** ‖ 42 *ἐνεοὶ* **P**: *ἐννεοὶ* **V** ‖ 47 *τῶν* **P**: om. **V** ‖ 48 *καὶ*[1] **V**: *ἢ* **P** ‖ 50 *ἐφωράσαμεν* **V**: post *ζωήν* trsp. **P** ‖ 53 *δὲ* **P**: post *μέσῃ* trsp. **V** ‖ 54 *καὶ οὐδὲ ἀμφότερα* **V**: *ἢ οὐδὲν ἑκάτερον* **P** ‖ 55 *οὖν* **V**: *γοῦν* **P** | *ζωῶν* **P**: *ζώων* **V**

ὅτι θηρίον τὰ μετὰ τὴν ἰξύν, οὔτε θὴρ ἀκριβῶς, ὅτι τὰ πρὸ τοῦ ὀμφαλοῦ ἄνθρωπος. ἐβούλετο μὲν γὰρ πᾶσαν τὴν κάτω γένεσιν καταλιπεῖν καὶ διόλου παρθένος εἶναι καλή, ἀλλ' ἡ φαντασιώδης ζωή, οἷον ἀφιπταμένην τοῦ σώματος κατασχοῦσα ταύτην, τὸ κάτω μέρος αὐτῆς 60 *ἀπεκτήνωσε. διὰ τοῦτο ὁμιλεῖ μὲν ἀνθρωπίνῃ φωνῇ, ἀσαφῆ δὲ φθέγγεται καὶ δυσνόητα, ὅτι μὴ διόλου σοφὴ ἵνα καὶ σαφής. ἐντεῦθεν γὰρ ἡ σοφία ἠτυμολόγηται, ὡς καὶ τῷ Ἀριστοτέλει ἐν ταῖς Θεολογίαις δοκεῖ· ᾗ μὲν γὰρ ἐκπέφευγε τὸ θὴρ εἶναι, ἔναρθρος αὐτῇ ἡ φωνή, ᾗ δὲ μὴ πρὸς τὴν θείαν τελέως ζωὴν μετεσκήνωσεν, ἀσαφῆ καὶ συγκε-* 65 *χυμένα τὰ φθέγματα.*

Ἔχει γὰρ οὕτως, ἵνα τι παραδηλώσω τῶν ἀπορρήτων ὑμῖν· ὁ νοῦς πάντων ἔχει τὰ εἴδη τῶν ὄντων· εἰ δὲ καὶ τῶν γινομένων ἡ ψυχή, ὥς τις ἔφη, ἄλλος οὗτος λόγος καὶ δεόμενος ἐξηγήσεως· φαντασία δὲ πλάνον χρῆμα καὶ ἀνόητος καθ' ἑαυτήν. κεχωρισμένων δὲ ἀπ' ἀλλή- 70 *λων, νοῦ λέγω καὶ φαντασίας, ὡς ἐπὶ ἀγγέλου καὶ θηρός, ὁ μὲν ὁμοῦ πάντα γνοίη, ἄνωθεν δεχόμενος τὰς πηγάς, φαντασία δὲ οὐδὲν ἂν τῶν ὄντων λογίσαιτο. ἄμφω δὲ ἐπὶ τοῦ ἀνθρώπου μιγνύμενα καὶ θάτερον θατέρου ἀναπιπλάμενα, ὁ μὲν νοῦς φαντασιοῦται, ἡ δὲ φαντασία νενόωται. διὰ τοῦτο καὶ κατὰ νοῦν ἐνεργοῦντες οἱ ἄνθρωποι οὐκ ἀφάν-* 75 *ταστον τὴν νόησιν ἔχομεν καὶ φαντασιούμενοι τῆς νοερᾶς ἐνεργείας οὐκ ἐστερήμεθα. ταῦτα δὲ γίνεται ὁπότε μάχη ἐν ἡμῖν εἴη σώματός τε καὶ πνεύματος, ἐπεὶ νικήσαντος μὲν τοῦ σώματος φανταστικοὶ πάντῃ γινόμεθα, ὑπερισχύσαντος δὲ τοῦ πνεύματος νοεροί· ἔστ' ἂν δὲ παρὰ μέρος ἑκάτερον κρατῇ καὶ κρατῆται, σφίγγες ἐσμὲν ἀτεχνῶς.* 80

Ἔστι δὲ καὶ τὸ ὄνομα τοῦ πράγματος δηλωτικόν· μελλούσης γάρ πως ἀποπτῆναι τοῦ σώματος τῆς ψυχῆς, τὸ μὲν ἄνω μέρος αὐτῆς ἐκπέφευγε, τὸ δὲ κάτω σφίγγεταί πως ὑπὸ τῆς φαντασίας καὶ ἐπέχεται πρὸς τὴν γένεσιν. διὰ τοῦτο ὃ μὲν ἀπέπτη εὐπρόσωπος παρθένος ἐγέ-

63 *ἐν ταῖς Θεολογίαις*] de hac re in Met. nihil invenitur; cf. Ascl. in Met. 3,30–33 || **68** sq. fort. alludit ad Pl. Tim. 29 d 7–30 c 1

58 *γένεσιν καταλιπεῖν* **P**: *καταλιπεῖν γένεσιν* **V** || **60** *μέρος αὐτῆς* **P**: *αὐτῇ* **V** || **61** *ἀπεκτήνωσε* **P**: *ἀπεπτήνωσε* **V** || **62** *ἵνα* **P**: *εἶναι* **V** || **63** *σοφία* **P**: *φιλοσοφία* **V** | *ἠτυμ.* **V**: *ἐτυμολόγηται* **P** || **64** *αὐτῇ* **V**: *αὐτὴ ἡμῖν* **P** || **65** *μὴ* **P**: om. **V**: *οὐ* **v**[14] | *τελέως ζωὴν* **V**: *ζωὴν τελέως* **P** || **67** *παραδηλώσω* **V**: post *ὑμῖν* trsp. **P** | *ὑμῖν* **P**: *ἡμῖν* **V** || **68** sq. *ὥς τις ἔφη* **P**: *ὅστις ἔφησεν* **V** || **70** *χρῆμα* **P**: *πρᾶγμα* **V** || **71** *ὡς* **P**: *ὥσπερ* **V** || **74** *ἀναπιπλάμενα* **V**: *ἀνεμπιπλάμενον* **P** | *νενόωται* **P**: *νενόηται* **V** || **77** *ὁπότε* **P**: *εἰ* **V** || **78** *ἐπεὶ* **P**: *ἐπεὶ δὲ* **V** || **79** *δὲ*[2] **P**: om. **V** || **80** *ἑκάτερον* **P**: post *ἂν* trsp. **V** | post *ἑκάτερον* add. *ἑκατέρου* **p**[12] || **81** *δὲ καὶ* **V**: *δὲ* **P** || **81** sq. *γάρ πως* **V**: *γὰρ* **P** || **83** *σφίγγεταί* **V**: *συσφίγγεταί* **P** || **84** *ἐγένετο* **V**: *γίνεται* **P**

85 *νετο, οἷον ἀδιάφθορος νοῦς καὶ ἀκήρατος καὶ γυμνὸς τῆς ἔξω περιβολῆς, ὃ δὲ κατεσχέθη θηρίον ἐστὶ τετριχωμένον τοὺς πόδας καὶ ἀκμάζον τοῖς ὄνυξιν, ὡς εἶναι τὸ ξύμπαν τῆς Σφιγγὸς ἢ φαντασία νοῦ μετέχουσα ἢ νοῦς ἐπισυρόμενός τι καὶ τῆς κάτω γενέσεως. ἀσαφὴς οὖν αὐτῇ καὶ ἡ φύσις καὶ ἡ φωνή.*

90 *Διὰ ταῦτα καὶ τὸν ἄνθρωπον ὑπαινίττεται, δίπουν αὐτὸν τερατολογοῦσα καὶ τετράπουν καὶ τρίπουν. τοῦτο δὲ τοιοῦτόν ἐστιν· οἱ ἀριθμοὶ κατὰ τοὺς Πυθαγορείους τῶν πραγμάτων εἰσὶ δηλωτικοί· εἴδη γὰρ αὐτῶν εἰσιν οὗτοι, οὐχ, ὡς Ἀριστοτέλης οἴεται, ἀχώριστοι, ἀλλὰ χωριστοὶ καὶ καθ' ἑαυτούς. δύναται οὖν αὐτοῖς ὁ τέσσαρα ἀριθμὸς ὡς*
95 *μὲν τετράγωνος τὴν θείαν φύσιν, διότι προσέοικε τῇ μονάδι, ὡς δὲ ἄρτιος τὴν κάτω καὶ γεννητήν, ὅτι διαιρετός ἐστιν. ἀλλ' ἐνταῦθα ὁ τέσσαρα τὴν χείρονα ἡμῖν φύσιν δηλούτω, τὴν σωματικήν φημι καὶ στοιχειώδη· ὁ δὲ τρία, ἐπεὶ μονάδι τοῦ τέσσαρα ἀπολείπεται, κρείττων ἐστὶν ἐκείνου καὶ τελεώτερος· ὁ δὲ δύο τὴν ἀμφίβολον δεικνύτω*
100 *προαίρεσιν, πρὸς ἑκατέρους τοὺς βίους ῥέπουσάν τε καὶ μετακλινομένην. γεννώμενος οὖν ὁ ἄνθρωπος πρῶτον μὲν τετραδικός ἐστι, σωματικὸς τὸ ὅλον καὶ στοιχειώδης, μηδὲν μὲν ἐννοῶν νοερόν, πρὸς δὲ τὴν γῆν ἰλυσπώμενος· ἁπτόμενος δὲ τοῦ φρονεῖν δυαδικὸς γίνεται, ἐνταῦθα ἢ ἐνταῦθα μετακλινόμενος καὶ πρὸς ἑκάτερον τῶν βίων μετατιθέμενος,*
105 *τοῦ χείρονός φημι καὶ τοῦ κρείττονος· γηράσκων δὲ καὶ πρὸς τὴν φρονοῦσαν ἡλικίαν προκόπτων τριαδικὸς εὑρίσκεται ἀπηκριβωμένος τῷ ὄντι καὶ τέλειος· ὑποβάλλεται γὰρ αὐτῷ ἔξωθεν οἷά τις βακτηρία ὁ ἀκήρατος νοῦς, ἐν ᾧ δὴ σκηριπτόμενος ἀνέχει τὴν κεφαλὴν καὶ συνέχει τὴν οὐσίαν τῆς φύσεως. τοιοῦτός ἐστιν ὁ τετράπους καὶ δίπους*
110 *καὶ τρίπους ἄνθρωπος.*

Εἰ μὲν οὖν καὶ ὁ μῦθος τοιοῦτον ἐβούλετο, ἀγνοῶ· εἰ δ' ἐγὼ περιττόν τι ἐνόησα, καὶ τοῦτο φιλόσοφόν τε καὶ Πυθαγόρειον.

93 cf. Arist. An. 404 b 24–28; Met. 1083 b 8 sqq.; Phys. 203 a 6–7

85 *οἷον* **P**: *οἷα* **V** ‖ **87** *ξύμπαν* **P**: *πᾶν* **V** ‖ **88** *τι – γενέσεως* **V**: *ταῖς κάτω γενέσεσιν* **P** ‖ **90** *ὑπαινίττεται* **P**: *-σσ-* **V** ‖ **92** *ἀριθμοὶ* **P**: *ἀριθμητικοὶ* **V** ‖ **93** *ὡς* **P**: *ὡς ὁ* **V** | *ἀχώριστοι* **V**: *-τα* **P** ‖ **96** *καὶ γεννητήν* **V**: *γένεσιν* **P** ‖ **97** *ἡμῖν* **P**: *ὑμῖν* **V** ‖ **98** *ἐπεὶ μονάδι* **V**: *ἐπειδὴ μονάδος* **P** ‖ **99** *τελεώτερος* **P**: *τελειότερος* **V** ‖ **101** *πρῶτον* **P**: *πρῶτα* **V** ‖ **102** *ἐννοῶν νοερόν* **P**: trsp. **V** | *πρὸς δὲ* **P**: *περὶ* **V** ‖ **103** *ἁπτόμενος* **P**: *ἀπὸ* **V** ‖ **107** *ὁ* **P**: *καὶ* **V** ‖ **108** *σκηριπτόμενος* **P**, **V** a. c. (in *στηριζόμενος* corr. Allatius) | *κεφαλὴν – **109** τὴν* **P**: om. **V** ‖ **111** *ὁ μῦθος* **V**: partim evan. **P** | *τοιοῦτον* **P**: *τοῦτο* **V**

45

Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου

Ἐζήτησας τίνα ποτὲ νοῦν τὸ ἐν τῇ Ὀδυσσείᾳ τῶν νυμφῶν ἄντρον αἰνίττεται, τούτοις τοῖς ἔπεσιν ἐκπεφωνημένον τῷ ποιητῇ·

αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη,
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές, 5
ἱρὸν νυμφάων αἳ νηιάδες καλέονται·
ἐν τῷ κρατῆρές τε καὶ ἀμφιφορῆες ἔασι
λάινοι· ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
ἐν δ' ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε νύμφαι
φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι· 10
ἐν δ' ὕδατ' ἀενάοντα. δύω δέ τέ ⟨οἱ⟩ θύραι εἰσίν,
αἱ μὲν πρὸς βορέαο καταιβαταὶ ἀνθρώποισιν,
αἱ δ' αὖ πρὸς νότον εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
ἄνδρες ⟨εσ⟩έρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστι.

Τὰ μὲν περὶ τοῦ ἄντρου ἔπη τοῦ ποιητοῦ ταῦτα· κατὰ δὲ τὰς Ἑλ- 15
ληνικὰς δόξας ἀφωσίωται τὸ προκείμενον ἄντρον ψυχαῖς ταῖς εἰς γένεσιν κατιούσαις. αὗται γάρ εἰσιν αἱ ναΐδες νύμφαι· ταύταις γὰρ ἱερός ἐστιν ὁ κόσμος καὶ ἐπέραστος καὶ ἀεροειδής, καίπερ σκοτεινὸς ὢν φύσει καὶ ἀχλύος μεστός. σύμβολα δὲ ὑδριάδων νυμφῶν οἱ λίθινοι κρατῆρες καὶ οἱ ἀμφορεῖς, διότι ἐν ὀστοῖς καὶ περὶ ὀστᾶ ἡ σαρκοποιία. 20
τὰ δὲ ἁλιπόρφυρα φάρη ἄντικρυς ἡ ἐξ αἱμάτων ἂν εἴη ἐξυφαινομένη σάρξ, καὶ χιτὼν τὸ σῶμα τῇ ψυχῇ ὃ ἠμφίεσται, θαῦμα τῷ ὄντι ἰδέσθαι, εἴτε πρὸς τὴν σύστασιν ἀποβλέποις εἴτε πρὸς τὴν σύνδεσιν τῆς ψυχῆς τὴν πρὸς τοῦτο.

Ἔστι δὲ τὰ μὲν βόρεια ψυχῶν εἰς γένεσιν κατιουσῶν· διὰ τοῦτο τοῦ 25
ἄντρου αἱ πρὸς βορέαν πύλαι καταβαταὶ ἀνθρώποις· τὰ δὲ νότια οὐ θεῶν, ἀλλὰ τῶν εἰς θεοὺς ἀνιουσῶν. διὸ οὐδὲ εἴρηκεν 'αἱ πρὸς νότον

45 P 105v–106r **A** 43r || **4–14** Hom. Od. 13,102–112 || **15–17** Porph. Antr. 12,12–14 || **17–19** 14,17–19 || **19–20** 14,30–31 || **20** 16,6 || **21–24** 16,8–9; 11–13 || **25–29** 22,18–23

45 1 *Ἀλληγορία – ἄντρου* **P**: *περὶ τοῦ παρ' ὁμήρῳ ἰθακησίου ἄντρου ἐν ὀδυσσεία* **A** || **2** *Ἐζ. –* **3** *ποιητῇ* **P**: om. **A** || **4** *τανίφυλλος* **P A** || **6** *νηϊάδες* **P**: *νηίδες* **A** || **11** *ὕδατα ἐννάοντα* **P A** | *οἱ* Hom., Porph.: om. **P A** || **12** *καταιβαταὶ* **P**: *καταβ.* **A** || **13** *νῶτον* **A**: *νότον* ut vid. **P** || **14** *ἔρχονται* **P A** || **15** *ἔπη – ταῦτα* **P**: *τῶ ποιητῆ ἔπη ταῦτα* **A** || **16** *ἀφωσ.* **P**: *ἀφωμοίωται* ut vid. **A** || **25** *διὰ –* **27** *ἀνιουσῶν* **P**: om. **A**

θεῶν', ἀλλὰ 'θεώτεραι', ὅτι ἄμφω μὲν ψυχῶν πύλαι, ἀλλ' αἱ μὲν εἰς ἀνθρώπους ἐρχομένων, αἱ δὲ εἰς θεοὺς ἀνιουσῶν. δύο γὰρ ἔθεντο πύ-
30 *λας οὐρανοῦ οἱ τῶν Ἑλλήνων θεολόγοι, καρκίνον καὶ αἰγόκερων, Πλά- των δὲ δύο στόμια ἔφη· τούτων δὲ καρκίνον μὲν εἶναι δι' οὗ κατίασιν αἱ ψυχαί, αἰγόκερων δὲ δι' οὗ ἀνίασιν. ἀλλὰ καρκίνος μὲν βόρειος καὶ καταβατικός, αἰγόκερως δὲ νότιος καὶ ἀναγωγός. οὔτε οὖν ἀνατολῇ καὶ δύσει τὰς θύρας ἀνατέθεικεν οὔτε ταῖς ἰσημερίαις, οἷον κριῷ καὶ*
35 *ζυγῷ, ἀλλὰ νότῳ καὶ βορρᾷ. ψυχαῖς γὰρ γενέσεως καὶ ἀπογενέσεως οἰκεῖοι οἱ τόποι. ἀλλ' ὁ μὲν βορρᾶς οἰκεῖος ταῖς εἰς γένεσιν ἰούσαις· διὸ καὶ τοὺς ἀποθνήσκειν μέλλοντας ἡ βορέου πνοιὴ*

ζωγρεῖ ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν,

ἡ δὲ τοῦ νότου διαλύει θερμοτέρα ὑπάρχουσα καὶ πρὸς τὸ θερμὸν τοῦ
40 *θείου ἀναπέμπουσα. βορειοτέρας δὲ οὔσης τῆς ἡμετέρας οἰκουμένης ἀνάγκη τὰς τῇδε κυομένας βορρᾷ ἀνέμῳ ὁμιλεῖν καὶ τὰς ἐντεῦθεν ἀπαλλαττομένας νότῳ. αὕτη δὲ καὶ ἡ αἰτία τοῦ τὸν μὲν βορρᾶν εὐθὺς ἀρχόμενον μέγαν εἶναι, τὸν δὲ νότον λήγοντα. ὁ μὲν γὰρ εὐθὺς ἐπίκει- ται τοῖς ὑπὸ τὴν ἄρκτον οἰκοῦσιν, ὁ δὲ μακρὰν ἀφέστηκε· χρονιωτέρα*
45 *δὲ ἡ ἐκ τῶν ἄποθεν ἐπιρροή· καὶ ὅταν ἀθροισθῇ, τότε πληθύνει. καὶ ἡλίου δὲ πύλαι καρκίνος ἐστὶ καὶ αἰγόκερως· ἄχρι γὰρ τούτων ἀπὸ βορείου ἀνέμου εἰς τὰ νότια πρόεισι κατιὼν κἀκεῖθεν ἐπάνεισιν εἰς τὰ βόρεια. τὰ δὲ ζῴδια ταῦτα καὶ πέρατα τοῦ γαλαξίου εἰσίν, ἐπέχει δὲ καρκίνος μὲν τὰ βόρεια, αἰγόκερως δὲ τὰ νότια. ἔτι τὰ μὲν νότια μι-*
50 *κροφυῆ ποιεῖ τὰ σώματα, ἐν δὲ τοῖς βορείοις εἰς μέγεθος ταῦτα τρέ- φεται. κατὰ ταῦτα τοίνυν τῷ μὲν θνητῷ καὶ γενέσει ὑποπτώτῳ φύλῳ τὰ βόρεια οἰκεῖα, τῷ δὲ θειοτέρῳ τὰ νότια, ὥσπερ θεοῖς μὲν τὰ ἀνα- τολικά, δαίμοσι δὲ τὰ δυτικά.*

Πεποίηνται δὲ τῷ ποιητῇ καὶ πίθοι δύο, καί φησι περὶ αὐτῶν·

55 *δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων,*

πίθου νενομισμένης καὶ παρὰ Πλάτωνι ἐν Γοργίᾳ τῆς ψυχῆς, καὶ τῆς μὲν οὔσης λογικῆς, τῆς δὲ ἀλόγου, πίθοι δὲ ὅτι χωρήματά εἰσιν αἱ

29–33 22,14–18 ‖ **33–36** 24,3–5; 7–8 ‖ **36–45** 24,18–26,1 ‖ **37–38** Hom. Il. 5,697–698 ‖ **46–49** Porph. 26, 26–28, 1 ‖ **49–53** 28, 7; 9; 13–15 ‖ **54–61** 28, 26–30, 2 ‖ **54–55** Il. 24,527–528 ‖ **56** Plat. Gorg. 493 d 6–494 a 5

28 *θεῶν* **P**: *θεοῦ* **A** | *εἰς* **P**: *ἐς* ut vid. **A** ‖ **31** *κατιᾶσιν* **P A** ‖ **38** *ζωγρεῖ* **P**: *ζώγρει* **A** | *ἐπιπνείουσα* **P**: *ἐπιπνοίουσα* **A** ‖ **41** *ὁμιλεῖν* **P**: *προσομιλεῖν* **A** ‖ **42** *βορρᾶν* **A**: *βορᾶν* **P** ‖ **45** *καὶ*[2] – **58** *ἕξεων* **P**: om. **A** ‖ **51** *ὑποπτωτῶ* **P**

ψυχαὶ διαφόρων ἐνεργειῶν τε καὶ ἕξεων. καὶ παρ' Ἡσιόδῳ ὁ μέν τις νοεῖται πίθος δεδεμένος, ὁ δὲ ὃν λύει ἡ ἡδονὴ καὶ εἰς πάντα διασκεδάννυσι μόνης ἐλπίδος μενούσης. ἐν τούτοις γὰρ ἡ φαύλη ψυχὴ σκι- 60 *δναμένη ταῖς ἀγαθαῖς ἐλπίσιν ἑαυτὴν βουκολεῖν εἴωθεν.*

Λείπεται δὲ παραστῆσαι καὶ τὸ τῆς πεφυτευμένης ἐλαίας σύμβολον ὅ τί ποτε μηνύει, οὐχ ἁπλῶς παραπεφυτευμένη, ἀλλ' ἐπὶ κρατὸς λιμένος· αὕτη γάρ ἐστιν ἡ συνέχουσα τοῦ ἄντρου τὸ αἴνιγμα. ἐπεὶ δὲ ὁ κόσμος οὐκ εἰκῇ οὐδὲ ὡς ἔτυχε γέγονεν, ἀλλ' ἔστι φρονήσεως θεοῦ 65 *καὶ νοερᾶς φύσεως ἀποτέλεσμα, παραπεφύτευται τῇ εἰκόνι τοῦ κόσμου, τῷ ἄντρῳ φημί, σύμβολον φρονήσεως θεοῦ ἡ ἐλαία. Ἀθηνᾶς γὰρ τὸ φυτὸν κατὰ τὰς τῶν Ἑλλήνων δόξας· φρόνησις δὲ κατ' ἐκείνους ἡ Ἀθηνᾶ. κρατογενοῦς δὲ οὔσης τῆς θεοῦ, ἐπὶ κρατὸς τοῦ λιμένος ὁ ποιητὴς αὐτὴν καθιέρωσε· χωριστὴ μὲν γάρ ἐστιν ἀπ' αὐτοῦ, πλη-* 70 *σίον δὲ κατὰ κεφαλῆς τοῦ σύμπαντος λιμένος ἵδρυται. ἀειθαλὴς δὲ οὖσα ἡ ἐλαία φέρει τι ἰδίωμα οἰκειότατον ταῖς ἐν τῷ κόσμῳ τροπαῖς τῶν ψυχῶν αἷς τὸ ἄντρον καθιέρωτο. θέρους μὲν γὰρ τὰ λευκὰ τῶν φύλλων ἀνανεύει, χειμῶνος δὲ μεταστρέφει τὰ λευκότερα.*

Τοιαύτη τῶν ἐπῶν ἡ ἀλληγορία. ὅτι γὰρ οὐ καθ' ἱστορίαν παρειλη- 75 *φὼς Ὅμηρος μνήμην τῶν παραδοθέντων πεποίηται, δηλοῦσιν οἱ τὰς περιηγήσεις τῆς νήσου διαγράψαντες, οὐδενὸς τοιούτου κατὰ τὴν νῆσον ἄντρου μνησθέντες. ἀνθρώπων μὲν γὰρ καὶ κρειττόνων φύσεων πλήρης ὁ κόσμος, τὸ δὲ Ἰθακήσιον ἄντρον πόρρω καθέστηκε τοῦ πείθειν ἐν αὐτῷ κατάβασιν εἶναι τῶν ἀνθρώπων καὶ ἀνάβασιν τῶν* 80 *κρειττόνων.*

Ἐδυνάμην ἴσως πρὸς τὰς ἡμετέρας εἰλικρινεῖς θεωρίας τὰ λόγια μετενεγκεῖν προσφυῶς· ἀλλ' οὐκ ᾠήθην δεῖν τὰ ψευδῆ καὶ πεπλανημένα ἀληθείας λαβεῖν ἔμφασιν, ἀλλὰ ταῖς οἰκείαις ἀναγωγαῖς αἰσχύνεσθαι καὶ δημοσιεύεσθαι, αἷς ὁ ἐξηγητὴς αὐτῶν Πορφύριος καὶ λίαν σεμνύ- 85 *νεται.*

46

(152r) *Περὶ τῆς χρυσῆς ἁλύσεως τῆς παρ' Ὁμήρῳ*

Ὁ μὲν Ὅμηρος ἴσως μέχρι τοῦ μυθικῶς εἰπεῖν τὰ περὶ τῆς χρυσῆς σειρᾶς προαγαγὼν ἀπηλλάγη, ὑμεῖς δέ μοι παρέχετε πράγματα τά τε

58–60 Hes. Op. 94–98 || **62–74** Porph. 30,13–32 || **75–78** 2,15–17 || **78–81** 2,23–25
46 P 152r–152v || **3–4** cf. Pl. Apol. 19 b 4–5

61 *εἴωθεν* des. **A** || **70** *πλησίον* Porph.: *πλὴν* **P**

ὕπερθεν οὐρανοῦ καὶ τὰ νέρθεν πολυπραγμονοῦντες τῆς γῆς. καὶ ὁ
5 μέν τις ὑμῶν τὸ περὶ τὴν χρυσῆν ἅλυσιν, ἕτερος δὲ τὸ περὶ τὴν αἰώραν, καὶ ἁπλῶς ἄλλος περὶ ἄλλο τι τοῦ μύθου, ἢ περὶ πάντα λιχνεύεσθε σύμπαντες· ἐγὼ δὲ καὶ πρὸς μὲν τὸ χαλεπώτατον τῆς ἀναλογίας ὁρῶν ἀποδειλιῶ, οὐχ ἥκιστα δὲ ὅτι μὴ Ἑλληνικῶς τὰ Ἑλληνικὰ ἀλληγορέειν ἐμὲ βούλεσθε μόνον, ἀλλὰ καὶ πρὸς τὰς ἡμετέρας δόξας με-
10 ταβιβάζειν τὰ παρ' ἐκείνοις ἀπόρρητα. ἀλλ' εἰ δοκεῖ πρότερον οἰκείως αὐτοῖς ἑπόμενοι Ἑλληνιστὶ ῥαψῳδήσωμεν ἢ ἀλληγορήσωμεν, εἶτα καὶ τῷ ἡμετέρῳ ποτίμῳ νάματι τὸ ἁλμυρὸν αὐτοῖς ἀποκλύσωμεν.

Φησὶν οὖν ὁ παρ' ἐκείνοις Ζεὺς τῶν μετ' αὐτὸν θεῶν ἀποπειρώμενος ὅτι 'χρυσῆν ἐξ οὐρανοῦ σειρὴν καθείς, ἣν κοινῶς ἅψοισθε σύμ-
15 παντες, ἐγὼ μὲν μεθ' ὑμῶν ταύτην εὐπετῶς ἀνελκύσαιμι, ὑμῖν δὲ ἀνθέλκουσιν ἔσται οὐδ' ὁτιοῦν· εἶτα δὴ ἀνελκύσας πάντας ὑμᾶς τοὺς θεούς, ὅσοι τε ἄρρενες καὶ ὅσαι θήλειαι, τὴν μὲν σειρὴν ὄρους ἀκρωτηρίῳ τινὸς ᾧ ἂν ἐθέλοιμι ἀποδεσμήσαιμι, ὑμᾶς δὲ ἄνευ δεσμοῦ μετεωριῶ.' τοιοῦτον μὲν τὸ τοῦ Ζηνὸς τοῦτο γαυρίαμα, εἴτε τίς ἐστιν
20 ὕπατος τῶν ἄλλων θεῶν εἴτε Κρόνου υἱός.

Ἐγὼ δὲ πρὸς ταῦτα φήσαιμ' ἂν ἐκεῖνο, ὡς ὁ ποιητὴς οὗτος ἱκανῶς τοῖς Ὀρφικοῖς ἀπορρήτοις προσομιλήσας οὐ γυμνὰ προφέρει τὰ πράγματα, ὥσπερ ἐκείνου νόμος, ἀλλ' ἐνειλήσας αὐτὰ τῷ ἐκ τοῦ μύθου κόπρῳ, ὥς τις ἄλλος τὸν Δία, προτίθεται τοῖς ἀκροαταῖς. ἀλλ' ὑμεῖς
25 μὲν οὕτως ἐχόντων οὐκ ἂν αὐτῶν γεύοισθε· ἢν δ' ἀφέλωμαι τὴν περιβολήν, ὥσπερ δέρας τοῦ τεθυμένου ἱερείου, τάχ' ἂν ὑμῖν φανείη τὸ δεδομένον ἐδώδιμον.

Ἔστιν οὖν οὗτος ὁ Ζεὺς οὔθ' ὁ μετὰ τὸν Κρόνον πλάνης οὔτε ὁ ἐξ ἐκείνου φύς, ἀλλ' ὁ παρ' αὐτοῖς εἰσαγόμενος δημιουργὸς τῷ παντί, ὃν
30 δὴ ὁ Κρόνος μὲν ἀπεγέννησεν, ἀρχηγικώτερος δὲ γεννήτωρ ὑπάρχει, τὸ ἕν. οἱ γὰρ θεολογικώτεροι τῶν Ἑλλήνων τὸ πρῶτον ἀγέννητον τῇ τῆς πληθύος ὑπεξαιρέσει ἓν ὀνομάζουσιν, ἀφ' οὗ δὴ γεννῶσι τὸν νοῦν, ὅν, ἐπειδὴ ἀμέσως τοῦ ἑνὸς ἀπολαύει, Κρόνον κικλήσκουσιν, ἤγουν κεκορεσμένον νοῦν καὶ πληρέστατον· ἀφ' οὗ τὸν δημιουργὸν ἀπογεν-
35 νήσαντες πρὸς τὴν κοσμογένειαν εἰσάγουσι, διὸ Ζῆνα ὀνομάζουσι καὶ Δία, Δία μὲν ὡς αἴτιον τῆς τῶν ὅλων ὑπάρξεως καὶ ὅτι διὰ πάντων τῶν ὄντων φοιτᾷ, Ζῆνα δὲ ὅτι αὐτὸς τὰς διαφόρους κινήσεις καὶ τὰς

12 cf. supra 42,140–141; Pl. Phaedr. 243 d || **14** sqq. Il. 8,18–27 || **23-24** alludit ad versus apud Philostr. Heroic. 25,8 || **19-20** cf. supra 43,28–31

32 *γεννᾷ* **P**: corr. Wk.

ἐξαλλαγὰς τῶν ζῴων τοῖς οὖσιν ἐνδίδωσι. μετὰ δὲ τοῦτον τὰς λοιπὰς θεογονίας παραδιδόασι, θεοὺς καὶ θεαίνας, ἀγγέλους καὶ ἀγγελίδας, δαίμονας καὶ δαιμονίδας, ἥρωάς τε καὶ ἡρωίνας. πολλὴ γὰρ ἡ τοιαύτη 40 *τῶν ὀνομάτων χρῆσις παρά τε τῷ Πλατωνικῷ Ἰαμβλίχῳ καὶ Πρόκλῳ τῷ διαδόχῳ τῶν ἐκείνου δογμάτων. ναὶ μὴν ἀλλὰ καὶ Πορφύριος πολλαχοῦ χρῆται ταῖς τοιαύταις προσηγορίαις, πρὸ δὲ πάντων οἱ ἐπὶ τοῦ Μάρκου Ἰουλιανοί· ὁ μὲν γάρ τις αὐτῶν πρεσβύτερος ἦν, ὁ δὲ νεώτερος. περὶ δὲ τοῦ νεωτέρου, ἵνα τι μικρὸν ἐκκόψω τὸν λόγον, καὶ* 45 *τοιοῦτον ἐπιθρυλλεῖται φλυάρημα, ὡς ὁ πατήρ, ἐπεὶ γεννῆσαι τοῦτον ἔμελλεν, ἀρχαγγελικὴν ᾔτησε ψυχὴν τὸν συνοχέα τοῦ παντὸς πρὸς τὴν τούτου ὑπόστασιν, καὶ ὅτι γεννηθέντα τοῖς θεοῖς πᾶσι συνέστησε καὶ τῇ Πλάτωνος ψυχῇ Ἀπόλλωνι συνδιαγούσῃ καὶ τῷ Ἑρμῇ, καὶ ὅτι ταύ- την ἐποπτεύων ἔκ τινος τέχνης ἱερατικῆς ἐπυνθάνετο περὶ ὧν ἐβού-* 50 *λετο.*

Ἀλλὰ ταῦτα μὲν ὁ ἐκείνων μῦθος. ὁ δέ γε δημιουργὸς οὗτος Ζεύς, πρώτας καὶ δευτέρας τάξεις παραστήσας θεῶν, οἷόν τινα σύμπνοιαν ὁμονοητικὴν χρυσῆν ταύτην σειρὴν ἐγκατέθετο· σύμβολον γὰρ ἡ σειρὴ τῆς δι' ἀλλήλων συμπλοκῆς καὶ συνθέσεως. οὕτω τοιγαροῦν τὰ μὲν 55 *δεύτερα τῶν πρώτων, τὰ δὲ τρίτα τῶν δευτέρων, καὶ τὰ ἐφεξῆς τῶν προσεχῶν ἔχεται ξύμπαντα καὶ τῇ πρώτῃ ἀρχῇ ἐπεστήρικται, ἥτις ἐστὶν ὁ παρ' Ἕλλησι Ζεύς. ἀλλ' αἱ μὲν ἐξηρτημέναι φύσεις καὶ τῷ πρώτῳ συνδεδεμέναι θεῷ οὐκ ἂν ἐφ' ἑαυτὰς τὸν Δία καταβιάσωνται, ἐκεῖνος δὲ ῥᾷστα ἂν πρὸς ἑαυτὸν ξύμπαντας ἀνασπάσειε· τὰ μὲν γὰρ* 60 *χείρονα ἐπιστροφὴν ἔχει πρὸς τὰ κρείττονα, ἀλλ' οὐ τὰ κρείττονα ἐπ- έστραπται πρὸς τὰ χείρονα, ἕως ἂν τὴν ἰδίαν τάξιν τηρῇ. οὕτω τοι- γαροῦν σῶμα μὲν πρὸς ψυχήν, ψυχὴ δὲ πρὸς νοῦν, νοῦς δὲ πρὸς θεὸν ἄνεισιν, ἀλλ' οὐκ ἐκεῖνα ἐπέστραπται πρὸς τὰ ὑφ' ἑαυτά.*

Βούλομαι δὲ ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ δόγμα τι Πορφύ- 65 *ρειον μεταξυλογῆσαι, ἐπικρίσεως οὔπω τυχόν· φησὶ γὰρ ἐκεῖνος ἐν οἷς τὰς τῶν νοητῶν ἀφορμὰς ὑποτίθεται, ὅτι 'τῶν γεννώντων τὰ μὲν οὐδ- όλως ἐπέστραπται πρὸς τὰ γεννήματα, τὰ δὲ καὶ πρὸς ἐκεῖνα ἐπι- στρέφει καὶ πρὸς ἑαυτά, τὰ δὲ πρὸς ἐκεῖνα ἐπιστρέφει, πρὸς ἑαυτὰ δὲ ἐπιστροφὴν οὐκ εὐτύχησε'. τοῦτο ἐπιστασίας μὲν οὐδέ πω τετύχηκεν,* 70 *ἐγὼ δὲ ὑμῖν ἐρῶ χαριούμενος, ὃ κατὰ τὸν τόπον νενόηκα. τρία γὰρ ταῦτα πρὸς τὰς ἐκείνου τρεῖς τάξεις συντίθημι, νοῦν καὶ ψυχὴν καὶ φύσιν. ὁ μὲν οὖν νοῦς γεννῶν τὴν ψυχὴν ἀνεπίστροφός ἐστι πρὸς αὐ-*

40–44 cf. Procl. in Tim. I 47,16; 50,18 *(δαιμονίς)*; Herm. in Phaedr. 55,11 *(ἡρώισσα)* || 60–62 cf. Porph. Sent. 13 (p. 5, 10–11) || 67 sqq. ibid. p. 5, 11–6, 4

τήν· ἔννους γὰρ ἡ ψυχὴ γίνεται οὐχ ὅτε ὁ νοῦς στραφῇ πρὸς ψυχήν,
75 ἀλλ' ὅτε ἡ ψυχὴ στραφῇ πρὸς τὸν νοῦν. ἡ δὲ φύσις τῶν σωμάτων ἐπιστρεφομένη καὶ διοικοῦσα ταῦτα οὐκ ἐπιστρέφει πρὸς ἑαυτήν, ἐπειδή ἐστιν οὐσία σώματος χωριστή, ἀλλὰ συναπολήγει τοῖς σώμασιν. ἡ δὲ ψυχή, ἕως μὲν ἂν ᾖ τὸ οἰκεῖον τηροῦσα ἀξίωμα, ἀνεπιστρόφως ἔχειν πέφυκε πρὸς τὰ σώματα, εἰ δὲ τῇ δεινότητι κατασχεθῇ τοῦ εἱρμοῦ,
80 τότε καὶ τῶν σωμάτων ἐπιμελεῖται, ὡς εἶναι τὸν μὲν νοῦν ἑαυτοῦ μόνως, τὴν δὲ φύσιν ἄλλου ἀεί, τὴν δὲ ψυχὴν ἑαυτοῦ καὶ ἄλλου.

Ὁ δὲ λόγος τοῦ οἰκείου ἐχέσθω σκοποῦ, ὅτι τὸ δύνασθαι μὲν ἕλκειν τὸν Δία σύμπαντας τοὺς θεούς, ἐκείνους δὲ μηδ' ὁπωστιοῦν ἐκεῖνον, τοῦτο δηλοῖ, ὅτι τὰ μετὰ τὴν πρώτην ἀρχὴν ἔχεται ταύτης καὶ ἀνάγε-
85 ται πρὸς αὐτήν, ἐκείνη δὲ πρὸς οὐδὲν τούτων ἐπέστραπται. ἀλλὰ πῶς ἀναγομένων τῶν ὑστέρων πρὸς τὰ πρῶτα ἡ μὲν σειρὴ περί τινα ἐξοχὴν ἀποδεθείη τοῦ οὐρανοῦ, οἱ δ' ἀναχθέντες μετέωροι ἔσονται; διότι ἡ πρώτη τῶν ὄντων ἀρχή, εἰ καὶ σύνδεσμος τῶν ὅλων παρὰ τοῖς φιλοσόφοις λέγεται καὶ οἷον ἀκρότης τῆς ὅλης συνθέσεως, οὐ θίγουσα τῶν
90 δευτέρων ταῦτα ἐπικρατεῖ, ἀλλ' ἀπόλυτος πάντων οὖσα καὶ ἄδετος· ⟨τῷ⟩ πρώτῳ τοίνυν τῶν μετ' αὐτὸν θεῶν ἀποδεσμεῖ τὴν σειρήν, ὃν δὴ κατ' ἐξοχὴν ἐκάλεσεν οὐρανόν.

Οὕτω μὲν οὖν ἐγὼ τὸν μῦθον ἀλληγορῶ· ὁ δέ γε Πλάτων ἐν τῷ Θεαιτήτῳ, ἀποδεικνὺς ὅτι ζωογόνος ἐστὶν ἡ κίνησις, καὶ οἷόν τινα
95 κολοφῶνα, ὡς ἐκεῖνός φησι, τῆς ἀποδείξεως τὸν μῦθον ἐπάγων, τὴν χρυσῆν ταύτην σειρὴν ἀλληγορεῖ εἰς τὸν ἥλιον, καί φησιν· 'ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ, πάντα κατὰ τάξιν ἐστίν, εἰ δέ ποτε σταίη ὥσπερ σῶμα δεθέν, περιτραπήσεται ταῦτα καὶ γένοιτ' ἂν τὸ λεγόμενον ἄνω καὶ κάτω πάντα.'

100 Ὑμεῖς γοῦν, ἡ ἐμὴ πειθανάγκη, | καίτοι βουλόμενόν με ἐνταῦθα 152v στῆσαι τὸν λόγον, προσαπαιτεῖτε καὶ τὸ λειπόμενον, ἵνα καὶ πρὸς τὰς ἡμετέρας δόξας τὸν λόγον ἀλληγορήσαιμι. ἡμῶν οὖν εἷς ἐστι θεὸς ἡνωμένος καὶ διακεκριμένος, ἐκεῖνο μὲν τῷ αὐτῷ τῆς οὐσίας, τοῦτο δὲ τῷ τρισσῷ τῶν ὑποστάσεων, ὁ μόνος αἰώνιος καὶ οὗ μηδὲν ἐπαναβέβη-
105 κεν ἕτερον. οὗτος τοιγαροῦν ὁ ἡμέτερος καὶ τῷ ὄντι θεός, τὸν νοητὸν ὑποστήσας διάκοσμον καὶ τὸν αἰσθητόν, διέκρινε μὲν τούτους ἀπ' ἀλλήλων τῷ ἰδίῳ τῆς φύσεως, συνέδησε δ' ἀλλήλοις, ἵνα καὶ ἄγγελοι παρὰ ἀνθρώποις φοιτῷεν καὶ ἄνθρωποι, εἴ γε βούλοιντο, ἄλλοι γί-

93 Pl. Tht. 153 c–d

77 an ⟨οὐκ⟩ ἔστιν legendum? ‖ 91 τῷ add. Wk. ‖ 98 δεθέν Plat.: δὲ θέον **P** ‖ 100 πιθανάγκη **P**: correxi ‖ 108 leg. ἀνθρώπους?

γνοιντο ἄγγελοι, οὐ πρὸς τὴν ἐκείνων φύσιν μεταλλαττόμενοι, ἀλλὰ τοῦ μεγέθους αὐτῶν ἀξιούμενοι. τὴν γοῦν σύνδεσιν τούτων προσονομά- 110
σαις σειρήν, ὅτι τρόπον τινὰ πρὸς ἀλλήλους διαπλεκόμεθα, χρυσῆν δέ, ὅτι λαμπρά τίς ἐστιν ἡ τοιαύτη διαπλοκὴ καὶ οὐδὲν ἐπικεκρυμμένον ἔχουσα, καὶ ὅτι τῇ μετοχῇ τῆς πρώτης καὶ χρυσοειδοῦς τάξεως χρυσοῖ καὶ αὐτοὶ καθέσταμεν· ἀρχὴ δὲ τῆς σειρῆς ἡ ὑπεράρχιος θεαρχία. τὸ δ' ἀνέλκεσθαι μὲν ἡμᾶς παρ' ἐκείνης, ἕλκειν δ' ἐκείνην μὴ δύνασθαι, 115
οὕτω νοήσεις, ὅτι μηδενὶ τῶν ὄντων χωρητός ἐστιν ὁ θεός, οὐδέ τις ἀνελκύσειεν, ὅσον ἐκεῖνος πέφυκεν· ὁ δὲ πρὸ πάσης κτίσεως τοὺς λόγους τῶν δημιουργημάτων ἔχων ἐν ἑαυτῷ, εὐπετῶς πάντας χωρήσει, ἢ ὅτι διὰ φιλανθρωπίαν ἐν μέσῳ τοῦ παντὸς στήσας ἑαυτόν, κατὰ Πλάτωνα, οἷόν τι παράδειγμα διὰ τῆς πρὸς ἐκεῖνον μιμήσεως ἡμᾶς 120
πρὸς ἑαυτὸν ἕλκεται, ἀνελκύσας δὲ μετεωρίζει, τὴν σειρὰν ἀλλαχόθι καταδήσας, ὅτι μηδεμία γεννητὴ φύσις πλησιάζει θεῷ. ἀλλ' ὁπόσον ἂν ἀπὸ τοῦ σώματος κουφισθείημεν, ἐν μέσῳ τῷ ἀέρι γινόμενοι κάμνομεν. καὶ ἄγγελοι δὲ καὶ χερουβεὶμ πτερύσσονται μὲν ὅσον εἰκὸς πρὸς θεόν, ἐγγίζουσι δὲ οὐδ' ὁπωστιοῦν· ἡ γὰρ ἄγουσα πρὸς ἐκεῖνον 125
σειρὴ ἄλλοθί που κατακέκρυπται καὶ ἀμήχανός ἐστιν ὁ μέχρις ἐκείνου μετεωρισμός.

Ὁρᾶτε ὅπῃ ὁ μῦθος ἡμῖν ἀπετελεύτησεν; ὑμεῖς μὲν οὖν ἐρεῖτε ὅτι Ὀρφικῶς, καὶ αὐτῷ τάχα δώσετε τὴν τῆς γονιμότητος δύναμιν, ἐγὼ δὲ τοῦτο ὑμῖν ἐρῶ, ὡς ὁποῖός ποτ' ἂν ἦν, εἰ μὴ αὐτὸς ὁ περιρρήξας τὸ 130
ἔλυτρον ἐγύμνωσα τὸ ἐδώδιμον, λιμώττοντες ἂν ἐντεῦθεν ἀπῄειτε.

47

Λόγος ἀλληγορῶν τὴν τοῦ Διὸς γένεσιν καὶ τὸν καταποθέντα λίθον τῷ Κρόνῳ, τὴν ⟨τοῦ⟩ Διὸς ἀνατροφὴν ὑπὸ τῶν Κουρήτων καὶ τὴν τοῦ Κρόνου ἀναίρεσιν

Μῦθος ὡς ἀληθῶς ἅπας Ἑλληνικὸς μῦθος, καὶ ὥσπερ οὐκ ἂν ὑποσταῖέν ποτε ὅσα μήτε ὑφέστηκε μήτε ὑποστῆναι δεδύνηται, οὕτως οὐδ' 5

114 cf. Dion. Ar. CH 121 A; Div. nom. 589 C || 119 sq. *κατὰ Πλάτωνα*] ubi? || 130 sq. *περιρρήξας τὸ ἔλυτρον*] cf. supra 44, 7–9 et 12–13

47 P[a] (Par. 1182, 157[r]–157[v]) P[b] (Par. 1182, 6[v]–7[r]) B 216[v]–217[v]

47 1-3 *Λόγος – ἀναίρεσιν* P[a] (2 *τοῦ* add. Sathas): *περὶ τοῦ καταποθέντος λίθου τῷ κρόνῳ* B: *περὶ μύθων* P[b] || 4 *ὡς* P[a]: *μὲν ὡς* B P[b] | *ἑλληνικὸς μῦθος* P[a] B: *μῦθος ἑλλ.* P[b]

ἡ κενὴ τῶν Ἑλλήνων μυθολογία ἐν ὑποστήματι σταίη ποτὲ ἢ πῆξίν τινα ὁ διαλελυμένος αὐτῶν λήψεται λόγος. ἀλλ' ἡμῖν γυμναστέον τὸν λόγον οὐκ ἐπὶ τοῖς ἰσχυροῖς μᾶλλον καὶ ὅσα βάσιμα ῥητορικῇ πομπείᾳ καὶ λόγοις φιλοσόφοις καθέστηκεν, ἀλλ' οὐδὲν ἧττον καὶ τοῖς ἀνυπάρ-
10 κτοις τὴν ἀπὸ τοῦ λόγου δοτέον ὑπόστασιν, ἵνα μὴ μόνον ἀπὸ τῶν ποτίμων ναμάτων, ἀλλὰ καὶ ἀπὸ τῆς θύραθεν ἅλμης γλυκάζουσαν πόσιν παραδεχώμεθα.

Πατροκτονεῖ τοιγαροῦν παρὰ τοῖς Ἕλλησιν ὁ μυθευόμενος παρ' αὐτοῖς Ζεύς. ὁ γάρ τοι Κρόνος τῇ Ῥέᾳ ἐπιμιγείς, ἐπειδὴ ἔγκυον αὐτὴν
15 ἡγήσατο εἶναι, ὑπερκείμενον θεὸν ἐρωτᾷ περὶ τοῦ τεχθησομένου παιδός. ὁ δὲ ἀνεῖλεν αὐτὸν ὑπ' ἐκείνου ἀναιρεθήσεσθαι. ἐντεῦθεν ὁ Κρόνος ἐτήρει τὴν Ῥέαν οὖσαν ἐπίτοκον. ἡ δέ, ἐπεὶ μὴ λαθεῖν οἷα τε ἐγεγόνει, τὸ μὲν βρέφος ἀποτεχθὲν Κορύβασί τισι καὶ Κουρῆσιν ἐκδί-δωσιν, ἐπισαλπίζειν τῷ κλαυθμυρισμῷ τοῦ παιδὸς τούτους κελεύσασα,
20 λίθον δὲ τοῖς σπαργάνοις ἑλίξασα ἐξαπατᾷ τὸν γαμέτην· ὁ γὰρ Κρόνος ἀντὶ τοῦ παιδὸς τὸν λίθον καταπεπωκὼς ἠγνόησεν. ὁ δὲ Ζεὺς εἰς ἀνδρὸς ἡλικίαν ἐληλυθὼς ἀναιρεῖ μὲν τὸν πατέρα, αὐτὸς δὲ τὴν ἐκείνου ἡγεμονίαν εἰς ἑαυτὸν ἀναρτᾷ.

Ὁ μὲν μῦθος οὗτος. ὁ δὲ λόγος τὸ κρυπτόμενον ἴσως ἐν τῷ μύθῳ
25 ἀνακαλυπτέτω μυστήριον, ἢ μᾶλλον αὐτὸς ἀναπλαττέτω ὑψηλοτέραν διάνοιαν τοῖς μυθικοῖς ὀνόμασι κατακολουθῶν. δύο μέτρα τῶν ὄντων καθέστηκεν, ὀνόματα τούτοις χρόνος τε καὶ αἰών. ἀλλ' ὁ μὲν αἰών, ὁ τῶν κυρίως ὄντων πατήρ, ἐναγκαλίζεται τὰ οἰκεῖα γεννήματα καὶ οὐ-δὲν τούτων ἀπόλλυσιν, ἀλλὰ δεικνύει φερώνυμα, ἀθάνατα ὡς ἀληθῶς
30 καὶ αἰώνια. ὁ δὲ χρόνος, ὃν βραχύ τι μεταποιήσαντες Κρόνον οἱ Ἕλ-ληνες ὠνομάκασιν, οὐχ οὕτω περὶ τὰ ἔκγονα διατίθεται, ἀλλ' ἀπαναλί-σκει πάντα τῇ ἑαυτοῦ φύσει· ὅσα γὰρ ἀπὸ χρόνου τὴν σύστασιν ἔχει, ταῦτα τῇ περιοχῇ τούτου συγκαταλύεται. διὰ ταῦτα καὶ τῇ Ῥέᾳ τοῦτον μιγνύουσιν οἱ σοφοί, ἥτις ἡ ῥέουσα φύσις ἐστίν, ἐπεὶ καὶ συν-
35 άμφω ταῦτα, χρόνος καὶ φύσις, καὶ ἄσχιστος ἀπ' ἀλλήλων ἡ συζυγία.

11–12 cf. supra 42,140–141; 46,12; Pl. Phaedr. 243 d

6 πῆξίν B Pb: πίστιν Pa ‖ 13 τοιγαροῦν B Pa: γοῦν Pb ‖ 16 παιδός Pa (cf. 19 et 21): παι-δίου B Pb | αὐτὸν Pb, et B ut vid.: αὐτῷ Pa ‖ 17 οἷα Pa Pb: οἷα B ‖ 18 μὲν Pa: om. B Pb | ἐκδίδωσιν Pa: ἐκδέδωκεν B Pb ‖ 21 τὸν λίθον Pa: post κρόνος trsp. B Pb ‖ 22 ἀνδρὸς Pa: ἀνδρῶν B Pb | ἐληλυθὼς Pa Pb: ἀνεληλυθὼς B ‖ 24 μὲν Pa B: μὲν οὖν Pb | ἐν τῷ μύθῳ Pa Pb: om. B ‖ 25 ἀνακαλυπτέτω Pa B: -τέσθω Pb ‖ 29 ἀλλὰ – 30 αἰώνια Pa B: om. Pb ‖ 30 κρόνον Pa Pb: post ἕλληνες trsp. B ‖ 31 ἀπαναλίσκει Pa Pb: ἀναλίσκει ut vid. B ‖ 32 πάντα Pa: σύμπαντα B Pb

Ἀλλὰ τῶν μὲν ἄλλων ἁπάντων ὁ χρόνος κρατεῖ, μόνος δὲ ὁ Ζεὺς τοῦτον ἀποδιδράσκει, εἶτα καὶ ἀνδρυνθεὶς ἀναιρεῖ. ἔστι δὲ οὗτος ὁ θεῖος ἐν ἡμῖν καὶ ζωήρρυτος λόγος, ὃς πρῶτος μέν ἐστι καὶ χρόνου καὶ φύσεως, μετὰ δὲ χρόνον καὶ φύσιν ἀνεφάνη καὶ ἡμῖν· ἀναβλύζει γὰρ ἀπὸ τῶν ψυχῶν, αἱ δὲ ψυχαὶ σὺν τοῖς σώμασι, τὰ δὲ σώματα σὺν 40 *χρόνῳ ἢ ὑπὸ χρόνον. οὐρανὸς μὲν γὰρ χρόνῳ συναπεγεννήθη καὶ φύσει, τὰ δὲ λοιπὰ τῶν σωμάτων μετὰ ταῦτα γεγόνασι. μόνος γοῦν ὁ λόγος τὴν χρονικὴν ἀποφυγγάνει τέλεον δύναμιν· καὶ τὰ μὲν ἄλλα τῷ χρόνῳ συμπαραρρέοντα θνήσκει τε καὶ διόλλυται, μόνος δὲ ὁ λόγος ἀνθεῖ τε καὶ ἀνηβᾷ καὶ κραταιότερος γίνεται. ἐπεὶ δὲ σωματωθεῖσιν* 45 *ἡμῖν παραγίνεται, μαιεύεται τοῦτον ἡ φύσις, ἔκδοτον ποιοῦσα δυνάμεσί τισιν ὑψηλοτέραις καὶ κρείττοσιν, αἳ δὴ καὶ τὸ νηπιῶδες τούτου ἐπικαλύπτουσαι, ἐπειδὰν ἀνδρυνθέντα θεάσωνται, κατὰ τοῦ πατρὸς Κρόνου ὁπλίζουσιν· ἀσθενὴς γάρ ἐστιν ἡ καθ' ἡμᾶς φύσις τὸν ἔμφυτον λόγον ἀπογεννηθέντα παρ' αὐτῆς σπαργανοῦν καὶ μαιεύεσθαι.* 50 *διὰ ταῦτα αἱ μετὰ θεὸν τεταγμέναι φύσεις, παραλαβοῦσαι τοῦτον ἀπὸ τῆς ἀτελεστέρας φύσεως, τιθηνοῦνται καὶ ἀνατρέφουσιν.*

Ὑποτίθησι δὲ τῷ Κρόνῳ ἡ Ῥέα εἴδωλον ἀντὶ τοῦ ἀληθοῦς Διός, ὅτι διττὸς ὁ λόγος, ὁ μὲν κυρίως καὶ ὢν καὶ καλούμενος, τὸν ἔμφυτόν φημι τὸν κάτωθεν ἀπὸ τῶν κοιλάδων τῆς ψυχῆς ἀναβλύζοντα, ὁ δὲ 55 *διὰ γλώττης ῥέων ἔξω καὶ προφερόμενος, ὃς δὴ καὶ εἴδωλόν ἐστι τοῦ κυρίως Διὸς καὶ οὐδ' οὕτω μαλακός τε καὶ εὔεικτος, ὥστε ταῖς νοηταῖς σφραγίσιν ὑφίεσθαι, ἀλλὰ λιθώδης ὡσανεὶ καὶ ἀντίτυπος, οὗ δὴ καὶ μόνου ἀπογεύεσθαι ὁ χρόνος ἰσχύει. τοὺς μὲν γὰρ ἐν γράμμασι λόγους ὁ πάντα τὰ καλὰ μαραίνων χρόνος ἀπαναλίσκει, οἳ δὴ εἴδωλά* 60 *εἰσι τοῦ ἐμφύτου λόγου, τοῦτον δὲ μόνον ἑλεῖν οὐ δεδύνηται, ἀλλὰ καὶ πυκνὰ πεφόβηται καὶ τὴν οἰκείαν ὑποπτεύει γονήν. ὁ δὲ ἡβήσας καὶ γεγονὼς ἑαυτοῦ γενναιότερος ἀναιρεῖ μὲν τὸν πατέρα, ὑπεράλλεται δὲ καὶ χρόνον καὶ φύσιν. νηπιάζων μὲν γὰρ ὁ λόγος ὑπὸ σπαργάνοις ἐστὶ καί που καὶ κλαυθμυρίζει καὶ θηλῆς δέεται, εἰς δὲ ἥβην ἐληλυθὼς καὶ* 65

38 *ζωήρρυτος λόγος*] cf. supra 42, 48 ‖ 41–42 cf. Pl. Tim. 38 b 6 ‖ 42–43 cf. Eust. Il. 203, 27

37 *ἀνδρυνθεὶς* correxi (cf. 48, ubi male legit Sathas): *ἀδρυνθεὶς* **P**^{a} **P**^{b}: evan. **B** ‖ 39 *ἀνεφάνη* **P**^{a} **B**: *συνανεφάνη* **P**^{b} | *καὶ*^{3} **P**^{a}: om. **P**^{b}: evan. **B** ‖ 42 *γοῦν* **P**^{a} **B**: *οὖν* **P**^{b} ‖ 43 *χρονικὴν* **P**^{a} **P**^{b}: *λογικὴν* **B** ‖ 44 *συμπαραρρέοντα* **P**^{a} **B**: *συναπορρέοντα* **P**^{b} ‖ 47 *τούτου* **P**^{a} **B**: *τούτων* ut vid. **P**^{b} ‖ 48 *θεάσωνται* **P**^{a} **B**: *θεάσαιντο* **P**^{b} ‖ 49 *ἀσθενὴς* **P**^{a} **B**: *-ὲς* **P**^{b} ‖ 51 *φύσεις* **P**^{a} **B**: om. **P**^{b} ‖ 53 *δὲ* **P**^{a} **B**: *καὶ* **P**^{b} ‖ 54 *καὶ*^{1} **B** **P**^{b}: om. **P**^{a} ‖ 55 *κοιλάδων* **P**^{a} **B**: om. **P**^{b} ‖ 57 *ὥστε* **P**^{a} **P**^{b}: om. **B** ‖ 59 *χρόνος* **P**^{a}: *κρόνος* **B** **P**^{b} ‖ 60 *χρόνος* **P**^{a}: om. **B** **P**^{b} | *οἳ* **P**^{a}: *ἃ* **P**^{b}, fort. **B** ‖ 61 *εἰσι* **P**^{a}: *ἐστι* **B** **P**^{b}

γνοὺς ὅθεν οὗ παραγέγονε, τὸν μὲν κάτω ῥέοντα μεθίησι ποταμόν, ἀναχεῖται δὲ πρὸς τὴν αἰωνίαν ζωήν. ἡ τοίνυν ἀνήβησις αὕτη χρόνου τῷ αἰνιγματιστῇ ἐνοήθη ἀναίρεσις· ἡ γάρ τοι ψυχή, αἰσθητῶν οὖσα καὶ νοητῶν σύνδεσμος καὶ ἑκατέρων ἐν μεσότητι ταχθεῖσα τῶν φύ-
70 *σεων, ἀμφοτέραις παρὰ μέρος προσομιλεῖ, καὶ νῦν μὲν χρόνου ἀποτίκτεται, νῦν δὲ ἀναιρεῖ τὸν γεννήσαντα.*

Ἀλλὰ νῦν μὲν ἀναιρούμενος ὁ Κρόνος οὔπω ἀνῄρηται· οἱ γὰρ ἀναιροῦντες αὐτὸν Ζῆνες οὔπω τοσοῦτον δεδύνηνται, ἀλλ' οἱ μὲν ὑπερπεπηδήκασι τοῦτον, ὁ δὲ ἔτι τὸν μακρὸν ἑλίττει πόλον τοῖς πράγμα-
75 *σιν· ἀναιρήσει δὲ τοῦτον ἐς τὸ παντελὲς ὁ θεῖος καὶ πρῶτος λόγος, ὁπότε κατὰ τὴν ἀψευδῆ αὐτοῦ ἐπαγγελίαν μετακοσμήσειν βουληθείη τὸ σύμπαν καὶ ἀπὸ κινήσεως εἰς στάσιν μετατρέψειν τὴν οὐσίαν ἡμῶν· ὁ γάρ τοι χρόνος μέτρον κινήσεως, ἧς ἀναιρεθείσης μάταιον ὁ χρόνος παρακολούθημα· τηνικαῦτα γὰρ ἔσται ὁ θεὸς κατὰ τὸν ἀπό-*
80 *στολον τὰ πάντα ἐν πᾶσιν, οὐρανός, ἥλιος, ἀέρος πνεῦσις, ἡ σύμπασα ζωὴ καὶ τροφή.*

Τοιαύτην ὁ μῦθος ὥσπερ ἀκρότομος πέτρα ἀνέδωκε τὴν πηγήν· μηδὲν οὖν παραμείβωμεν ῥᾳδίως τῶν ἐν ταῖς ὁδοῖς τῶν δέλτων κειμένων, ἀλλὰ καὶ τὴν πέτραν ὀρύττωμεν καὶ τὴν θάμνον ἀνακαθαίρωμεν, μι-
85 *μούμενοι τοὺς ἐν μεσογείᾳ καθιδρυμένους, παρ' οἷς ψαφαραί τινες πέτραι καὶ εὔθρυπτοι ὑποτύφουσιν ἅλας θαυμάσιον, ὃ δὴ βραχεῖα οἷον ἐφολκὶς κατακαλύπτει, καὶ ταύτην παραξύσαντες ἀροῦσι τὸ βάθος καὶ ἀνορύττουσι, κἀντεῦθεν οὐκ ἀνάλατα αὐτοῖς τὰ πέμματα γίνεται. ἀλλ' ἐκεῖνοι μὲν Ἄμμωνι τοὺς ἅλας δὴ τούτους ἀνατιθέασιν, ἡμεῖς δὲ τὸ ἐκ*
90 *τῆς πέτρας ἀναχωσθὲν θεῷ ἀναθήσομεν, παρ' οὗ πᾶν δώρημα τέλειον καταβαίνειν εἰς ἡμᾶς εἴωθεν.*

78 Psell. Omn. doct. 102, 10; cf. Arist. Phys. e. g. 219 b 1–2; 220 a 24–25; infra 51, 628–629 || 80 I Cor. 15, 28 || 90–91 Iac. 1, 17

66 *οὗ* **P**[a]: *οἷ* **B P**[b] || 67 *ἀνήβησις* **P**[a]: *ἀνάβασις* **B P**[b] || 70 *ἀμφοτέραις* **P**[a] **P**[b]: *ἀμφ. μὲν* **B** | *καὶ* **P**[a]: *ὅθεν* **B P**[b] | *χρόνου* **B P**[b]: *χρόνον* **P**[a] || 72 *οὔπω* **B P**[b]: *οὕτω* **P**[a] || 74 *ἑλίττει* **P**[b]: *-σσ-* **P**[a]: evan. **B** | *πόλον* **P**[a]: *πόδα* **B P**[b] || 76 *μετακοσμήσειν* **B P**[b]: *-ῆσαι* **P**[a] || 77 *μετατρέψειν* correxi (iam **B**?): *-έψει* **P**[a] **P**[b] | *τὴν οὐσίαν* **B P**[b]: *τὰς οὐσίας* **P**[a] || 78 *ὁ*^{2} **P**[a]: om. **B P**[b] || 82 *ἀκρότομος* Wk. (cf. Deut. 8, 15; Ps. 113, 8): *ἀπόκροτος* codd. || 85 *μεσογεία* **P**[a]: *μεσωγεία* **P**[b]: *μεσογείοις* **B** || 90 *ἀναχωσθὲν* **P**[a] **B**: *ἀναγνωσθὲν* **P**[b] || 91 *εἰς ἡμᾶς* **P**[a]: post *εἴωθεν* trsp. **B P**[b]

48

Τοῦ αὐτοῦ ἐξήγησις εἰς τὸ 'λίγξε βιός, νευρὴ δὲ μεγάλ' ἴαχεν'

Ἔστι μὲν οὐδ' ὅπερ εἰρήκειν εὐθὺς ἐρωτηθεὶς ὑφ' ὑμῶν περὶ τοῦ Πανδαρικοῦ τόξου πόρρω τῆς ποιητικῆς ἀκριβείας καὶ τῆς τοῦ λόγου διασκευῆς, ἀλλ' ἔστι νῦν ἀκριβοῦν τι καὶ καλοῦ κάλλιον. πρὸ δὲ τῆς τῶν καθ' ἕκαστα ἐπιλύσεως, ὅπερ ἐπεπόνθειν ὕστερον τὰ ἔπη ἀναγι- 5 *νώσκων, ἐρῶ δὴ καὶ πρὸς φίλους ἄνδρας· τὸ γοῦν φαινόμενον καὶ κατὰ τὰς πρώτας ἐπιβολάς, τὸ μὴ ἐν τῷ τείνεσθαι τὸ τόξον λίγξαι μὲν τὸν βιόν, ἠχῆσαι δὲ τὴν νευρὰν μέγα, πηδῆσαι δὲ τὸ βέλος, ἀλλὰ μετὰ τὸ τετάσθαι τὸ κυκλοτερὲς τόξον καὶ τὴν νευρὰν καὶ τὸν βιὸν τὰς πεποιημένας ἐπιγενέσθαι φωνάς· κινουμένης γὰρ τῆς θαλάσσης καὶ ὁ* 10 *φλοῖσβος καὶ ὁ ὀρυγμαδός, οὐ μὴν καὶ κινηθείσης ἤδη καὶ παυσαμένης. ἀλλὰ τοὐναντίον Ὅμηρος ποιεῖ ἐν τοῖς ἔπεσιν·*

> *ἐπεὶ δὴ – γάρ φησι – κυκλοτερὲς μέγα τόξον ἔτεινε,*
> *λίγξε βιός, νευρὴ δὲ μεγάλ' ἴαχεν, ἆλτο δ' ὀιστὸς*
> *ὀξυβελής, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων·* 15

οὐ γὰρ τεταμένου τοῦ τόξου ταῦτα ἐπιγίνεται τοῖς μέρεσι διὰ τοὺς τοξεύοντας, ἀλλὰ τεινομένου ἔτι καὶ τὴν τάσιν, ὡς ἂν εἴποι τις, πάσχοντος.

Ἀλλὰ τί βούλεσθε; πότερον τὸ ἐμὸν διαλύσω ἀπόρημα ἢ πρὸς τὸ ὑμέτερον ἀπαντήσω ἐρώτημα; τοῦτο γοῦν πρότερον ποιήσας, τοῖς 20 *ἐμοῖς ὕστερον ἀφοσιώσομαι ἀπορήμασι. βιὸς γοῦν καὶ νευρὰ κατὰ μὲν τὸν ἀριθμὸν ἕν, ὥσπερ μέροψ καὶ ἄνθρωπος καὶ βροτός, καὶ λώπιον καὶ ἱμάτιον, καὶ οἷα τὰ πολυώνυμα, τῷ μέντοι γε λόγῳ διάφορα, ὥσπερ κἀν τοῖς παραδείγμασιν· ἄλλο γὰρ τῷ λόγῳ τὸ ἄνθρωπος καὶ τὸ μέροψ καὶ τὸ βροτός, εἰ καὶ τὸ ὑποκείμενον ἕν. τὸ μὲν γὰρ διὰ τὸ* 25

48 P 158v–159r **V** 260v–263v (v14) ‖ 1 Hom. Il. 4,125 ‖ 13–15 124–126 ‖ 24–27 cf. Amm. in Int. 38,9–12

48 1 *Τοῦ – ἴαχεν* **V**: *Τί ἐστι τὸ τοῦ πανδάρου τόξον* **P** ‖ 3 *πανδαρικοῦ* **P**: *ποιητικοῦ* **V** ‖ 4 *νῦν ἀκριβοῦν τι* **P**: *τῶ ἀκριβοῦντι* **V** ‖ 4–5 *τῆς τῶν καθέκαστα ἐπιλύσεως* **P**: *τῶν καθέκαστα ἐπιλύσεων* **V** ‖ 6 *καί*[2] **P**: om. **V** ‖ 7 *λίγξαι* **V**: *λῦγξαι* **P** (et *υ* pro *ι* ubique) ‖ 8 *νευρὰν* **P**: *-ὴν* **V** ‖ 12 *ὅμηρος* **P**: *ὁ ὅμ.* **V** | *ποιεῖ* **P**: post *ἔπεσιν* trsp. **V** ‖ 13 *τόξον* **V**: *τὸ τόξον* **P** | *ἔτεινε* **P**: *ἐνέτεινε* **V** ‖ 15 *ἐπιπτέσθαι* **V**: *ἐπιπτάσθαι* **P** ‖ 17 *εἴποι* **V**: utrum *-οι* an *-η* incertum **P** ‖ 20 *ἐρώτημα* **V**: *ἀπόρημα* **P** ‖ 22 *τὸν* bis scr. **V** ‖ 23 *διάφορα* **P**: *καὶ δ.* **V** ‖ 24 *λόγῳ* Hansen: *ἀνθρώπω* **P V**

ἀναθρεῖν ἃ ὄπωπε, τὸ δὲ διὰ τὸ μεμολῦσθαι τῇ ἐπιμιξίᾳ τοῦ σώματος,
τὸ δὲ διὰ τὸ μεμερίσθαι τὴν φωνήν. οὐ γὰρ ἅμα πάντα τοῖς ὀνόμασιν,
οὐδὲ τῷ ἑνὶ ξύμπαντα, ἀλλὰ καὶ τὰ στοιχεῖα καὶ αἱ συλλαβαὶ καὶ τὰ
πρώτως ἐκφωνούμενα καὶ αἱ περίοδοι, ἕκαστόν τε πολλὰ καὶ ξύμ-
30 παντα πάμπολλα καὶ ἐφ' ἑκάστῳ μυρία ἡ μερίς, ἀλλ' οὐ ξύμπαντα τὸ
αὐτό. οὕτω δὲ καὶ νευρὰ καὶ βιὸς τῷ μὲν ὑποκειμένῳ ταὐτόν, τῷ δὲ
λόγῳ διαφόρω ἐστόν· τὸ μὲν γὰρ παρὰ τὸ βεβιάσθαι τῷ τοξεύοντι, τὸ
δὲ παρὰ τὴν ὑποκειμένην οὐσίαν. ὅθεν, εἰ μὴ τοξεύοι τις, οὐ συνέσται
τῇ νευρᾷ καὶ ὁ βιός· οὐ γὰρ βιάζεται τότε τὸ νεῦρον μὴ τεινομένου
35 τοῦ τόξου. διὰ ταῦτα γοῦν φησιν Ὅμηρος 'λίγξε βιός, νευρὴ δὲ μεγάλ'
ἴαχε'. διὰ γοῦν τοὺς διαφόρους λόγους τοῦ ὑποκειμένου καὶ τὴν τῶν
ὀνομάτων ἑτερότητα διάφορα καὶ τὰ πάθη τῶν ἀπηχήσεων καὶ οἱ
λόγοι τῶν ἐκφωνήσεων· ἐκεῖ μὲν γὰρ 'λίγξε', ἐνταῦθα δὲ 'ἴαχε'. καὶ
ἄμφω μὲν ἐν τῷ τείνεσθαι, ἀλλὰ τὸ μὲν ὡς οὐσία, καὶ διὰ τοῦτο καὶ
40 ἰαχὴ τὸ ποιῶδες ἐκφώνημα, τὸ δὲ ὡς πάθος, καὶ διὰ τοῦτο τὸ 'λίγξε'
συνῆπται.

Ταῦτα οὖν ὑμῖν καὶ τὴν πρώτην ἡρμήνευται καὶ νῦν διηκρίβωται,
δύναιτο δ' ἄν τις καὶ ἐξ ἑτέρας ἐπιβολῆς ἑτέρως τὸν λόγον διασαφῆ-
σαι. ὅτι μὲν οὖν σοφὸς ὁ ποιητὴς οὐ τὰ ἀνθρώπινα μόνον, ἀλλὰ καὶ
45 τὰ θεῖα καὶ τὰ δαιμόνια, οὐκ ἄν τις ἀντερεῖ τινι, ὅσον μηδὲ κἀμοί· εἰ
δ' οὕτω τοῦτο ἔχοι τις ἂν εἰπεῖν ὑπὲρ τοῦ ποιητοῦ, τίς μὲν αὐτῷ ὁ
Ἀπόλλων νενόηται καὶ τίνες αἱ ἐπιστῆμαι αἱ τούτῳ ἀπονεμηθεῖσαι, ὧν
καλλίστη ἡ τοξική, ἵνα μὴ τὰς ἄλλας νῦν λέγω, τίς δὲ ὁ Ἀπόλλων καὶ
πόθεν αὐτῷ τὸ ὄνομα, καὶ τί ποτε τῷ ποιητῇ τὸ τοξεύειν νενόηται;
50 καὶ ἵνα μὴ περιεργότερος ὦ τοῦ δέοντος, περὶ τοῦ ὀνόματος μόνον καὶ
τῆς τοξικῆς ἐπιστήμης ὑμῖν δίειμι.

Ἔστιν οὖν ὁ Ἀπόλλων τῷ ποιητῇ ἢ θεός τις τῶν τῆς Ἑλληνικῆς
συμμορίας ἢ ὁ φαινόμενος ἥλιος· εἴτε γὰρ οὗτος εἴτε ἐκεῖνος, Ἀπόλλω-
νες ἄμφω, κατὰ στέρησιν τῶν πολλῶν, τῶν ἄλλων ὑπερκαθήμενοι καὶ

26 ἀναθρεῖν ἃ ὄπωπε] Pl. Cra. 399 c; Et. Mag. s. v. ἄνθρωπος | μεμολῦσθαι] cf. Eust. Il. 907, 9–10 ‖ 27 μεμερίσθαι τὴν φωνήν] e. g. Suid. s. v. Μέροπες; Et. Mag. s. vv. μέροψ, βροτός ‖ 44–45 cf. SVF fr. 35 et 36 ‖ 54 cf. Plot. V 5, 6, 27–28; Herm. in Phaedr. 89, 33

26 ἀναθρεῖν **P**: ἀθρεῖν **V** | μεμολῦσθαι **P**: -ύνθαι **V** ‖ 29 ἐκφωνούμενα **V**: ἐκφαινόμενα **P** | ξύμπαντα **P**: om. **V** ‖ 30 καὶ **P**: τε, et post ἑκάστῳ, **V** | ἀλλ' οὐ **P**: ἀλλὰ **V** ‖ 31 ταὐτὸν **V**: -ὰ **P** ‖ 32 διαφόρω **V**: διάφορα **P** | τὸ^3 **V**: τῇ **P** ‖ 33 τοξεύοι **V**: -ει **P** ‖ 37 ἀπηχήσεων **V**: ὀνομάτων **P** ‖ 38 τῶν **V**: fenestra in **P** ‖ 45 μηδὲ **V**: δὲ **P** ‖ 45 sq. εἰ δ' **P**: οὐδ' **V** ‖ 47 νενόηται **V**: -ητο **P** | τούτῳ **V**: τότε **P** ‖ 48 νῦν **V**: om. **P** ‖ 50 μόνον **P**: -ως **V** ‖ 52 ὁ **P**: om. **V** | τῶν τῆς ἑλληνικῆς **V**: τῆς τῶν ἑλλήνων **P**

τῷ ἑνὶ προσπελάζοντες καὶ τῆς ἑνώσεως ὄντες ἐπάρχοντες, ἀλλ' οὐ τῆς 55
διακρίσεως. τοῖν δέ γε ἡλίοιν ὁ μέν τίς ἐστιν ἡ φαινομένη σφαῖρα κατ' οὐρανόν, ὁ δὲ ὁ νοητὸς καὶ κρύφιος καὶ ἐν ἰδέας λόγῳ τοῦ ὁρατοῦ προκαθήμενος. καὶ εἰ περιττός τινι ὁ λόγος δοκεῖ, τῆς ἀρχαιοτέρας πυνθανέσθω φιλοσοφίας, ἀφ' ἧς οὐ μονοειδῆ τὰ πολλὰ εὕρῃ, ἀλλὰ καὶ δεκαδικὰ καὶ τετραδικὰ καὶ τοὐλάχιστον δυοειδῆ, ὥσπερ δὴ 60
καὶ ἄνθρωπος τὸ μῖγμα καὶ τὸ μετὰ τοῦ ὀχήματος καὶ τὸ κατὰ μόνους τοὺς λόγους καὶ τὴν κατὰ τὸ θεῖον ἐπιστροφήν.

Ἀρκεῖ μὲν οὖν ταῦτα εἰς τὸ τοῦ Ἀπόλλωνος ὄνομα. τοξικοὶ δὲ ἄμφω καὶ διὰ τοῦτο Φοῖβοι διωνομασμένοι τῷ ποιητῇ. καὶ τοῖς μὲν ἄλλοις τοῖς ἐξηγησαμένοις τὸν Ὅμηρον τὸν καθαρὸν τοὔνομα δοκεῖ {τὸν} 65
βίον ἢ τὸν παραδειγματικόν, ἀπὸ τοῦ φάος εἶναι τῷ βίῳ, ἤτοι παράδειγμα καθαρότητος, Πορφυρίῳ δὲ ἐν τοῖς εἰς τὸν Ὅμηρον ἐξηγητικοῖς Φοῖβός ἐστιν ὁ τοξότης, οἷον φαόβιός τις ὤν, ὅπερ ἐστὶ λαμπρότοξος.

Τί οὖν μοι τὰ πολλὰ ταῦτα λέλεκται; οὐχ ἵνα δόξω σοφός – συν- 70
είρω γάρ, νὴ τὴν ὑμετέραν ἀγάπην, καὶ κρύπτω τὰ πλείονα, καίτοι μοι ὀργώσης τῆς διανοίας ὑπὸ σώφρονι τῇ βακχείᾳ, ἵνα τι τῶν ἀπορρητοτέρων ἐρῶ –, ἀλλ' ὥστε ἐνδείξασθαι ὅτι ἢ τὸ ξύμπαν ἢ ἐκ μέρους βιὸς τῷ Ὁμήρῳ τὸ τόξον ὠνόμασται καὶ νενόηται, ἢ τὸ ἐξ ἐλέφαντος ἢ τὸ ἀπὸ τοῦ κέρατος ἢ τὸ ἀπὸ ξυληφίου τινός. εἰ οὖν καὶ 75
κατὰ τὸν σοφὸν Πορφύριον καὶ κατὰ τὴν ἐτυμολογίαν τοῦ ὀνόματος βιὸς τὸ τόξον καὶ νοεῖται καὶ ὀνομάζεται, καλῶς δὴ τῷ ποιητῇ εἴρηται τὸ 'λίγξε βιός, νευρὴ δὲ μεγάλ' ἴαχεν'· 'ἐπεὶ δὴ' γάρ φησι 'κυκλοτερὲς μέγα τόξον ἔτεινε, λίγξε βιός'· συνηκολούθησε γὰρ τῇ τάσει ἢ κάμψει τὸ ποιηθὲν ὄνομα τῷ σοφῷ. ὥστε πρότερον μὲν ἡμῖν ταὐτὸν ἔδοξε 80
νευρὰ καὶ βιός, νῦν δὲ ἀδιάφορον τόξον τε καὶ βιός· ἔστι γὰρ ὁ βιὸς μέσον ἀμφοῖν, καὶ νῦν μὲν τῷ τόξῳ νενέμηται, νῦν δὲ τῇ νευρᾷ. διὰ τί; ὅτι αὐτὸ δὴ τοῦτο πάθος ἐστὶν ὁ βιός, ἢ τοῦ τόξου βιαζομένου ἐπὶ

65–66 *καθαρὸν ... βίον*] cf. Et. Mag. 796,56 ‖ 68 *φαόβιός*] cf. Eust. Il. 38,1; Et. Mag. 796,55 | *λαμπρότοξος*] cf. Eust. Il. 32,46

55 *ἐπάρχοντες* **P**: *ὑπ-* **V** ‖ 56 *ἐστιν* **P**: post *φαινομένη* trsp. **V** ‖ 57 *ὁ*² **V**: om. **P** ‖ 58 *ὁρατοῦ* **V**: *νοητοῦ* **P** | *προκαθήμενος* **P**: *προσκ.* (fort. p. c.) **V** ‖ 61 *ἄνθρωπος* **V**: *ὁ ἄ.* **P** ‖ 65 *τὸν καθαρὸν* **V**: *τῶν καθαρῶν* **P**: *τὸν καθαρτικὸν* coni. Wk. (cf. Porph. Sent. 32) | *δοκεῖ*] sc. *σημαίνειν* (vel leg. *δηλοῖ*?) ‖ 65 sq. *τὸν* (del. Wk.) *βίον* **P**: *μόνον* **V** ‖ 67 *καθαρότητος* **V**: *καθαρώτατον* **P** ‖ 75 *ξυληφίου* **V**: *-υφ-* **P** | *καὶ* **P**: om. **V** ‖ 76 *ἐτυμολογίαν* **P**: *ὁμολογίαν* **V** ‖ 77 *καὶ*¹ **P**: om. **V** ‖ 78 *τὸ* **V**: om. **P** | *μεγάλ'* **V**: *μέγ'* **P** ‖ 79 *ἔτεινε* **V**: *ἐνέτεινε* **P** | *γὰρ* **P**: om. **V** | *κάμψει* **P**: *κ. τοῦ τόξου* **V** ‖ 80 *μὲν* **P**: om. **V** ‖ 82 *τῷ* **P**: om. **V** ‖ 83 *δὴ* **P**: om. **V**

τὸ ἄναντες ἢ τῆς νευρᾶς κατὰ τὸ ἀντίθετον· ἀλλὰ τὸ μὲν 'λίγξε' λε-
85 *πτός τις ἦχος καὶ ἀδρανής, ἡ δὲ ἰαχὴ βαρύς τε καὶ ἔντονος. καὶ εἰκό-*
τως τῷ μὲν ἐλέφαντι ἢ τῷ κέρατι ἢ τῷ ξύλῳ, ἅτε δὴ ξηροῖς οὖσι καὶ
ἀνίκμοις ἐν τῇ τάσει, τὸ 'λίγξε' πεποίηται, τῇ δὲ νευρᾷ ὡς ὑγροτέρᾳ
καὶ ἠχεῖν μάλιστα δυναμένῃ ἡ ἰαχή. διὰ ταῦτα 'λίγξε βιός, νευρὴ δὲ
μεγάλ' ἴαχεν'. οὕτω γοῦν καὶ ταῖς γεράνοις κλαγγώδης ἐστὶν ἡ φωνὴ
90 *διὰ τὴν τῆς ἀρτηρίας ξηρότητα, ἐν δέ γε τοῖς κατάρροις βραγχώδης*
ἡμῖν διὰ τὴν καταρρεύσασαν ἐκ τῆς κεφαλῆς ἐν τῷ αὐλῶνι ὑγρότητα.
τὸ μὲν οὖν τόξον οὐκ ἄν ποτε κληθείη νευρὰ οὔθ' Ὁμήρῳ οὔθ' ἑτέρῳ
τινί, εἰ μὴ τετύφλωται, ἀλλ' οὐδὲ ἡ νευρὰ τόξον – τὰ γὰρ μέρη διά-
φορα – ὥσπερ οὐδὲ ὁ ποὺς κεφαλὴ οὔτε θάτερον θάτερον, ἀλλὰ
95 *παρὰ θάτερον ἕκαστον. τὰ δὲ πάθη ἔστιν ὅτε καὶ τῶν διαφόρων κατ-*
ηγορεῖται μερῶν, καὶ τὸ συγκείμενον ὀνομασθείη ἐξ ὧν σύγκειται καὶ
τὰ εἰς συνθήκην κατὰ τοῦ συντεθειμένου λεχθείη. οὕτω γοῦν καὶ ὁ
βιός, ἅτε πάθος ὢν καὶ νευρᾶς καὶ τόξου, νῦν μὲν ἐπ' ἐκείνου τοῦ
μέρους, νῦν δὲ ἐπὶ τούτου ὀνομάσοιτ' ἂν ἀδεῶς.

100 *Καὶ ἔστιν ὁ λόγος διασκευή τις ῥητορικὴ ἀτεχνῶς· χρᾶται γοῦν τῷ*
μέρει τούτῳ τοῦ διηγήματος ἐπὶ πολλοῖς μὲν καὶ ἄλλοις, μάλιστα δὲ
ἐπὶ τῆς ἱεροσκοπίας καὶ τοῦ τρόπου τῶν θυομένων, ὁπότε καὶ τὴν
πτῶσιν τοῦ θύματος διακριβῶται καὶ τὴν τομήν, ὅπως μὲν οὖν τούτῳ
εἰρύσθη ὁ τράχηλος καὶ ὅπως ἔσφακται καὶ ὅπως ἐκδέδαρται καὶ
105 *ὅπως τὴν ὁλομέλειαν τὸ θυόμενον ἀπολώλεκε, μελεϊστὶ τῷ τέμνοντι*
διατυθέν, οἷς καὶ ἡ μαντῳδὸς ἐπιθήκη ἀκόλουθος καὶ τὰ ἐπὶ τούτοις.
καὶ τὰ ἐπὶ τῶν θεῶν δὲ οὕτω διερμηνεύει ὀχήματα,

Ἥβη δ' ἀμφ' ὀχέεσφι – λέγων – θοῶς βάλε καμπύλα κύκλα,
χάλκε' ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς·
110 *τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθεν*
χάλκε' ἐπίσωτρα προσαρηρότα, θαῦμα ἰδέσθαι·

108–119 Il. 5, 722–732

84 *ἄναντες* **P**: *ἔναντες* **V** | *λεπτός* **P**: *πτωχός* **V** || **85** *τε* **P**: *τις ἦχος* **V** || **86** *τῷ*[2] **P**: om. **V** || **86–87** *δὴ ξηροῖς οὖσι καὶ ἀνίκμοις* **V**: *σκληροῖς καὶ ἀνίκμοις οὖσιν* **P** || **88** *ἡ* **V**: om. **P** | *ταῦτα* **P**: *ταῦτα γοῦν* **V** | *λίγξε* **V**: *λ. μὲν* **P** || **89** *γοῦν* **P**: *δὴ* **V** | *ταῖς* **P**: *τοῖς* **V** || **90** sq. *βραγχώδης ἡμῖν* **V**: *βραγχώδεις ἡμεῖς* **P** || **92** *ποτε κληθείη* **P**: trsp. **V** || **93** *τετύφλωται* **V**: *τετύφωται* **P** || **98** *καὶ*[1] **V**: om. **P** || **99** exspectes *ὀνομάζοιτο* | *ἀδεῶς* **P**: *ἀδεῶς τις* **V** || **100** *ῥητορικὴ*] signum *ῆς* s. l. add. **P** || **101** *τούτω* **P**: *τούτου* **V** || **102–103** *ὁπότε … διακριβῶται* **P**: *ὁπόταν … διακριβοῦται* **V** || **103** *τούτω* **P**: *αὐτῷ* **V** || **105** *μελεϊστὶ* **P**: *μελιστὶ* **V** || **107** *ἐπὶ* **P**: om. **V** || **108–131** errata in vss. Hom. haud Psello tribuenda || **111** *χάλκε'* **V**: *χάλκε' ὀκτάκνημα* (ex l. 109) **P**

πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν – οὕτως
ὀνομάζων τὰς χοινικίδας –·
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν
ἐντέταται· δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι· 115
τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλεν· αὐτὰρ ἐπ' αὐτῷ
δῆσε χρύσεον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα
κάλ' ἔβαλε χρύσεια· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππους ὠκύποδας, μεμαυῖα ἔριδος καὶ ἀυτῆς.

καὶ τῷ Ὀδυσσεῖ δὲ τὴν ναῦν ἁρμοζόμενος 120

αὐτὰρ ὁ – φησί – τάμνετο δοῦρα, θοῶς δὲ ἠνύετο ἔργον·
εἴκοσι δ' ἔκβαλε πάντα, πελέκισεν δ' ἄρα χαλκῷ·
ξέσε δ' ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνε·
τόφρα δ' ἔνεικε τέρετρα Καλυψὼ δῖα θεάων·
τέτρηνεν δ' ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισι· 125
γόμφοισιν δ' ἄρα τήνδε καὶ ἁρμονίῃσιν ἔναρσε.

καὶ ἵν' ὑπερβῶ τινα τῶν ἐπῶν,

ἰκρία δὲ – φησί – στήσας ἀραιῶν θαμέσι σταμίνεσι
ποίει· αὐτὰρ μακρῇσιν ἐπηγκενίδεσι τελευτᾷ·
ἐν δ' ἱστὸν ποίει καὶ ἐπίκριον ἄρμενον αὐτῷ· 130
ἐν δ' ὑπέρας τε κάλους τε πόδας τ' ἐνέδησεν ἐν αὐτοῖς,

καὶ ὁπόσα ἄλλα τῷ ποιητῇ ἐν τῇ νεουργίᾳ λελεπτούργηται, ὥσπερ δὴ κἀν τῇ ἀσπιδοποιίᾳ.

Τοῦτο δὴ αὐτῷ κἀν τῇ ἀφέσει τοῦ Πανδαρικοῦ βέλους, εἰ καὶ μὴ τοσοῦτον, ἀλλὰ γοῦν ἐκπεπόνηται. ὥσπερ γὰρ ὁ κόσμος τῷ Πλάτωνι 135

112–113 Eust. Il. 598, 12 || **121–131** Od. 5, 243–248; 252–254; 260 || **135–138** alludit ad Tim. 30a

115 *δοιαὶ* **V**: *δυοὶ* **P** || **116** *ἐξ* **P**: om. **V** || **117** *χρύσεον* **V**: om. **P** || **118** *ἔβαλε* **V**: *ἔμβαλε* **P** || **121** *τάμνετο* **V**: *τάμνε* **P** || **122** *ἔκβαλε* **V**: *ἔμβαλε* **P** | *πελέκισε* **V**: *πελέκει* **P** | *δ' ἄρα* **V**: *ὅδ' ἀέρα* **P** || **123** *στάθμην* **V**: *σταθμὸν* **P** || **124** *δῖα θεάων* **P**: *διθεῶν* ut vid. **V** || **125** *τέτρηνε* **V**: *τέτρηγε* **P** || **126** *ἔναρσε* **P**: *ἄρσε* **V** || **128** *θαμέσι σταμίνεσι* **P**: *θαμαῖς ἱσταμεναισι* **V** || **129** *ἐπηγκ.* **V**: *ἐπεγκ.* **P** || **130** *ποίει* **V**: *ποίησε* **P** | *ἐπίκριον* **P**: *ἐπ' ἰκρίον* **V** || **131** *ὑπέρας* **P**: *ὑπερους* **V** || **134** *δὴ* **V**: *γοῦν* **P** | *αὐτῶ* **P**: om. **V** | *πανδαρικοῦ* **P**: *πινδαρικοῦ* **V** || **135** *ἐκπεπόνηται* **V**: *ἐκπεποίηται* **P**

ἀθρόον ὑπὸ θεοῦ κατεσκεύασται, εἶτ' αὖθις κατὰ μέρη διατέτμηται, καὶ νῦν μὲν αὐτῷ ἡ ὕλη ἐκπέφανται, νῦν δὲ τὸ πλημμελὲς καὶ ἄτακτον, τὰ πρόδρομα τῶν ἰχνῶν εἴδη, νῦν δὲ τὸ ἐπὶ τοῖς εἴδεσιν εἶδος, οὕτω δὴ καὶ τῷ ποιητῇ ἀθρόον μὲν πάντα, ἡ κάμψις, ἡ τάσις, τὸ
140 *'λίγξε', ἡ ἰαχή, ἡ τοῦ βέλους ἐκπήδησις· ἀλλ' αὖθις ἀναλέλυται τὸ ὁμοῦ καὶ τὸ ἓν αὐτῷ τὸ ἐξ ἑνώσεως πολλὰ γίνεται καὶ μέμικται.*

Ἐνταῦθα τῷ Ὁμήρῳ καὶ τὰ τῆς φιλοσοφίας καὶ τὰ τῆς τέχνης· διεσκεύασται γὰρ αὐτῷ ἡ διήγησις καλοῖς καὶ γλαφυροῖς ὀνόμασι καὶ διῄρηται φιλοσόφως ἡ ἕνωσις· καὶ ὥσπερ τὰ θεῖα οἶδεν ὀνόματα καὶ
145 *τὰ ἀνθρώπινα καὶ διαιρεῖ πολλαχοῦ τῶν ἐπῶν καὶ διερμηνεύει, τί μὲν τὸ δαιμόνιον ὄνομα, τί δὲ τὸ ἀνθρωπικόν, οὕτω δὴ καὶ τῆς ἀφώνου ὕλης ἐπίσταται τὴν ἠχώ, καὶ ὅπως μὲν φωνεῖ ἡ νευρά, ὅπως δὲ τὸ τόξον ἠχεῖ, ὅπως δὲ κυμαίνουσα θάλασσα καὶ πεύκη καὶ δρῦς, καὶ τίς θεᾶς φωνὴ λειριόεσσα, καθάπερ δὴ καὶ τἆλλα διαιρεῖν εἴωθε, τοὺς αἴ-*
150 *θωνας καὶ ἐμπυριβήτας λέβητας, τοὺς ἀπύρους καὶ ἀνθεμόεντας, τοὺς χρηματιστὰς ἐμπόρους, τοὺς ἐπιβάτας, ὡς δὲ καὶ τοὺς ἐπηβόλους, νῦν μὲν τοὺς ἐπιτυχεῖς, νῦν δὲ τοὺς ξυνιέντας λέγων. καὶ ἵνα μὴ πάντα τὸν Ὅμηρον ἐπεισκυκλήσω τῷ λόγῳ, φιλοτιμότερον ἑρμηνεύων αὐτόν, καὶ τὸ μὲν ὑμέτερον ἐρώτημα οὕτω λέλυται, τὸ δὲ ἐμὸν διαπόρημα*
155 *πῶς; πολλὰ τῶν πασχόντων οὐκ εὐθὺς τὸ τέλειον ἴσχει πάθος, ἀλλὰ μετὰ τὸ παυθῆναι τοῦ πάσχειν· οὕτω δὴ καὶ ἐπὶ τοῦ Πανδαρικοῦ τόξου μετὰ τὸ τετάσθαι καὶ 'ὁ βιὸς λίγξε καὶ ἡ νευρὴ μεγάλ' ἴαχε'. καὶ οὐδὲν ὑμῖν πλέον ἐρῶ, ἵν', εἰ μὲν γνοίητε, ἔχητε τὸ ζητούμενον, εἰ δ' οὖν, παρ' ἐμοῦ λήψοισθε. ἆρ' οὖν οὐχὶ καὶ παρ' ἐμοὶ τόξον ἐμπέπη-*
160 *κται ἐν τοῖς στήθεσι καὶ βέλος ἐκεῖθεν ἅλλεται, καὶ οὐδ' ἐπιλίγδην, ἀλλὰ κατὰ τῆς καρδίας τῶν ἐμῶν ἀκροατῶν καὶ ἀφίεται καὶ στηρίζεται, πλὴν ὅσον οὐχ αἱμάττον, ἀλλὰ καθηδῦνον; καὶ τὰ μὲν τῶν ἐμῶν*

138 Procl. in Tim. I 383,19–20; 388,23 || **145–146** e.g. Il. 20,74; 14,290–291; cf. Eust. Il. 124,24–33 || **148** *κυμαίνων* (tantum cum *πόντος*) e.g. Od. 4,425 || **148–149** Hes. Th. 41; cf. Il. 3,152 || **149** *αἴθων* e.g. Il. 9,123 || **150** *ἐμπυριβήτης* Il. 23,702 | *ἄπυρος ... ἀνθεμόεις* Il. 23,885 || **151** *ἔμπορος ... ἐπήβολος* Od. 2,319 || **160** *ἐπιλίγδην* Il. 17,599

136 *κατὰ* **P**: *καὶ τὰ* **V** || **137** *αὐτῷ ἡ ὕλη* **P**: *ἡ ὕλη αὐτῷ* **V** || **138** *πρόδρομα* **P**: *παράδρομα* **V** | immo *τῶν εἰδῶν ἴχνη* || **140** *ἡ*[1] scr. Sathas (cf. 85 et 88): *τὸ* **P V** || **141** *αὐτῷ* **V**: *αὐτὸ* **P** | *ἑνώσεως* **V**: *-εων* **P** || **145** *διαιρεῖ* **P**: *διατηρει* **V** || **148** *δὲ* **P**: evan. **V** || **150** *ἐμπυριβήτας* **V**: *-βάτους* **P** | *ἀνθεμήεντας* **P**: *-ίεν-* **V**: correxi || **153** *λόγῳ* **V**: *λέγειν* **P** || **154** *καὶ* del.? || **155** *τὸ* **P**: om. **V** || **156** *δὴ καὶ* **P**: *γοῦν* **V** | *πανδαρικοῦ* **P**: *πινδ.* **V** || **158** *ὑμῖν* **P**: *ἡμῖν* **V** | *ἔχητε* **P**: *ἔχοιτε* **V** || **159** *ἐμπέπηκται* **P**: *πέπηκται* **V** || **160** *ἐπιλίγδην* **V**: *-λλ-* **P** || **161** *καὶ*[1] **P**: om. **V** | *στηρίζεται* **P**: *γνωρίζεται* **V**

βελῶν αὐτόθεν ἅλλεται κατ' ἀρρήτους ἐπιβολάς, τὰ δὲ οἷον βεβίασται ταῖς προτάσεσι καὶ τοῖς συμπεράσμασι καὶ τὸ ὅλον εἰπεῖν ταῖς ἀποδεί-ξεσιν. 165
Εἰ μὲν οὖν ἀρκεῖ ταῦτα, μὴ προβιβάσωμεν περαιτέρω τὸν λόγον, εἰ δ' οὖν, ἐν ἑτέρᾳ ἐπιστολῇ προσθήσομεν πλείονα· εἰ δὲ τὰ πλείω τῷ γράμματι ἥνικται, ἀλλ' εἴη τις καὶ παρ' ὑμῖν Θεμιστοκλῆς ἀναγινώ-σκων τῶν χρησμῶν τὴν διάνοιαν, εἰ δ' οὖν, ἀφερμηνεύσει ταύτην ὁ Πύθιος. 170

49

Τοῦ Ψελλοῦ ἐπίλυσις εἰς τοὺς τῆς φιλοσοφίας τρόπους

Οἱ φιλοσοφίας λόγων ἐρῶντες καὶ τῆς ἐκ τούτων ἡδονῆς ἄκρῳ δα-κτύλῳ γευσάμενοι, πάσῃ τῇ τοῦ βίου φροντίδι χαίρειν εἰπόντες, σώ-φρονί τινι μανίᾳ πρὸς τούτους ἐλαυνόμενοι φέρονται καὶ τῇ τῶν ὄντων ἐπιστήμῃ συντόνως ψυχαγωγοῦσιν αὐτῶν τὸν ἔρωτα· ἐπιστήμη δὲ τῶν 5 *ὄντων ἡ φιλοσοφία ἐστίν, ὡς σὺν θεῷ μαθησόμεθα. ἐπεὶ τοίνυν καὶ ἡμᾶς σοφὸς ἔρως καὶ πολλὴ προθυμία ἐπὶ τοῦτον διήλασε τὸν ἀναφαί-ρετον τῆς φιλοσοφίας ἀγῶνα θεῖον, μὴ τὸ παρὸν δυσχερὲς ἐπιλογιζό-μενοι, ἀλλὰ πρὸς τὸ πέρας τῆς θείας αὐτῆς ἀποβλέποντες ἐπαγγελίας πάντα μόχθον ἐλάττονα αὐτῆς ἡγησώμεθα.* 10
Δοκεῖ δέ μοι μικρὸν ἀναλαβέσθαι τὴν ἐγκύκλιον ἐξήγησιν Ἀριστοτε-λικοῖς πειθομένῳ θεσμοῖς· ὡς γὰρ ἐν ἑκάστῳ σχεδὸν πράγματι, οὕτω πρὸ πάσης διδασκαλίας καὶ τέχνης καὶ ἐπιστήμης τέτταρά τινα δεῖ ζη-τεῖν· εἰ ἔστι, τί ἐστιν, ὁποῖόν τί ἐστι, καὶ διὰ τί ἐστιν.
Ἐπεὶ δὲ τέχνης καὶ ἐπιστήμης ἐμνημονεύσαμεν, μάθωμεν τί τὸ 15 *διάφορον αὐτῶν. καὶ δεῖ γινώσκειν ὅτι ἡ μὲν τέχνη περὶ τὰ ὑλικὰ καὶ φθειρόμενα καὶ μὴ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται, ἡ δὲ ἐπιστήμη περὶ τὰ ἄυλα καὶ ἄψευστα καὶ ἀεὶ ὡσαύτως ἔχοντα. καὶ τέχνη μέν ἐστιν ἡ γραμματική, ἡ ῥητορική, ἡ ἰατρικὴ καὶ αἱ τοιαῦται, ὡς περὶ τὰ γεώδη γινόμεναι καὶ πταιστά, ἐπιστήμη δὲ ἡ φιλοσοφία, καθὸ περὶ* 20 *τῶν ὄντων καὶ ἀεὶ ὡσαύτως ἐχόντων διαλαμβάνει. διαλαβόντες οὖν*

168 *Θεμιστοκλῆς*] v. Hdt. 7,141–143
49 ed. 1532 (ed. 1540 **v**[35] 96ᵛ–99ᵛ **a**[10] 3ᵛ–17ᵛ) ‖ **2-14** Dav. Prol. 1,4–15 ‖ **2-3** cf. CPG I p. 24 ‖ **15-23** cf. Dav. 44,25 sqq.

49 **5** *συντόμως* Dav. ‖ **7** *ἀναφαίρετον*] *ἀγῶνα, φέρε τὸν* Dav. ‖ **11** *ἀναβάλλεσθαι* (*ἀνα-βαλέσθαι* cod. K) male codd. Dav.

περὶ διαφορᾶς τέχνης καὶ ἐπιστήμης εἴπωμεν καὶ περὶ τῶν τεττάρων ζητουμένων κεφαλαίων.

Ἰστέον ὅτι εἰκότως ταῦτα ζητοῦμεν· τῶν γὰρ πραγμάτων τὰ μέν
25 *ἐστιν ἀνύπαρκτα, ὡς τραγέλαφος, σκινδαψὸς καὶ τὰ λοιπὰ ὅσα ἡ ἡμετέρα διάνοια ἀναπλάττει, τὰ δὲ ὕπαρξιν ἔχει. καὶ τούτων αὖθις τῶν ὕπαρξιν ἐχόντων τὰ μὲν ἀμφιβαλλομένην ἔχει τὴν ὕπαρξιν, ὡς ἄναστρος σφαῖρα, ὡς ἀντίποδες – ταῦτα γὰρ ἀμφιβάλλονται εἴτε εἰσὶν εἴτε οὔ –, τὰ δὲ ὁμολογουμένην, ὥσπερ ἄνθρωπος ἢ βοῦς. καὶ ἐπὶ*
30 *τῶν ὕπαρξιν μὲν ἐχόντων, ἀμφιβαλλομένην δέ, ζητοῦμεν τὸ εἰ ἔστιν – ἄτοπον γὰρ ὄντως καὶ ἀμαθὲς μήπω μαθόντας εἰ ὑπαρκτικὸν τόδε ἐστὶν ἐρευνᾶν περὶ αὐτοῦ τί ἂν εἴη –, ἐπὶ δὲ τῶν ὡμολογημένην ἐχόντων τὴν ὕπαρξιν ζητοῦμεν τὸ τί ἐστι. τὸ δὲ τί ἐστιν ἢ δι' ὀνόματος ἐκφέρεται ἢ δι' ὁρισμοῦ· δι' ὀνόματος μέν, ὅταν βλέποντές τι λέγωμεν*
35 *τί ἐστι καὶ λέγωμεν ὅτι ἄνθρωπός ἐστιν, δι' ὁρισμοῦ δέ, ὅταν λέγωμεν ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἐπεὶ δὲ τὰ πράγματα οὐ μόνον κοινωνοῦσι κατὰ τὸ γένος, καθὸ ζῷα, ἀλλὰ καὶ διαφέρουσι, καθὸ τὰ μὲν λογικά, τὰ δὲ ἄλογα, καὶ διὰ τοῦτο ζητοῦμεν ὁποῖόν τί ἐστιν, ἵνα γνῶμεν τὰς διαφοράς· καὶ γὰρ αἱ διαφοραὶ τῷ*
40 *ὅρῳ συναναφέρονται. ἰστέον δὲ ὅτι ἡνίκα τὸ τί ἐστι δι' ὀνόματος ἐκφέρεται, τότε δεῖ ζητεῖν ὁποῖόν τί ἐστιν, ἡνίκα δὲ δι' ὅρου γίνεται, τότε οὐ δεῖ ζητεῖν τὸ ὁποῖόν τί ἐστιν, ἀλλὰ διὰ τί ἐστιν. ἐπεὶ δὲ πάντα πρός τι τέλος ὁρῶσι καὶ οὐδὲν μάτην οὔτε ὁ δημιουργὸς οὔτε ἡ φύσις οὔτε ἡ τέχνη ἐπενόησε, τούτου χάριν ζητοῦμεν διὰ τί ἐστιν·*
45 *οἷον διὰ τί ἐστι κλίνη; διὰ τὴν τῶν ἀνθρώπων ἀνάπαυσιν. καὶ πάλιν διὰ τί ἄνθρωπος; διὰ τὸ κοσμεῖσθαι τόδε τὸ πᾶν· καὶ γὰρ τὸ πᾶν ἀτελὲς ἦν μήπω τοῦ ἀνθρωπείου γένους παραχθέντος.*

Ἐπεὶ δὲ ταῦτα οὕτως ἔχει, ἐστὶ δὲ φιλοσοφία ἡμῖν τὸ προκείμενον, ἥτις παρ' ἡμῖν μὲν οὐκ ἀμφιβάλλεται, παρὰ δέ τισιν ἀνατρέπεται, ἤ-
50 *γουν τοῖς ἐφεκτικοῖς φιλοσόφοις, φέρε καὶ ἐπὶ ταύτης κατὰ ἀκολουθίαν τὸ εἰ ἔστι ζητήσωμεν. δείκνυμεν οὖν αὐτὴν οὖσαν τοῦτον τὸν τρόπον· εἰ ἔστι θεός, ἔστι καὶ πρόνοια· οὐ μόνον γὰρ ἔστι θεός, ἀλλὰ καὶ προνοεῖται. ἀλλὰ μὴν ἔστι θεός – μεμηνότων γάρ ἐστι τὸ λέγειν ὅτι*

24–30 1, 15–2, 1 ‖ **32–47** 2, 1–17 ‖ **43–44** cf. Arist. Cael. 271 a 33 ‖ **48–50** Dav. 2, 22–25 ‖ **51–61** 8, 10–19

26 *διαπλάττεται* Dav. ‖ **29** *ὁμολογουμένην* Dav.: *ὁμολογούμενα* ed. 1532 **v**^{35} ‖ **32** *ὡμολογημένην* ed. 1540: *ὁμολογημένην* ed. 1532 **v**^{35}: *ὁμολογουμένην* Dav. ‖ **34** *ἐκφέρεται*] *γινώσκεται* Dav. | (et **35** pr.) *λέγωμεν* ed. 1540: *-ομεν* ed. 1532 **v**^{35} ‖ **40** *συναναφαίνονται* Dav. ‖ **41** *γίνεται*] *γινώσκεται* Dav. ‖ **46** *κοσμῆσαι* Dav.

οὐκ ἔστι θεός –, δηλονότι ἔστι καὶ πρόνοια. εἰ δὲ ἔστι πρόνοια, δηλονότι καὶ σοφία ἔστι δι' ἧς προνοεῖται ὁ θεός· οὐ γὰρ ἀλόγως 55 *προνοεῖται οὐδ' ἄνευ σοφίας. εἰ δ' ἔστι σοφία, δηλονότι ἔστι καὶ ἔφεσις αὐτῆς καὶ ἐπιθυμία· πᾶς γὰρ τοῦ ἀγαθοῦ ἐφίεται, ὅθεν ἀγαθὸν λέγεται παρὰ τὸ ἄγαν θέειν ἡμᾶς ἐπ' αὐτό. εἰ δὲ ἔστιν ἔφεσις καὶ ἐπιθυμία αὐτῆς, δηλονότι φιλοσοφία ἔστιν· οὐδὲν γάρ ἐστιν ἕτερον φιλοσοφία εἰ μὴ φιλία σοφίας, ὡς ὁ Πυθαγόρας ὡρίζετο. δέδεικται τοίνυν* 60 *ὅτι ἔστι φιλοσοφία.*

Ἀλλ' ἐπειδὴ τὸν ὁρισμὸν τῆς φιλοσοφίας γνῶναι οὐ δυνατὸν τοῦ ἁπλῶς ὁρισμοῦ ἀγνοουμένου, ὥσπερ οὐδὲ τὸ γράφειν καλῶς αὐτὸ τὸ γράφειν μὴ ἐπιστάμενον, τέσσαρα δεῖ ζητεῖν περὶ ὁρισμοῦ, πρῶτον μὲν τί ἐστιν ὁρισμός, δεύτερον δὲ πόθεν εἴρηται ὁρισμός, τρίτον τί διαφέ- 65 *ρει ὁρισμὸς ὅρου, τέταρτον πόθεν λαμβάνεται πᾶς ὁρισμός.*

Ὁρισμὸς τοίνυν ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς ἑκάστου φύσεως. καὶ 'λόγος' μὲν εἴρηται διὰ τὸ ὄνομα, ἐπεὶ καὶ αὐτὸ φύσιν δηλοῖ, τὸ δὲ 'σύντομος' πρόκειται διὰ τὰ ἀποτάδην λεγόμενα ῥητορικὰ καὶ ἰατρικὰ προβλήματα, τὸ δὲ 'τῆς ἑκάστου φύσεως δηλωτικὸς' διὰ 70 *τὰς ὑπογραφάς· αἱ γὰρ ὑπογραφαὶ οὐ τὴν ἑκάστου φύσιν δηλοῦσιν, ἀλλὰ τὸ συμβαῖνον ἑκάστῳ, οἱ δὲ ὁρισμοὶ ἐκ τῶν κατ' οὐσίαν λαμβάνονται· διὸ τὴν ἑκάστου φύσιν δηλοῦσι.*

Τὸ δὲ πόθεν εἴρηται ὁρισμὸς τοιοῦτόν ἐστιν· ὥσπερ ἐκ μεταφορᾶς τῶν ὁροθεσίων τῆς γῆς ἐπεδήλωσαν πρὸς δήλωσιν τῶν τόπων, τὸν 75 *αὐτὸν τρόπον καὶ οἱ ἐξηγηταὶ τὸν τῆς φύσεως ὁρισμὸν τοῦ δικαίου καὶ τῆς ἀντιστροφῆς στοχαζόμενοι οὔτε ἐλλείπειν οὔτε πλεονάζειν ἐθέλουσιν, ἀλλ' ἀφορίζουσί τε τὸ ὑποκείμενον καὶ τὸ διακεκριμένον φυλάττουσιν.*

Διαφέρει δὲ ὁρισμὸς ὅρου ἔν τε τῷ καθολικῷ καὶ τῷ μερικῷ. ὁ μὲν 80 *ὁρισμὸς μερικώτερός ἐστιν, ὁ δὲ ὅρος καθολικώτερος.*

Λαμβάνεται τοίνυν πᾶς ὁρισμὸς ἢ ἐκ τοῦ ὑποκειμένου ἢ ἐκ τοῦ τέλους ἢ ἐκ τοῦ συναμφοτέρου· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη ἔχει ὑποκείμενον, ἔχει καὶ τέλος, καὶ ὑποκείμενον μὲν περὶ ὃ καταγίνεται, τέλος δὲ ὃ ποιῆσαι προτίθεται. τῇ μὲν γὰρ ἰατρικῇ ὑπόκειται τὰ ἀν- 85

59-60 cf. infra 117 ‖ 62-66 El. Prol. 3,30–4,4; Dav. 11,1–9 ‖ 67-73 El. Prol. 4,5–15 ‖ 74-78 El. 4,34–5,6 ‖ 78-79 cf. Dav. 15,15–16 ‖ 80-81 13,13–15 ‖ 82-89 El. 5,20–28

64 *ἐπιστάμενον* ed. 1540: *-ος* ed. 1532 v[35]: immo ⟨*τὸν*⟩ … *ἐπιστάμενον* (Dav.) ‖ 69 immo *πρόσκειται* (El.) ‖ 75 *ἐπεδήλωσαν* corruptum; v. El. 5, 2–3 ‖ 76 *τὸν – ὁρισμὸν* haud sanum (*τῶν φύσεων ὁρισμοὶ* El.)

θρώπινα σώματα, τέλος δ' ἔχει τὴν ὑγείαν, τῇ δὲ ῥητορικῇ ὑπόκειται τὰ ἰδιωτικὰ καὶ πολιτικὰ προβλήματα, τέλος δὲ ταύτης τὸ πεῖσαι, τῇ δὲ γραμματικῇ ὑπόκεινται πᾶσαι αἱ Ἑλληνίδες φωναί, τέλος δὲ αὐτῆς τὸ μηδέποτε ἁμαρτάνειν περὶ αὐτάς. εἰ οὖν πᾶσα τέχνη καὶ ἐπιστήμη
90 *καὶ ὑποκείμενον ἔχει καὶ τέλος, εἰκότως καὶ οἱ ὁρισμοὶ ἢ ἐξ ἑνὸς τῶν δύο ἢ ἐκ τοῦ συναμφοτέρου λαμβάνονται· ἐκ τοῦ ὑποκειμένου μέν, ὡς ὅταν εἴπω 'ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένη', ἐκ τοῦ τέλους δέ, ὡς ὅταν εἴπω 'ἰατρική ἐστι τέχνη ὑγείας περιποιητική'.*
95 *Δείκνυται οὖν ὅτι οἱ ὁρισμοὶ ἐκ τριῶν συλλαμβάνονται, ἐκ τοῦ ὑποκειμένου, ἐκ τοῦ τέλους καὶ ἐκ τῶν συναμφοτέρων. φέρε οὖν μάθωμεν τί ὑπόκειται τῇ φιλοσοφίᾳ καὶ τί τὸ τέλος αὐτῆς καὶ πῶς ἐκ τούτων γνωρίζεται. δεῖ οὖν εἰδέναι ὅτι πάντα τὰ ὄντα ὑπόκειται τῇ φιλοσοφίᾳ, διὸ καὶ γνῶσίς ἐστιν, ὡς μόνη πάντα γινώσκουσα· αἱ μὲν γὰρ*
100 *ἄλλαι τέχναι καὶ ἐπιστῆμαι περὶ ἓν καταγινόμεναι ἓν μέν τι γινώσκουσι, πολλὰ δὲ ἀγνοοῦσι, καὶ μᾶλλον ἄγνοιαί εἰσιν παρὰ γνώσεις· ἡ δὲ φιλοσοφία μᾶλλον γνῶσίς ἐστιν ὡς πάντα τὰ ὄντα ἐπαγγελλομένη εἰδέναι. τέλος δὲ τῆς φιλοσοφίας τὸ διὰ τῆς γνώσεως τῶν ὄντων θεὸν ἐπὶ γῆς δεῖξαι τὸν ἄνθρωπον καὶ τοιοῦτον οἷον τὸν Λυκοῦργον ἡ Πυ-*
105 *θία προσεῖπεν·*

ἤλυθες, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηόν,
δίζων εἴ σε θεὸν μαντεύσομαι ἠὲ καὶ ἄνδρα.

Ἐπεὶ οὖν ἔγνωμεν τί τὸ τέλος τῆς φιλοσοφίας καὶ τί τὸ ὑποκείμενον, φέρε εἴπωμεν καὶ πῶς ἐκ τούτων ὁρίζεται. δεῖ οὖν εἰδέναι ὅτι
110 *οἱ τῆς φιλοσοφίας ὅροι ἕξ εἰσι, δύο ἐκ τοῦ ὑποκειμένου καὶ δύο ἐκ τοῦ τέλους, εἷς ἐκ τῆς ὑπεροχῆς καὶ εἷς ἐκ τῆς ἐτυμολογίας. ἡ δὲ τάξις αὐτῶν ἐστιν αὕτη κατὰ σύνθεσιν· πρῶτος ὁ λέγων 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν', δεύτερος ὁ λέγων 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', τρίτος ὁ λέγων 'μελέτη θανάτου', τέ-*
115 *ταρτος ὁ λέγων 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', πέμπτος ὁ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων 'τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν',*

89–94 El. 5, 32–6, 1 ‖ **95–107** 6, 24–7, 2 ‖ **106–107** Hdt. I 65 ‖ **108–111** El. 7, 25–29 ‖ **111–124** El. 8, 7–20

96 *τοῦ συναμφοτέρου* El. ‖ **98** *γνωρίζεται*] *ὁρίζεται* El. ‖ **107** *δίζων* ed. 1532: *δήζων* v[35]: *δίζω* El. ‖ **110** *ὅροι*] *ὁρισμοὶ* El.

ἕκτος ὁ ἐκ τῆς ἐτυμολογίας ὁ λέγων 'φιλία σοφίας'. αὕτη μέν ἐστιν ἡ τάξις τῶν ὁρισμῶν τῆς φιλοσοφίας.

Εἴπωμεν δὲ καὶ τίνες ἐφεῦρον αὐτούς. ἰστέον δὲ ὅτι τὸν ἐκ τῆς ἐτυμολογίας τὸν ἕκτον καὶ τοὺς δύο τοὺς ἐκ τοῦ ὑποκειμένου ὁ Πυθ- 120 *αγόρας εἶπε, τοὺς δὲ δύο τοὺς ἐκ τοῦ τέλους ὁ Πλάτων, τὸν μὲν ἐν Θεαιτήτῳ τὸν λέγοντα 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', τὸν δὲ ἐν Φαίδωνι τὸν λέγοντα 'μελέτη θανάτου', τὸν δὲ ἐκ τῆς ὑπεροχῆς Ἀριστοτέλης.*

Ἐφ' οἷς ἀποροῦσι διὰ τί τοσοῦτοί εἰσι τῆς φιλοσοφίας ὁρισμοὶ καὶ 125 *μήτε πλείους μήτε ἐλάττους. καὶ ἔστιν εἰπεῖν· εἰσί τινα ὑφεστηκότα μέν, μὴ ὀνομαζόμενα δέ, ὡς ἐπὶ τῶν ἐν τῷ βυθῷ ὄντων ἅτινα εἰσὶ μέν, οὐκ ὀνομαζόμενα δὲ διὰ τὸ μὴ γινώσκεσθαι παρ' ἡμῶν. καὶ πάλιν εἰσί τινα ὀνομαζόμενα μέν, μὴ ὑφεστηκότα δέ, ὡς ἐπὶ τοῦ ἱππο-κενταύρου· τοῦτο μὲν ὀνομάζεται, οὐχ ὑφέστηκε δέ. καὶ πάλιν εἰσί* 130 *τινα ὀνομαζόμενα καὶ ὑφεστηκότα, ὡς ὁ ἄνθρωπος καὶ αἱ τέχναι. ἡ φιλοσοφία γοῦν καὶ ὀνομάζεται καὶ ὑφέστηκε καὶ ἐν πρώτοις ἔχει τὴν ὕπαρξιν· πασῶν γὰρ τεχνῶν καὶ ἐπιστημῶν ὑπερέχει καὶ μήτηρ ἐστὶ πασῶν. καὶ ἐπεὶ γὰρ ὀνομάζεται, ἔχει ἐκ τοῦ ὀνόματος τὸν ὅρον τὸν λέγοντα 'φιλοσοφία ἐστὶ φιλία σοφίας', ἐπεὶ δὲ καὶ ἐν πρώτοις ἔχει* 135 *τὴν ὕπαρξιν, ἔχει καὶ ἐκ τῆς ὑπεροχῆς τὸν ὅρον τὸν λέγοντα 'τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'. ἐπεὶ δὲ ὑφέστηκεν, ἔχει καὶ ὑποκεί-μενον, ἔχει καὶ τέλος, καὶ ἑκάτερον τούτων διττόν· ἔχει γὰρ καὶ προσεχὲς ὑποκείμενον, ἔχει καὶ πόρρω ὑποκείμενον. ἀλλ' ἵνα σαφὲς γένηται, γνωρίσεις ἐπὶ τῆς ναυπηγικῆς τὸ προσεχὲς ὑποκείμενον τὰ* 140 *ἁπλῶς ξύλα, πόρρω δὲ ὑποκείμενον τὰ πρὸς τρόπιν ἢ πηδάλιον ἐπιτή-δεια, καὶ πάλιν προσεχὲς μὲν ἔχει τέλος τὸ ποιῆσαι ἁπλῶς ναῦν, πόρρω δὲ τὸ ποιῆσαι τοιάνδε ναῦν, ἢ δρόμονα ἢ λύχνον. οὕτως οὖν καὶ ἡ φιλοσοφία ἔχει καὶ ὑποκείμενον καὶ τέλος, καὶ ἑκάτερον τούτων διττόν, προσεχὲς καὶ πόρρω. προσεχὲς μὲν ὑποκείμενον ἔχει τὰ ἁπλῶς* 145 *ὄντα, πόρρω δὲ ὑποκείμενον τὰ τοιῶσδε ὄντα, οἷον τὰ θεῖα καὶ ἀν-θρώπινα πράγματα. καὶ πάλιν προσεχὲς μὲν τέλος ἔχει τὸ μελετᾶν τὸν θάνατον, πόρρω δὲ τὸ διὰ τούτου ὁμοιοῦσθαι τῷ θεῷ κατὰ τὸ δυ-νατὸν ἀνθρώπῳ.*

117 cf. supra 59–60 || **122** Pl. Tht. 176 b 1–2 || **123** Pl. Phaed. 64 a 4–6 || **123–124** cf. Arist. Met. *A* 1–2 || **125–134** Dav. 21,1–13 || **134–149** 21,21–22,9

124 *Ἀριστοτέλης* ed. 1540: *-τέλους* ed. 1532 v[35] || **125** post *εἰσι* exciderit *οἱ* || **134** *γὰρ*] immo *μὲν* (Dav.) || **143** leg. *δρόμωνα* ?: *δόρκωνα* Dav. || **146** *τοιάδε* Dav.

150 *Ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, φέρε καὶ τοὺς ὅρους αὐτοὺς σαφηνίσωμεν κατὰ λέξιν. ἰστέον δὲ ὅτι ὁ μὲν πρῶτος ὅρος ἐστὶν ὁ ἐκ τοῦ καθόλου ὑποκειμένου λαμβανόμενος καὶ εἰς Πυθαγόραν ἀναγόμενος ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ 'γνῶσις τῶν ὄντων ᾗ ὄντα εἰσί'. καὶ δεῖ γινώσκειν ὅτι ἀντὶ μὲν γένους εἴληπται τὸ 'γνῶσις'. καὶ γὰρ ἡ γνῶσις*
155 *κοινότερόν ἐστιν. ἔστι γὰρ γνῶσις καθολικὴ καὶ γνῶσις μερική, καὶ πάλιν γνῶσις μετ' αἰτίας καὶ γνώσις ἄνευ αἰτίας, ὡς ἡ κατ' ἐμπειρίαν γνῶσις. αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συστατικῶν διαφορῶν λαμβάνονται, διαχωρίζουσαι τὴν φιλοσοφίαν ἀπό τε τῶν τεχνῶν καὶ τῶν ἄλλων. καὶ γὰρ αἱ μὲν ἄλλαι τέχναι καὶ ἐπιστῆμαι οὐ πάντων τῶν ὄντων εἰσὶ*
160 *γνώσεις, ἀλλὰ τινῶν ὄντων, οἷον ἡ ἀστρονομία περὶ μόνους τοὺς ἀστέρας καταγίνεται, ἡ ἰατρικὴ περὶ μόνα τὰ ἀνθρώπινα σώματα καὶ ἡ τεκτονικὴ περὶ μόνα τὰ ξύλα. ἡ φιλοσοφία δὲ περὶ πάντα καταγίνεται καὶ τῶν ὄντων πάντων γνῶσις. διὸ καὶ μετὰ τοῦ ἄρθρου εἶπε 'γνῶσις τῶν ὄντων', ἵνα δηλώσῃ ὅτι πάντων τῶν ὄντων ἐστὶν ἡ φιλοσοφία γνῶ-*
165 *σις καὶ οὐ τινῶν ὄντων. τὸ δὲ 'ᾗ ὄντα' προσέθηκεν, ἵνα δηλώσῃ πῶς γινώσκει ἡ φιλοσοφία πάντα τὰ ὄντα, τουτέστιν οὐ γινώσκει αὐτὰ κατὰ τὸ ποσόν· οὐ γὰρ γινώσκει πόσοι ἄνθρωποί εἰσιν ἢ ἵπποι ἢ λέοντες, ἀλλὰ τὴν φύσιν αὐτῶν γινώσκει. τοῦτο οὖν βούλεται δηλοῦν τὸ 'γνῶσις τῶν ὄντων ᾗ ὄντα εἰσίν', ἀντὶ τοῦ καθό εἰσι καὶ ὅπως*
170 *ἔχουσι φύσεως.*

Ὁ δὲ δεύτερος ὅρος ἐστὶν ὁ ἐκ τοῦ μερικοῦ ὑποκειμένου λαμβανόμενος καὶ εἰς Πυθαγόραν καὶ αὐτὸς ἀναφερόμενος ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'. καὶ ἡ μὲν γνῶσις κἀνταῦθα ἀντὶ γένους εἴληπται, αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συ-
175 *στατικῶν διαφορῶν· καὶ γὰρ ἡ φιλοσοφία περὶ τὰ θεῖά τε καὶ ἀνθρώπινα καταγίνεται πράγματα καὶ οὔτε τῶν θείων καταφρονεῖ διὰ τὸ περὶ τὰ ἀνθρώπινα καταγίνεσθαι οὔτε τῶν ἀνθρωπίνων ὀλιγωρεῖ διὰ τὸ περὶ τὰ θεῖα ἀσχολεῖσθαι, ἀλλὰ τῶν μὲν θείων ἐφίεται ὡς μαθητιῶσα, τὰ δὲ ἀνθρώπινα κοσμεῖ ἐπὶ τὸ τέλειον αὐτὰ ἀνάγουσα. ἑκά-*
180 *τερος δὲ τῶν μνημονευθέντων ὅρων καὶ νικᾷ τὸν ἕτερον καὶ νικᾶται ὑπὸ τοῦ ἑτέρου. ὁ μὲν πρῶτος νικᾷ τὸν δεύτερον ἐν τῇ ἀκριβείᾳ· ἐδήλωσε γὰρ πῶς γινώσκει τὰ ὄντα διὰ τῆς προσθήκης 'ᾗ ὄντα εἰσίν'. ὁ*

151-153 El. 10,11–13 ‖ **153-163** Dav. 27,3–12 ‖ **163-165** 27,31–33 ‖ **165-170** 28,16–21 ‖ **171-173** El. 11,17–19 ‖ **173-179** Dav. 28,26–31 ‖ **179-184** 29,6–10

158 *ἄλλων ἐπιστημῶν* Dav. ‖ **171** tit. *ὅρος β'* habent edd. et **v**[35]

δὲ δεύτερος νικᾷ τὸν πρῶτον ἐν τῇ σαφηνείᾳ διὰ τοῦ εἰπεῖν 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'.

Τρίτος ὅρος ἐστὶν ὁ ἀπὸ τοῦ προσεχοῦς τέλους ὁ λέγων 'φιλοσοφία 185
ἐστὶ μελέτη θανάτου'· οὕτω γὰρ ὁρίζεται αὐτὴν ὁ Πλάτων ἐν τῷ Φαίδωνι, δι' ὧν φησι 'κινδυνεύουσιν ὅσοι ἄλλως ἁπτόμενοι φιλοσοφίας λεληθέναι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους οὐδὲν ἕτερον μελετῶντας ἢ θνήσκειν καὶ τεθνάναι'. θάνατον δὲ τὴν νέκρωσιν τῶν παθῶν ἐκληπτέον. ἀλλὰ ταῦτα μὲν οὕτως. 190

Ἄνεισι δὲ ὁ Πλάτων ἐντεῦθεν καὶ ἐπὶ τὸ πόρρω τῆς φιλοσοφίας τέλος, καὶ οὐχ ἁπλῶς ἐπὶ πόρρω, ἀλλ' ἐπὶ τὸ πορρώτερον καὶ οὗ ἐπέκεινα οὐκ ἔστιν ἀνελθεῖν· ὁρίζεται γὰρ τὴν φιλοσοφίαν 'ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'. οὗ τί μακαριώτερον ἐν τῷ βίῳ τέλος πρέπον; ὅτι δὲ ὁ φιλόσοφος ὅμοιός ἐστι θεῷ, δῆλον ἐντεῦθεν· καὶ γὰρ 195
τρισὶ τὸ θεῖον παρὰ τοῖς ποιηταῖς χαρακτηρίζεται, τῷ ἀγαθῷ, τῷ γνωστικῷ καὶ τῷ δυνατῷ. οὕτω καὶ ὁ τέλειος φιλόσοφος τοῖς τρισὶ τούτοις χαρακτηρίζεται· τῷ μὲν ἀγαθῷ ὅτι, ὥσπερ τὸ θεῖον πάντων προνοεῖται, οὕτω καὶ ὁ τέλειος φιλόσοφος τῶν ἀτελῶν ψυχῶν προνοεῖται, ἐπὶ τὸ τέλειον μετάγων αὐτὰς διὰ τῆς γνώσεως· τῷ δὲ γνωστικῷ ὅτι, 200
ὥσπερ τὸ θεῖον πάντα γινώσκει, οὕτω καὶ ὁ τέλειος φιλόσοφος τὰς αἰτίας πάντων γινώσκειν ἐπαγγέλλεται· τῷ δὲ δυνατῷ ὅτι, ὥσπερ τὸ θεῖον ὅσα βούλεται δύναται, οὕτω καὶ ὁ τέλειος φιλόσοφος ὅσα βούλεται δύναται. ἐφ' οἷς καὶ ὁ τέταρτος ὅρος ἕπεται.

Μετὰ γοῦν τὸν Πλάτωνα καὶ τὸν Πυθαγόραν διχῶς ὁρισαμένους τὴν 205
φιλοσοφίαν ἔρχεται ὁ Σταγειρίτης σοφὸς Ἀριστοτέλης καὶ ὁρίζεται αὐτήν, οὐ μικρόν τι φρονῶν, ἀλλὰ μέγα καὶ ἐπηρμένον φυσῶν, ὡς ἐκ τῆς ὑπεροχῆς αὐτὴν ὁρισάμενος, εἰπὼν 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'. ὥσπερ γὰρ ἄρχοντα ἀρχόντων λέγοντες τὸν βασιλέα δηλοῦμεν, οὕτω καὶ 'τέχνη τεχνῶν' λέγοντες τὴν φιλοσοφίαν 210
νοοῦμεν. πασῶν γὰρ τῶν τεχνῶν ἡ φιλοσοφία τὰς αἰτίας δίδωσι, τὰς ἀρχὰς καθότι ἐπίσταται· ὥσπερ γὰρ ἡ γραμματικὴ οἶδε μὲν ὅτι τὸ η καὶ τὸ ω μέγα μακρά εἰσι, τὰς δὲ αἰτίας τούτων ἀγνοοῦσα τῇ μουσικῇ

185–190 29, 13–20 ‖ **191–195** 34, 14–17 ‖ **195–204** 35, 18–29 ‖ **205–209** 39, 15–21 ‖ **209–214** 39, 26–40, 1

187 *ἄλλως*] *τυγχάνουσιν ὀρθῶς* Dav. ‖ **192** *πορρώτερον*] *πορρωτάτω* Dav. ‖ **193** ante *ὁρίζεται* habent *ὅρος δ'* testes ‖ **194–195** *πρέπον ἀνθρώπῳ τέλος* Dav. ‖ **205** *ὅρος ε'* add. test. | *ὁρισαμένοις* testes: corr. aliquis in ed. 1540 ‖ **207** *φυσῶν*] immo *φρονῶν* (Dav.) ‖ **213** *τὸ* om. **v**[35] | *μουσικῇ* Dav.: *μούσῃ* test.

παραπέμπει· ἡ ἰατρικὴ οἶδεν ὅτι ἐκ τεσσάρων στοιχείων σύγκεινται τὰ
215 *ἀνθρώπινα σώματα, τὴν δὲ αἰτίαν τῷ φυσικῷ φιλοσόφῳ παραπέμπει, καὶ ἑξῆς αἱ ἄλλαι. ὥστε μόνη πασῶν ἡ φιλοσοφία ὑπέρκειται καὶ τὸν τῆς ὑπεροχῆς ὅρον ἐντεῦθεν εἴληφει καλῶς.*

Οὗ δή πως ἱκανῶς τεθεωρουμένου ἀρχὴ καὶ πέρας ἡμῖν ὁ Πυθαγόρας γινέσθω, ἀρχὴ μὲν ὅτι ὁ αὐτοῦ ὅρος ἐν τῇ ἀρχῇ προῆλθεν ὁ λέ-
220 *γων 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', πέρας δὲ διότι κἀνταῦθα πάλιν ὁ αὐτοῦ ὅρος ἐν τῷ πέρατι προῆλθεν ὁ λέγων 'φιλοσοφία ἐστὶ φιλία σοφίας', ἐκ τῆς ἐτυμολογίας ληφθεὶς καὶ τελευταῖος ταχθείς.*

Ἰστέον οὖν ὅτι διὰ τοῦτό ἐστιν ἡ φιλοσοφία, διὰ τὸ κοσμεῖν τὰς
225 *τῶν ἀνθρώπων ψυχὰς καὶ τὰ σώματα καὶ διὰ τὸ ἐκ τοῦ ἀχλυώδους καὶ ὑλώδους τούτου βίου μεταφέρειν τὴν ψυχὴν ἐπὶ τὰ θεῖα καὶ ἄυλα.*

Δειχθέντων τοίνυν ἀρκούντως τῶν τεσσάρων διαιρετικῶν προβλημάτων, τοῦ εἰ ἔστι, φημι, τί ἐστιν, ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστιν – εἴρηται δὲ καὶ περὶ τῶν ἓξ κεφαλαίων τοῦ λόγου – ἄξιον ζητῆσαι αὐτὰ
230 *καὶ ἐπὶ τοῦ παρόντος συγγράμματος. καὶ πρῶτον περὶ τοῦ σκοποῦ διαλάβωμεν. ἰστέον ὅτι ἐνταῦθα σκοπὸν ἔχει ὁ Πορφύριος περὶ τῶν πέντε φωνῶν διαλαβεῖν καὶ πᾶσαν φωνὴν ὑπὸ ταύτας ἀνάξαι τὰς πέντε. ὥσπερ γὰρ ἡ γραμματικὴ τέχνη ἐπενόησε τὰ ὀκτὼ μέρη τοῦ λόγου εἰς ἃ πᾶσα λέξις ἀνάγεται, καὶ ὥσπερ ἡ ῥητορικὴ τὰς δεκα-*
235 *τρεῖς στάσεις ὑφ' ἃς πᾶν πολιτικὸν ἀνάγεται ζήτημα, καὶ ὥσπερ ὁ Ἀριστοτέλης τὰς δέκα κατηγορίας ὑφ' ἃς πάντα τὰ ὄντα ἀνάγεται, οὕτω καὶ πᾶσα φωνὴ ἐπὶ τὴν φιλοσοφίαν οὖσα ὑπὸ τὰς πέντε φωνὰς ταύτας ἀνάγεται· ἢ γὰρ γένος ἐστὶν ἢ εἶδος ἢ διαφορὰ ἢ ἴδιον ἢ συμβεβηκός.*

240 *Ἰστέον δὲ ὅτι τὸ χρήσιμον τοῦ παρόντος συγγράμματος τριττόν ἐστιν· χρησιμεύει γὰρ εἰς τὰς δέκα κατηγορίας τοῦ Ἀριστοτέλους, ἐπειδὴ ἐν αὐταῖς περὶ τῶν γενικωτάτων γενῶν διδάσκοντος ἡμᾶς τοῦ Ἀριστοτέλους ὁ Πορφύριος δείκνυσιν ἡμῖν, τί μέν ἐστι γενικώτατον γένος, τί εἶδος, καὶ τὰ λοιπά. χρησιμεύει καὶ εἰς πᾶσαν τὴν φιλο-*
245 *σοφίαν καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους. εἰς πᾶσαν δὲ τὴν φιλοσοφίαν εἰσὶν αἱ δέκα κατηγορίαι καὶ αἱ πέντε φωναί, ἃς ἡμεῖς σὺν*

214-216 40, 29–31 ‖ **219-223** 45, 27–46, 1 ‖ **224-226** 79, 2–4 ‖ **231-239** 83, 23–30 ‖ **240-245** 87, 3–12 ‖ **245-247** cf. Dav. 87, 23–26; 88, 2–3

221 post *λέγων* add. *ὅρος ς'* test. ‖ **234** *εἰς*] *ὑφ'* Dav. ‖ **237** *ἐπὶ*] *ὑπὸ* Dav. | *οὖσαν* ed. 1532 **v**[35]: corr. ed. 1540 ‖ **246** *εἰσὶν*] excidit ut vid. *εἰσαγωγαὶ* (Dav.)

θεῷ ὑποδείξομεν ἐν συνόψει, καὶ συντετμημένως τὸν λόγον ποιήσομεν, τὸ βαθὺ καὶ πολύλογον παρεάσαντες ἀνακουφίζοντές τε τῆς γνώσεως τὴν ἀσθένειαν.

50

Σύνοψις τῶν πέντε φωνῶν καὶ τῶν δέκα κατηγοριῶν τῆς φιλοσοφίας

Οἱ παλαιοὶ ἰδόντες τὰ ἄτομα ὅτι εἰσὶν ἄπειρα καὶ τὸ πλῆθος, ὅμοια
δέ, ἔταξαν καὶ ὠνόμασαν αὐτὰ ἓν εἶδος, ἤγουν τοὺς κατὰ μέρος ἀν-
θρώπους ἅπαντας ἓν εἶδος ὠνόμασαν ἤτοι τὴν ἀνθρωπείαν φύσιν, κἂν
πολλοί εἰσιν ἄνθρωποι οἱ κατὰ μέρος, οἷον ὁ Πέτρος, ὁ Παῦλος, ὁ 5
Ἰωάννης καὶ οἱ λοιποί, ἀλλ' ἕν εἰσιν εἶδος καὶ κοινῶς καλοῦνται πάν-
τες ἄνθρωποι. τοῦτο οὖν καλεῖται εἶδος εἰδικώτατον, ὡσαύτως καὶ
πάντες οἱ ἵπποι εἶδος καὶ τἆλλα πάντα ὡσαύτως. συναγαγόντες δὲ
πάντα τὰ τοιαῦτα εἴδη, οἷον τὸν ἄνθρωπον, τὸν ἵππον, τὸν κύνα καὶ
τὰ λοιπά, καὶ ἀναγαγόντες ὠνόμασαν αὐτὰ εἰς τὴν τοῦ ζῴου φωνήν, 10
καὶ τὸ ζῷον ὠμόμασαν γένος. ἐπεὶ δὲ τῶν ζῴων αὐτῶν τὸ μέν ἐστι
λογικόν, τὸ δὲ ἄλογον, τὰς τοιαύτας ἐναλλαγὰς ἐκάλεσαν διαφοράς.
θεασάμενοι δὲ καὶ εἰς τὸ καθ' ἓν ἕκαστον τῶν εἰδῶν ἴδιόν τι γεγενη-
μένον, τοῦτο ἐκάλεσαν ἴδιον, οἷον τὸ γελᾶν ἐπ' ἀνθρώπῳ μόνῳ ἐστίν.
ὁρῶντες δὲ ὅτι καί τινα συμπίπτει ἐκ τῶν ἔξωθεν τοῖς ἀτόμοις, ἐκάλε- 15
σαν ταῦτα συμβεβηκότα. εἰσὶν οὖν ἅμα πέντε ἅτινα καὶ φωναὶ ὀνομά-
ζονται, γένος, εἶδος, διαφορά, ἴδιον καὶ συμβεβηκός.

50 ed. 1532 ($\mathbf{v}^{35}$ 99^v–101^r $\mathbf{a}^{10}$ 18^r–24^r) $\mathbf{v}^{44}$ 202^r–203^r; 206^r $\mathbf{b}^{13}$ 139^r–142^r $\mathbf{v}^{43}$ 199^r–203^v ($\mathbf{b}^{13}\mathbf{v}^{43}$ = **β**) ‖ **2** cf. Porph. Isag. 6, 12–13 ‖ **5-10** cf. Ioh. Damasc. Dial. pp. 78–80 (*β'* 152–186)

50 **1** *Σύνοψις – φιλοσοφίας* ed. 1532 $\mathbf{v}^{35}$: *σ. τῶν πέντε φωνῶν καὶ τῶν δέκα κατηγοριῶν εἰς ἃς πᾶς λόγος παρὰ τοῖς φιλοσόφοις ἀνάγεται* $\mathbf{v}^{43}$: *σ. τῶν πέντε φωνῶν* $\mathbf{b}^{13}$: *τοῦ σοφωτάτου καὶ λογιωτάτου μιχαέλου τοῦ ψελλοῦ ἐπιτομὴ περὶ λογικῆς* $\mathbf{v}^{44}$: initio mutilus $\mathbf{a}^{10}$ ‖ **2** *Οἱ – ὅτι*] *ἰδόντες μὲν οἱ φιλόσοφοι ὅτι τὰ ἄτομα* $\mathbf{v}^{44}$ | *καὶ*] leg. *μὲν*? | *τῷ πλήθει* **β** ‖ **3** *δέ* om. **β** ‖ **3** *τοὺς* – **4** *ἅπαντας*] *πάντας τοὺς ἀνθρώπους* **β** | *ἀνθρώπους* om. $\mathbf{v}^{44}$ ‖ **4** *ἀνθρωπίνην* **β** ‖ **5** *οἱ* – **6** *λοιποί* om. **β** ‖ **7** *εἰδικώτατον* **β**: *ἰδ-* ed. 1532 $\mathbf{v}^{35}$ $\mathbf{v}^{44}$ ‖ **8** *εἶδος*] *ἓν εἶδος εἰσὶ* **β** | *δὲ* om. **β** ‖ **9** *τὸν²* – **10** *λοιπά*] *τὸν βοῦν τὸν ἵππον* **β** ‖ **11** *ἐπεὶ – αὐτῶν*] *τῶν δὲ ζώων* **β** ‖ **12** ante *τὰς* add. *καὶ* **β** ‖ **14** *οἷον* – **15** *ὅτι* om. **β** ‖ **15** *καί τινα*] *τὰ δὲ* **β** | *ἐκ τῶν ἔξωθεν* post *ἀτόμοις* trsp. **β** ‖ **16** *ἅμα*] *ἀμφότερα* **β** | *καὶ φωναὶ*] *τῇ φωνῇ* **β**

Ὅρος τούτων καὶ λύσις. ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς ὑποκειμένης οὐσίας τοῦ πράγματος.

20 *Περὶ γένους. γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον τὸ ζῷον γένος ἐστὶ καὶ τέμνεται εἰς δύο εἴδη, ἤγουν εἰς λογικὸν καὶ ἄλογον, καὶ πάλιν τὸ λογικὸν γένος τέμνεται εἰς δύο εἴδη, ἤγουν εἰς θνητὸν καὶ ἀθάνατον. καὶ τὸ θνητὸν γένος ὅπερ ἐστὶν ὁ ἄνθρωπος οὐκ ἔχει τομὴν ἄλλου εἴδους καὶ* 25 *καλεῖται εἶδος εἰδικώτατον. ἰστέον δὲ ὅτι τὰ μὲν ἐπάνω τῶν εἰδῶν λέγονται γένη, τὰ δὲ ὑποκάτω τῶν γενῶν λέγονται εἴδη. τὸ δὲ γένος τριχῶς λέγεται· ἀπὸ τοῦ τεκόντος, ὡς φέρε εἰπεῖν ἀπὸ τοῦ Ἰσραὴλ λέγονται Ἰσραηλῖται· δεύτερον ἀπὸ τῆς πατρίδος, ὥσπερ οἱ ἀπὸ Ἱερουσαλὴμ λέγονται Ἱεροσολυμῖται· τρίτον ὅπερ τέμνεται εἰς εἴδη· περὶ* 30 *τούτου δὲ παρὰ τοῖς φιλοσόφοις ὁ λόγος.*

Περὶ εἴδους. εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον εἶδός ἐστιν ὁ ἄνθρωπος καὶ τέμνεται εἰς Πέτρον, Παῦλον, Ἰωάννην καὶ τοὺς λοιποὺς κατὰ μέρος ἀνθρώπους, οἵτινες τῷ ἀριθμῷ διαφέρουσι. καλεῖται δὲ ὁ καθ' 35 *ἕκαστα ἄνθρωπος ἄτομον καὶ πρόσωπον καὶ ὑπόστασις, οἷον σὺ ὁ βασιλεὺς Ἰωάννης ἄτομον εἷς ἢ πρόσωπον ἢ ὑπόστασις, ὡσαύτως κἀγὼ κἀκεῖνος καὶ πάντες οἱ κατὰ μέρος ἄνθρωποι. τὸ δὲ εἶδος διχῶς λέγομεν, τὴν μορφὴν τοῦ καθ' ἕκαστα ἀνθρώπου, ὥσπερ ὅταν εἴποι τις 'πρῶτον εἶδος ἄξιον τυραννίδος', καὶ ὅπερ τέμνεται ἐκ τοῦ γένους,* 40 *καθὼς εἴρηται. περὶ τούτου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος.*

Περὶ διαφορᾶς. διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον, οἷον διαφέρει τὸ λογικὸν καὶ τὸ ἄλογον καθὸ τὸ μὲν λογικὸν ἔχει λόγον, τὸ δὲ ἄλογον οὐκ

18–19 cf. p. 69 (*η'* 2–3) ‖ **20–21** Porph. 2, 15–16; Ioh. Damasc. p. 62 (*ε'* 99–100) ‖ **24–26** cf. Ioh. Damasc. p. 79 (*β'/ι'* 171–182) ‖ **26–30** pp. 74–75 (*β'* 17–29) ‖ **31–32** Porph. 4, 11–12; Ioh. Damasc. e. g. p. 62 (*ε'* 102–103); p. 74 (*β'* 9–10) ‖ **34–35** e. g. p. 61 (*ε'* 67); p. 94 (*ια'* 28–29) ‖ **37–39** p. 74 (*β'* 4–6) ‖ **39** Eur. fr. 15, 2 N.[2] ‖ **39–40** cf. Ioh. Damasc. p. 75 (*β'* 37–44) ‖ **41–42** Porph. 11, 7–8; Ioh. Damasc. e. g. p. 63 (*ε'* 103–104); p. 89 (*ιθ'* 7–9)

18–19 om. **β** ‖ **20** *Περὶ γένους* **γ**: mg. **v**[43]: om. **b**[13] | post *γένος* add. *οὖν* **v**[44] ‖ **25** *εἰδικώτατον* **β**: *ἰδ-* **γ** | *δὲ* om. **β** | *μὲν* om. **β** ‖ **27** ad *τεκόντος* des. **v**[44] | *φέρε εἰπεῖν* om. **β** | *λέγονται* om. **β** ‖ **28** *δεύτερον* om. **β** | *ὥσπερ οἱ*] *ὡς* **β** ‖ **29** *λέγονται* om. **β** | *τρίτον ὅπερ*] *τὸ τρίτον ὅτι* **β** | post *εἴδη* add. *ἄνθρωπον, ἵππον καὶ τὰ λοιπά* **b**[13], *ἤγουν ἄνθρωπον, ἵππον καὶ τὰ ὅμοια* **v**[43] ‖ **31** *Περὶ εἴδους* **γ**: mg. **v**[43]: om. **b**[13] ‖ **33** *Ἰωάννην* om. **β** ‖ **33–34** *κατὰ μέρος ἀνθρώπους* om. **β** ‖ **35** *οἷον* – **37** *ἄνθρωποι* om. **β** ‖ **41** *Περὶ διαφορᾶς* **γ**: mg. **v**[43]: om. **b**[13]

ἔχει. καὶ ἄλλως διαφέρομεν ἀλλήλων οἱ ἄνθρωποι κατὰ τὰ χαρακτηριστικὰ ἰδιώματα, ὡς φέρε εἰπεῖν 'ἡ βασιλεία σού ἐστι λευκός, φοινικοπάρειος, εὐπώγων, εὐόφθαλμος, ἐγὼ δέ εἰμι ὠχρός, δασυπώγων, μικρόφθαλμος'. καὶ λοιπὸν διαφέρομεν ἀλλήλων κατὰ τὰ χαρακτηριστικὰ ἰδιώματα τῶν προσώπων, καὶ αὕτη ἐστὶν ἡ διαφορά. διαφέρομεν δὲ καὶ ἄλλως, ὅπερ κοινόν ἐστιν ἐμοί τε καὶ σοὶ καὶ παντὶ τῷ εἴδει. ἔστιν οὖν ἡ διαφορὰ τριττή, κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα. κοινῶς μὲν οἷον 'δύναμαι ἐγὼ καθῆσθαι καὶ σὺ ἵστασθαι καὶ αὖθις ἐγὼ ἵστασθαι καὶ σὺ καθῆσθαι'. κοινὸν δὲ ἄρα καὶ ἐμοὶ καὶ σοὶ καὶ πᾶσιν ἀνθρώποις τὸ καθῆσθαι, τὸ ἵστασθαι, τὸ γρηγορεῖν, καὶ ὅπερ ἐγὼ ποιῶ δύνασαι καὶ σὺ ποιεῖν καὶ ὅπερ σὺ ποιεῖς δύναμαι καὶ ἐγὼ ποιεῖν. ἡ δὲ ἰδίως διαφορὰ οὐκ ἔστιν ἐμοὶ καὶ σοὶ καὶ πᾶσιν ἀνθρώποις, ἀλλ' 'ὅπερ ἔχω ἐγώ, σὺ οὐκ ἔχεις'. καὶ αὕτη ἐστὶν ἡ ἰδίως διαφορά. ἡ δὲ ἰδιαίτατος διαφορὰ διαφέρει κατὰ τὰ εἴδη· ἄλλο γὰρ ἄνθρωπος καὶ ἄλλο ἵππος καὶ ἄλλο βοῦς.

Περὶ ἰδίου. ἴδιον δέ ἐστιν ὃ οὐκ ἐπ' ἄλλῳ τινί ἐστι τὸ τοιοῦτον, οἷον ἴδιον ἀνθρώπῳ τὸ γελᾶν, ἐπ' ἄλλῳ δὲ ζῴῳ γελᾶν οὐχ εὑρήσεις· ἴδιον ἀνθρώπῳ τὸ πολιοῦσθαι, ἐπ' ἄλλῳ δὲ ζῴῳ γηρῶντι οὐκ ἔστι τὸ πολιοῦσθαι· ἴδιον ἵππῳ τὸ χρεμετίζειν, ἐπ' ἄλλῳ δὲ ζῴῳ οὐκ ἔστι τὸ χρεμετίζειν· ἴδιον ὄνῳ τὸ ὀγκᾶσθαι, καὶ ἁπλῶς ὅπερ οὐ παντὶ ἴδιόν ἐστιν.

Περὶ συμβεβηκότος. συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, οἷον ὑποκείμενόν ἐστι τοῦ ἀνθρώπου τὸ σῶμα, συμβεβηκὸς δὲ ὁ πυρετός· γίνεται γὰρ καὶ πάλιν ἀπογίνεται καὶ τὸ σῶμα οὐ φθείρεται. καὶ πάλιν συμβεβηκός ἐστι πᾶν ὅπερ ἐν τῇ οὐσίᾳ θεωρεῖται καὶ μὴ καθ' ἑαυτὸ ὑφιστάμενον, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὸ εἶναι, ὅ ἐστι τὸ χρῶμα ἐν τῷ σώματι καὶ ἡ φρόνησις ἐν

44 sq. *χαρακ. ἰδιώματα*] cf. e. g. p. 95 (*ια'* 33) || 50 Porph. 8, 8; Ioh. Damasc. p. 82 (*δ'* 11) || 60–63 cf. Porph. 12, 16–20; Ioh. Damasc. p. 84 (*ς'* 7–12) || 65–66 Porph. 12, 24–25; Ioh. Damasc. p. 82 (*ε'* 2–3) || 68–70 cf. p. 108 (*κς'* 9–11) || 70–72 cf. p. 58 (*α'* 18–31)

44 *ἀλλήλων*] *-ως* **β** || 45 *φέρε – σού*] *ἄλλος* **β** | *φοινικοπάρειος* – 49 *εἴδει*] *ἄλλος μέλας* $\mathbf{v}^{43}$ || 46 *εὐόφθαλμος* – 49 *εἴδει*] *ἄλλος μέλας ὠχρός* $\mathbf{b}^{13}$ || 47 *ἀλλήλων* ed. 1532 $\mathbf{a}^{10}$: om. $\mathbf{v}^{35}$ || 50 *τε* om. **β** | post *μὲν* add. *ἐστιν* **β** || 51 *οἷον* – 53 *καὶ* om. **β** || 52 et 53 *καθεῖσθαι* **γ**: correxi || 54 post *ποιεῖν*^{2} add. *ἤγουν τὸ καθεῖσθαι* (*κεῖσθαι* $\mathbf{v}^{43}$), *τὸ ἵστασθαι, τὸ γρηγορεῖν, τὸ ὑπνεῖν* **β** || 55 *καὶ πᾶσιν ἀνθρώποις* om. **β** || 56 *καὶ – διαφορά* om. **β** || 58 *καὶ ἄλλο βοῦς* om. **β** || 59 *Περὶ ἰδίου* **γ**: mg. $\mathbf{v}^{43}$: om. $\mathbf{b}^{13}$ | *τὸ τοιοῦτον* om. **β** || 63 post *παντὶ* add. *ἐστιν* **β** || 65 *Περὶ συμβ.* **γ**: mg. $\mathbf{v}^{43}$: om. $\mathbf{b}^{13}$

τῇ ψυχῇ. τοίνυν ἐν τῇ τοῦ σώματος οὐσίᾳ θεωρεῖται τὸ χρῶμα καὶ ἐν τῇ τῆς ψυχῆς οὐσίᾳ ἡ φρόνησις, ἅτινά εἰσι συμβεβηκότα. καὶ ἐπὶ τοῖς λοιποῖς ὁμοίως οὕτως ἔχει.

Σύνοψις τῶν δέκα κατηγοριῶν

75 *Οἱ παλαιοὶ ἰδόντες τὰ ἐκ φύσεως πράγματα ὅτι τὰ μέν εἰσιν αὐθύπαρκτα, τὰ δὲ ἐν ἑτέροις τὸ εἶναι ἔχοντα, ὠνόμασαν τὰ μὲν αὐθύπαρκτα οὐσίας, τὰ δὲ ἐν ἑτέροις τὸ εἶναι ἔχοντα ποσόν, ποιόν, πρός τι, ποιεῖν, πάσχειν, ποῦ, πότε, κεῖσθαι, ἔχειν. ἰστέον δὲ ὅτι αὗται αἱ δέκα κατηγορίαι λέγονται καὶ γενικώτατα γένη, ὑφ' ἃς ἀναφέρεται*
80 *πᾶσα φωνὴ ἁπλῶς λεγομένη.*

Περὶ οὐσίας. οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, οἷον λίθος. αὕτη γοῦν ἡ οὐσία τέμνεται εἰς σῶμα καὶ ἀσώματον, καθὼς ὁ ὅρος τῆς οὐσίας ὑποδεικνύει.

Περὶ ποσοῦ. ποσόν ἐστι σωρεία μονάδων ἤγουν συνάφεια. διαιρεῖται
85 *δὲ τὸ ποσὸν εἰς τὸ συνεχὲς καὶ διωρισμένον ἤτοι κεχωρισμένον. συνεχὲς δὲ λέγομεν τὸ μακρόν, τὸ κοντόν, τὸ πλατὺ καὶ τὰ τοιαῦτα, διωρισμένον δὲ ἐπὶ ἀριθμοῦ, οἷον ἕν, δύο, τρία καὶ ἑξῆς.*

Περὶ ποιοῦ. ποιότης δὲ δύναμις ἀόρατος ἐν αἰσθήσει γνωριζομένη, ἕξις καὶ διάθεσις, σχῆμα καὶ μορφή, πάθος καὶ παθητικὴ ποιότης, δύ-
90 *ναμις καὶ ἀδυναμία. ποιότητες δὲ λέγονται ἡ θερμότης, ἡ ψυχρότης, ἡ ξηρότης, ἡ ὑγρότης, αἳ καὶ ἁπταί εἰσι· ποιότητές εἰσι καὶ τὰ χρώματα, ἡ λευκότης, ἡ μελανότης καὶ τὰ τοιαῦτα, αἵτινές εἰσιν ὁραταί· ποιότητες λέγονται καὶ ἡ βαρύτης, ἡ κουφότης καὶ τὰ τοιαῦτα· ποιότητές εἰσι καὶ αἱ ἐπιστῆμαι καὶ τέχναι πᾶσαι, οἷον φιλοσοφία, ἰα-*
95 *τρική, γραμματικὴ καὶ τὰ τοιαῦτα· ποιότητες δὲ λέγονται καὶ αἱ ἀρεταὶ καὶ αἱ κακίαι καὶ αἱ διαθέσεις πᾶσαι.*

Περὶ τῶν πρός τι. πρός τί εἰσιν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον, οἷον ὁ πατὴρ πρὸς υἱὸν λέγεται πατὴρ καὶ ὁ υἱὸς πρὸς πατέρα λέγεται υἱός, καὶ ἀδελφὸς πρὸς

78–79 cf. p. 104 (*κ'* 13–14) ‖ **81–82** e.g. pp. 57–58 (*α'* 6–8) ‖ **82–83** cf. p. 111 (*λ'* 5–6) ‖ **84** p. 114 (*λγ'* 2–5); cf. p. 155 (⟨*γ'*⟩ 2–3) ‖ **84–85** cf. p. 114 (*λγ'* 10–11) ‖ **89–96** cf. p. 119 (*λε'* 12–21) ‖ **97–98** Arist. Cat. 6 a 36–37 ‖ **99–100** cf. Ioh. Damasc. p. 117 (*λδ'* 2–4)

74 *Σύνοψις*] *Περὶ* **β** ‖ **81** *Περὶ οὐσίας*] *λύσις ᾱ* **v**[43]: om. **b**[13] ‖ **84** *Περὶ ποσοῦ* om. **β** ‖ **85** *ἤτοι*] *ἤγουν* **β** ‖ **88** *Περὶ ποιοῦ* om. **β** | *δὲ*] *δέ ἐστι* **v**[43]: *ἐστι* **b**[13] | post *δύναμις* fort. excid. *ὁρατὴ ἢ* monet Wk. ‖ **95** *δὲ* om. **β** ‖ **97** *Περὶ τῶν πρός τι* om. **β** ‖ **98** *ἄλλως* Arist.: *ἄλλο* codd.

ἀδελφὸν λέγεται ἀδελφός, καὶ διδάσκαλος πρὸς μαθητὴν λέγεται διδά- 100
σκαλος καὶ μαθητὴς πρὸς διδάσκαλον λέγεται μαθητής, καὶ ὁ φίλος
πρὸς φίλον λέγεται φίλος, καὶ μέγα πρὸς μικρὸν λέγεται μέγα, καὶ
ἁπλῶς ταῦτα καὶ τὰ τοιαῦτα πρός τι λέγονται.
Περὶ τοῦ ποιεῖν. ποιεῖν ἐστι τὸ ἐργάζεσθαι καὶ ἐνεργεῖν, ὡς τὸ τρέ-
χειν, καίειν, γράφειν. 105
Περὶ τοῦ πάσχειν. πάσχειν ἐστὶ τὸ ὑφ' ἑτέρου πανθάνειν, ὡς τὸ
καίεσθαι, τέμνεσθαι, τύπτεσθαι.
Περὶ τοῦ ποῦ. ποῦ λέγεται τόπος ἐν ᾧ κατοικεῖς, ὡς τὸ ἐν Δα-
μασκῷ ἢ ἐν Κρήτῃ· τοῦτο γὰρ τόπου ἐστὶ δηλωτικόν.
Περὶ τοῦ πότε. πότε ἐστὶ χρόνου σημαντικόν, οἷον πέρυσι, σήμερον, 110
αὔριον· τοῦτο γὰρ χρόνου ἐστὶ δηλωτικόν.
Περὶ τοῦ κεῖσθαι. κεῖσθαι δέ ἐστι τὸ πως εἶναι καὶ ποιοῦ σχήματος,
οἷον τὸ καθῆσθαι, τὸ ἵστασθαι, τὸ ἀνακλίνεσθαι· οὐ δηλοῖ δὲ τὸ κεῖ-
σθαι οὐδὲ τὸν κείμενον οὐδὲ τὸν τόπον, ἀλλ' αὐτὴν τὴν διάθεσιν τοῦ
κειμένου πρὸς τὸν τόπον. 115
Περὶ τοῦ ἔχειν. ἔχειν ἐστὶ τὸ κεκτῆσθαί τι τῶν ὄντων, οἷον ἔχειν
χρυσὸν ἢ ἐπιστήμην. δηλοῖ δὲ τὸ ἔχειν τὸ περιέχειν ἢ περιέχεσθαι. λέ-
γεται δὲ πάλιν τὸ ἔχειν καὶ κατὰ πολλῶν ἑτέρων σημαινομένων
ὁμωνύμως. λέγεται δὲ πάλιν τὸ ἔχειν κατὰ τρόπους ὀκτώ, ὡς τὸ ἔχειν
ὁ κοιτὼν ὅπλα, ἔχειν ἐπιστήμην, ἔχειν τὸ ξύλον μέγεθος τρίπηχυ, 120
ἔχειν χιτῶνα, ἔχειν δακτύλιον ἐν δακτύλῳ, ἔχειν τὸ κεράμιον ὕδωρ,
ἔχειν κτῆμα, οἰκίαν, γυναῖκα· ταῦτα γὰρ πάντα εἰς διαθέσεις δύο λαμ-
βάνονται ἢ εἰς τὸ περιέχειν αὐτὰ ἢ εἰς τὸ περιέχεσθαι ὑπ' αὐτῶν.

51

Περὶ τῶν πέντε φωνῶν

Μέλλοντες περὶ τῶν πέντε φωνῶν διεξελθεῖν πρῶτον εἴπωμεν διὰ τί
πέντε φωνὰς ταύτας καὶ οὐ πλείους ἐκάλεσεν· ὅτι ἡ καθόλου σημαν-

100–102 cf. p. 118 (*λδ'* 24–26) ‖ **110–111** p. 124 (*λθ'* 2–5) ‖ **113** cf. p. 124 (*λζ'* 4–5) ‖ **113–115** *λζ'* 7–8 ‖ **117** p. 125 (*μ'* 2) ‖ **119–122** cf. p. 131 (*μϛ'* 2–9)
51 b[8] 5[r]–13[v] (**g** 7[v]–22[r]) ‖ **1–11** cf. Ioh. Damasc. Dial. pp. 60–62 (*ε'* 1–93)

104 *Περὶ τοῦ ποιεῖν* om. **β** ‖ **106** *Περὶ τοῦ πάσχειν* om. **β** ‖ **108** *Περὶ τοῦ ποῦ* om. **β** | *κατοικεῖς*] *κατηγορεῖς* **β** ‖ **110** *Περὶ τοῦ πότε* om. **β** ‖ **112** *Περὶ τοῦ κεῖσθαι* om. **β** ‖ **113** *καθεῖσθαι* testes: correxi ‖ **116** *Περὶ τοῦ ἔχειν* om. **β**
51 3 *ὅτι*] cf. 271

τικὴ καὶ ἔναρθρος φωνὴ ἢ οὐσιώδης ἐστὶν ἢ ἐπουσιώδης· καὶ εἰ μὲν
5 *οὐσιώδης, ἢ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται καὶ ποιεῖ τὴν διαφορὰν ἢ ἐν τῷ τί ἐστι· καὶ εἰ ἐν τῷ τί ἐστιν, ἢ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει καὶ ποιεῖ τὸ γένος, οἷον τὸ ζῷον, ἢ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ καὶ ποιεῖ τὸ εἶδος, οἷον τὸν ἄνθρωπον· εἰ δὲ ἐπουσιώδης ἐστὶν ἡ φωνὴ ἤγουν ἐπὶ τῇ οὐσίᾳ θεωρουμένη, ἢ ⟨ἐν⟩*
10 *ἑνὶ εἴδει θεωρεῖται καὶ ποιεῖ τὸ ἴδιον, οἷον τὸ γελαστικόν, ἢ ἐν πολλοῖς καὶ ποιεῖ τὸ συμβεβηκός, οἷον τὸ λευκόν, τὸ μέλαν.*

(Figura I v. ad fin. tom.)

Τὸ γένος λέγεται πολλαχῶς· τὸ ἀπό τε τῆς πατρίδος, τὸ ἀπὸ τοῦ τεκόντος, ὧν γε ἑκάτερον διχῶς, προσεχὲς καὶ πόρρω. καὶ προσεχὲς μὲν τὸ ἀπὸ τῆς πατρίδος Βυζάντιος· ἐν αὐτῇ γὰρ γεγέννηται· πόρρω
15 *δὲ Ἱεροσολυμίτης· ταύτῃ γὰρ ἀνατέθραπταί τε καὶ ηὔξηται. πάλιν δὲ ἀπὸ τοῦ τεκόντος προσεχὲς καὶ πόρρω· προσεχὲς μὲν ὁ πατήρ, πόρρω δὲ ὁ πάππος. τοῦτο δεύτερον σημαινόμενον τοῦ γένους, ὃ καὶ τριχῶς λέγεται· ἑνὸς πρὸς πολλούς, οἷον ὁ Ἰσραὴλ πρὸς τοὺς ἐξ αὐτοῦ Ἰσραηλίτας· πολλῶν πρὸς ἕνα, ὡς Ἰσραηλῖται πρὸς τὸν Ἰσραήλ· πρὸς ἐκεῖ-*
20 *νον γὰρ ὁρῶσιν ἀφ' οὗ καὶ γεγέννηνται· πολλῶν πρὸς πολλούς, ὡς Ἰσραηλῖται πρὸς ἀλλήλους. τρίτον δὲ ᾧ ὑποτάσσεται τὸ εἶδος περὶ οὗ τοῖς φιλοσόφοις ὁ λόγος, οἷον τὸ ζῷον· ὑπ' αὐτὸ γάρ εἰσιν ὁ ἄνθρωπος καὶ ὁ ἵππος καὶ τὰ λοιπά. γένος δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον τὸ*
25 *ζῷον· λέγεται γὰρ κατὰ πολλῶν, κατά τε ἀνθρώπου καὶ ἵππου καὶ βοὸς καὶ ὄρνιθος καὶ τῶν λοιπῶν. διαφέρει δὲ τῷ εἴδει· ἄλλο γὰρ εἶδος ἀνθρώπου καὶ ἄλλο βοός. γένος δὲ κέκληται ὡς τοῖς ὑφ' ἑαυτὸ πᾶσι τὴν οἰκείαν κλῆσιν παρέχον καὶ ἀπ' αὐτοῦ τὸν ὀνομασμὸν μετεχομένοις ἢ ὡς τὰ ὑφ' αὐτὸ ἐντεῦθεν τὴν γένεσιν ἐσχηκότα καὶ τὴν*
30 *ὕπαρξιν καὶ τὸν ὀνομασμὸν μετειληφότα· ὁ γὰρ ἄνθρωπος καὶ ὁ βοῦς καὶ ὁ ὄρνις ἀπὸ τοῦ τῆς ζωότητος ὀνόματος τὸ ζῷα κατωνομάσθαι κεκληρονομήκασι. προτέτακται δὲ τῶν λοιπῶν ὡς καθολικώτερον καὶ οὐσιῶδες, καθολικώτερον εἴδους καὶ διαφορᾶς, οὐσιῶδες ἰδίου καὶ*

12–27 pp. 72–73 (ϑ' 9–29) || **23–24** Arist. Top. 102 a 31–32; Porph. Isag. 2, 15–17 || **32–35** cf. Ioh. Damasc. Dial. p. 73 (ϑ' 36–44)

9 *ἐν* supplevi || **11** figuras in paginis ad fin. tom. adhaesis invenies; apparat. p. 306 || **12** *πολλαχῶς*] *τριχῶς* mg. pr. man. **b**[8] (cf. 17) || **20** *γεγένηνται* **b**[8]: correxi || **27** *ἑαυτῷ* **b**[8]: correxi

συμβεβηκότος. οὐσιῶδες δὲ εἴρηται ὡς τῇ οὐσίᾳ συνόν τε καὶ ἀναφαινόμενον· ἄνευ γὰρ οὐσίας οὔτε ἴδιον οὔτε συμβεβηκὸς ὑφίσταται. 35

Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθὸ λέγομεν ὅτι 'ἔχει εἶδος ἄξιον τυραννίδος'. ἔχει δὲ καὶ ἐν ἑαυτῷ τρεῖς ὑπογραφάς. πρῶτον μὲν εἶδός ἐστι τὸ ταττόμενον ὑπὸ τὸ γένος, δεύτερον οὗ κατηγορεῖται τὸ γένος ἐν τῷ τί ἐστι, τρίτον τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι καὶ αὐτὸ κατηγορούμενον. ἀλλ' αἱ 40 *μὲν πρῶται δύο κατὰ τὴν σχέσιν μόνον διαφέρουσιν ὡς ἀνάβασις καὶ κατάβασις καὶ ἁρμόζουσιν ἐπὶ παντὸς εἴδους ὑπαλλήλου, ἡ δὲ τρίτη ἐπὶ μόνου τοῦ εἰδικωτάτου· λαμβάνει γὰρ τὴν κυριωτάτην τῶν κατηγοριῶν, φημὶ δὴ τὴν οὐσίαν, ᾗ γένος γενικώτατόν ἐστι διὰ τὸ μὴ πρὸ αὐτῆς ἕτερόν τι γένος εὑρίσκεσθαι, καὶ διαιρεῖ ταύτην εἰς σῶμα* 45 *καὶ ἀσώματον, πάλιν τὸ σῶμα εἰς ἔμψυχον καὶ ἄψυχον, αὖθις δὲ τὸ ἔμψυχον εἰς ζῷον καὶ ζωόφυτον καὶ φυτόν, τὸ δὲ ζῷον εἰς λογικὸν καὶ ἄλογον· ὑπὸ δὲ τὸ λογικὸν ὁ ἄνθρωπος, ὃ δὴ καὶ εἰδικώτατον εἶδος ὠνόμασται διὰ τὸ μὴ εἴδη περιέχειν ὑφ' ἑαυτό, ἀλλ' ἄτομα οἷον Πέτρον, Παῦλον, Ἰωάννην· ὥσπερ γὰρ τὸ γένος τὸ μὴ ὂν εἶδος γένος* 50 *γενικώτατον ὀνομάζεται διὰ τὸ μὴ ὑπεραναβεβηκὸς γένος κεκτῆσθαι, οὕτω δὴ καὶ τὸ εἰδικώτατον εἶδος διὰ τὸ μὴ ὑφ' ἑαυτὸ εἴδη περιέχειν, ἀλλ' ἄτομα, τούτῳ δὴ τῷ ὀνόματι ἐχρήσατο. ἔταξε δὲ τὸ εἶδος δεύτερον, ὡς μνησθεὶς τούτου ἐν τῇ τοῦ γένους διδασκαλίᾳ· ὥσπερ γὰρ περὶ πατρὸς διαλέγοντες ἐξ ἀνάγκης καὶ υἱοῦ μνημονεύομεν – ἐκτὸς* 55 *γὰρ πατρὸς υἱὸς οὐκ ἔστι καὶ χωρὶς υἱοῦ πατὴρ οὐκ εἰσακούεταί τις –, οὕτω δὴ καὶ ἐνταῦθα περὶ τοῦ εἴδους διαλαβόντες ἀδύνατον μὴ καὶ τοῦ γένους μνημονεῦσαι καὶ τὸ γένος ὑπεξιόντες μὴ καὶ τὸ εἶδος περιειληφέναι· ἄνευ γὰρ γένους εἴδη οὐ διαιροῦνται καὶ χωρὶς εἰδῶν γένος οὐχ ὑφίσταται.* 60

(Figurae II, III, IV v. ad fin. tom.)

Τρία δὲ παραδίδωσι σημαινόμενα τῆς διαφορᾶς, κοινῶς, ἰδίως καὶ ἰδιαίτατα. κοινῶς μὲν οὖν διαφέρει ἕκαστον ἑκάστου, ὅταν κατὰ τὸ

36–43 p. 74 (*β'/ι'* 5–14) || 37 v. ad op. 50,39 || 39–40 Porph. Isag. 4,11–12 || 44–50 cf. Ioh. Damasc. p. 78 (*ι'* 136–153) || 52–53 p. 79 (*ι'* 172–182) || 53–60 p. 75 (*β'/ι'* 45–55) || 61–70 cf. Porph. Isag. 8,8–17

42 *εἴδους* Ioh. D.: *γένους* **b**[8] || 52 *ἑαυτῶ* **b**[8]: correxi || 58 *γένους* scripsi: *εἴδους* **b**[8] | *γένος* scripsi: *εἶδος* **b**[8]

χωριστὸν συμβεβηκὸς τῇ ἑτερότητι ὁπωσοῦν διαλλάττῃ ἢ πρὸς αὐτὸ ἢ πρὸς ἄλλο. Σωκράτης μὲν γὰρ Πλάτωνος τῇ ἑτερότητι διενήνοχεν,
65 *ὅταν ὁ μὲν γράφῃ, ὁ δὲ ἀναγινώσκῃ, ἀλλὰ καὶ αὐτὸς ἑαυτοῦ διαφέρει παιδός τε ὄντος καὶ ἀνδρωθέντος, καί ποτε μὲν καθεζομένου, ποτὲ δὲ ἀνισταμένου, καὶ ἄλλοτε μὲν καθεύδοντος, ἄλλοτε δὲ ἀφυπνώττοντος. ἰδίως δέ, ὅταν ἀχωρίστῳ συμβεβηκότι ἕκαστον διαλλάττῃ, οἷον γρυπότης, σιμότης καὶ οὐλὴ ἐκ τραύματος ἐνσκιρρωθεῖσα. ἰδιαίτατα δέ,*
70 *ὅταν εἰδοποιῷ διαφορᾷ διενήνοχεν, ὡς τὸ λογικὸν τῷ ἀλόγῳ. τῶν οὖν διαφορῶν αἱ μὲν ἄλλο ποιοῦσαι οὐσιώδεις διαφοραὶ κέκληνται, αἱ δὲ ἄλλο ἐπουσιώδεις, ὡς αἱ τὸ χωριστὸν καὶ ἀχώριστον συμβεβηκὸς διαπραττόμεναι. ὁρίζεται δὲ τὴν διαφορὰν εἴτουν ὑπογράφει οὕτως· 'διαφορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους'. τὸ γὰρ ζῷον ὁρίζοντες*
75 *λέγομεν 'οὐσία ἔμψυχος, αἰσθητική', ὅπερ ἐστὶ γένος. τὸ δὲ εἶδος ὅπερ ἐστὶν ὁ ἄνθρωπος οὕτως ὁρίζομεν· 'ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν', ἢ καὶ οὕτως· 'οὐσία ἔμψυχος, αἰσθητική, λογική, θνητή'. περιττεύει οὖν ὁ ἄνθρωπος τῷ λογικῷ καὶ τῷ θνητῷ. δευτέρα δὲ ὑπογραφὴ ταύτης 'τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν*
80 *τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον'. ἐρωτώμενοι γὰρ τί ἐστιν ἄνθρωπος λέγομεν ζῷον· ὁποῖόν τι ζῷον, λέγομεν ὅτι λογικόν. ἐπεισελθοῦσα γὰρ ἡ διαφορὰ ἐχώρισε τὸ εἶδος ἀπὸ τῶν ἀλόγων καὶ ὥσπερ τι εἰδοποίησε τὸ λεγόμενον καὶ διεχώρισεν ἀπὸ τῶν μὴ τοιούτων καθάπερ τὸ εἶδος ἀπὸ τῆς ὕλης· ἡ μὲν γὰρ ὕλη πᾶσιν ἡ αὐτὴ ὑπόκειται οἷον τοῦ ξύλου,*
85 *ἐπεισιὸν δὲ τὸ εἶδος ἐγνωριμοποίησεν ἢ εἰς θῶκον ἢ εἰς σκάμνον ἢ εἰς τράπεζαν. τρίτη ὑπογραφὴ διαφορᾶς ἡ λέγουσα 'διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος'. ἄνθρωπος γὰρ καὶ ἵππος ὑπὸ τὸ αὐτὸ γένος τυγχάνοντες διαφέρουσι κατὰ τὴν λογικότητα καὶ ἀλογίαν, ὥσπερ καὶ ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος ὑπὸ τὸ αὐτὸ ζῷον τυγχά-*
90 *νοντες διαφέρουσι κατὰ τὴν θνητότητα καὶ ἀθανασίαν. τετάρτη ὑπογραφὴ τῆς διαφορᾶς αὕτη· 'διαφορά ἐστι καθ' ἣν διαφέρουσι τὰ καθέκαστα'· Σωκράτης, βοῦς καὶ ἡ μέλισσα διαφέρουσι κατά τε τὴν λογικότητα καὶ ἀλογίαν. καὶ τῆς μὲν διαφορᾶς ὑπογραφαὶ τοσαῦται. δεῖ δὲ εἰδέναι ὡς τὰ αὐτὰ δηλοῦσιν αἱ τῆς τρίτης καὶ τῆς τετάρτης*
95 *διαφορᾶς ὑπογραφαί, διαλλάττουσι δὲ κατὰ τὴν τῶν λέξεων σημασίαν,*

70–72 cf. Ioh. Damasc. p. 88 (*θ'/ιη'* 63–65); Porph. Isag. 8,19–21 ‖ 73–74 Porph. 10, 22–11,1 ‖ 78 11,1 ‖ 78–81 11,7–12 ‖ 84 11,12–14 ‖ 86–90 11,18–12,1 ‖ 90–93 11, 21–24

68 *διαλάττῃ* **b**[8] ‖ 69 *ἐσκιρρωθεῖσα* **b**[8]: sec. Porph. correxi ‖ 92 *σωκράτους* **b**[8]: correxi ‖ 94 *τετάρτης* scripsi: *δευτέρας* **b**[8]

ὡς ἐκείνη μὲν διαιρεῖ ταῖς εἰδοποιοῖς διαφοραῖς τὰ ὑπὸ τὸ αὐτὸ γένος, αὕτη δὲ διαφορὰν ἐμποιεῖ τοῖς καθέκαστα, ἅπερ μίαν διαφορὰν τῷ μεμυσταγωγημένῳ ἀνακαλύπτουσιν.

(Figurae V, VI v. ad fin. tom.)

Τὸ δὲ ἴδιον διαιρεῖται τετραχῶς. πρῶτον μὲν ὃ μόνῳ μέν, οὐ παντὶ δὲ ὑπάρχει, ὥσπερ τὸ γεωμετρεῖν μόνῳ τῷ ἀνθρώπῳ πέφυκε. δεύτερον 100 *δὲ ὃ παντὶ μὲν ὑπάρχει, οὐ μόνῳ δέ, ὡς τὸ δίποδι· παντὶ γὰρ ἀνθρώπῳ ὑπάρχει, οὐ μόνῳ δέ. τρίτον ὃ παντὶ μὲν καὶ μόνῳ, οὐκ ἀεὶ δέ, ὡς τῷ ἀνθρώπῳ τὸ πολιοῦσθαι. τέταρτον ὅπερ γίνεται τῶν τριῶν συνερχομένων, τὸ παντὶ καὶ μόνῳ καὶ ἀεί, ὡς τὸ γελαστικὸν τῷ ἀνθρώπῳ. περὶ τούτου οὖν τοῦ τετάρτου τοῖς φιλοσόφοις ὁ λόγος, ὃ καὶ* 105 *ὑπογράφοντες λέγουσιν· 'ἴδιόν ἐστι τὸ παντὶ καὶ μόνῳ καὶ ἀεὶ ὑπάρχον', ὃ καὶ ἀντιστρέφει· εἴ τι μὲν γὰρ γελαστικόν, τοῦτο καὶ ἄνθρωπος, καὶ εἴ τι ἄνθρωπος, τοῦτο καὶ γελαστικὸν διὰ τὸ τὸ γελαστικὸν σύμφυτον τῷ ἀνθρώπῳ τυγχάνειν ὥσπερ καὶ τῷ ἵππῳ τὸ χρεμετιστικόν.* 110

(Figura VII v. ad fin. tom.)

Ὑπογράψας δὲ πρῶτον τὸ συμβεβηκὸς φήσας ὅτι 'συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς', ποιεῖ τὴν τούτου διαίρεσιν ἐπειπὼν ὅτι τὸ συμβεβηκὸς διαιρεῖται εἰς χωριστὸν καὶ ἀχώριστον, καὶ χωριστὸν μὲν τὸ καθέζεσθαι, τὸ ἵστασθαι, ἀχώριστον δὲ συμβεβηκὸς τὸ λευκὸν τοῦ κύκνου, τὸ μέλαν τοῦ κόρα- 115 *κος. μετὰ δὲ ταύτην τὴν διαίρεσιν ἄλλας δύο ὑπογραφὰς ἐπεισάγει, μίαν μὲν ὅτι 'συμβεβηκός ἐστι τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν', οἷον ἐνδέχεται αὔριον βρέξαι καὶ μὴ βρέξαι, ἑτέραν δὲ ὅτι συμβεβηκός ἐστιν ὃ μήτε γένος μήτε εἶδος μήτε διαφορὰ μήτε ἴδιον, ἀεὶ δὲ ἐν ὑποκειμένῳ ἐστὶν ὑφιστάμενον.* 120

(Figura VIII v. ad fin. tom.)

99-110 cf. Ioh. Damasc. pp. 83–84 (*ιδ'* 2–17); Porph. Isag. 12, 13–22 || **111-120** 12,24–13,5

101 an potius *δίπουν*? || **117** *τῷ αὐτῷ* Porph.: *τὸ αὐτὸ* **b**[8]

Ἐπειδὴ τῶν λεγομένων τὰ μὲν ὁμωνύμως κατηγοροῦνται, τὰ δὲ συνωνύμως, τὰ δὲ παρωνύμως, πρῶτον περὶ αὐτῶν διαλάβωμεν.

Ὁμώνυμά[1] *ἐστιν ὧν ὄνομα*[2] *μόνον*[3] *κοινόν*[4]*, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας*[5] *ἕτερος, οἷον Λέων ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον*
125 *κατὰ μὲν τὸ ὄνομα κοινωνεῖ ἀλλήλοις – Λέων γὰρ οὗτος καὶ τοῦτο καλεῖται –, κατὰ δὲ τὸν ὁρισμὸν διαφέρει· ὁ μὲν γὰρ ζῷον λογικόν, τὸ δὲ ἄλογον ζῷον.*

---

1) *Ὁμώνυμα δὲ εἶπε καὶ οὐχ ἐνώνυμα διὰ τὸ αὐτὸ καθ' ἑαυτὸ μὴ λέγεσθαι, ἀλλὰ πρὸς ἄλλο τι· οἷον ὁ κύων ὁ χερσαῖος οὐ πρὸς ἑαυτὸν μόνον ὁμώνυμος λέγεται, ἀλλὰ*
130 *πρὸς τὸν ἀστρῷον· εἰ γὰρ καὶ ἕν ὄνομά ἐστιν, ἀλλὰ πολλὰ πράγματα δηλοῖ, ἤγουν τὸν ἀστρῷον, τὸν χερσαῖον καὶ τὸν θαλάττιον.*

2) *Μόνην δὲ τὴν τοῦ ὀνόματος σημασίαν διείληφε καὶ οὐ τοῦ ῥήματος διὰ ⟨τὸ⟩ καὶ τὰ ὀνόματα ῥήματα λέγεσθαι καὶ κατὰ πάσης λέξεως φέρεσθαι καὶ καθὸ πᾶσα φωνὴ σημαντικὴ ὄνομα λέγεται.*

135 3) *Εἴρηκε δὲ 'μόνον' ὡς πρὸς τὸν ἀντιδιαστελλόμενον σύζυγον, φημὶ δὴ τὸν ὁρισμὸν καὶ μὴ τὸ μοναδικῶς νοούμενον.*

4) *Τὸ ἐπίσης καὶ ἀδιαιρέτως μεριζόμενόν τε καὶ ἀκουόμενον ἔφησε καὶ οὐκ ἄλλο τι τῶν λοιπῶν σημαντικῶν.*

5) *Ἤγουν τῆς ὑπάρξεως καὶ τῆς φύσεως τῆς τῶν συμβεβηκότων, καθὸ καὶ τὰ συμβε-*
140 *βηκότα οὐσίαι λέγονται, ὡς ἐν αὐταῖς τὴν ὕπαρξιν ἔχοντα, καὶ μὴ τῆς κυρίως οὐσίας τῆς αὐτοϋποστάτου καὶ τοῖς συμβεβηκόσιν ἀντιδιαστελλομένης. πρὸ τῆς τῶν ὅλων ὑφηγήσεως πρῶτον περὶ τῶν ὁμωνύμων προεκ⟨τι⟩θέμεθα, ὅπως ταῦτα διαγνόντες καὶ ἀκριβῶς τῆς αὐτῶν εἰδήσεως γεγονότες μετὰ ταῦτα ἐπὶ τὰ ἐφεξῆς βαδιούμεθα· 'τῶν γὰρ λεγομένων τὰ μὲν ὁμωνύμως'.*

(Figura IX v. ad fin. tom.)

145 *Συνώνυμα δέ ἐστιν ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός, ὡς οἱ δύο Αἴαντες· καὶ κατὰ τὸ ὄνομα γὰρ κοινωνοῦσιν ἕκαστος Αἴας καλούμενος καὶ κατὰ τὸν ὁρισμὸν 'ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν', καὶ τὰ λοιπά.*

Παρώνυμα δὲ ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τὴν κατὰ τὸ
150 *ὄνομα προσηγορίαν ἔχει, οἷον ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος, ἃ καὶ κοινωνίαν ἔχει ὀνόματος καὶ*

123–124 Arist. Cat. 1 a 1–2 || **130–131** cf. e.g. Amm. in Isag. 49,3–4; Dav. Prol. 66,6–7 || **145–146** Arist. Cat. 1 a 6–7 || **146–147** cf. Amm. in Cat. 22,16–19 || **149–151** Arist. Cat. 1 a 12–15 || **151–152** cf. Amm. in Cat. 22,22–23

121 *λεγομένων* scripsi (cf. 144): *ὁμωνύμων* **b**[8] || **132** *τὸ* addidi || **140** *τῆς*] *τοῖς* **b**[8]: correxi || **142** *προεκθέμεθα* **b**[8]: correxi | *διαγνῶντες* **b**[8]

διαφορὰν ὀνόματος, κοινωνίαν πράγματος καὶ διαφορὰν πράγματος. ἐν μὲν γὰρ τῷ εἰπεῖν 'ὅσα ἀπό τινος' τὴν κατὰ τὸ πρᾶγμα κοινωνίαν καὶ ἑτερότητα ἐδήλωσεν· εἰ γὰρ ἀπό τινος, ἔχει τινὰ κοινωνίαν καθὸ ἐξ αὐτοῦ προήχθη. τῷ δὲ εἰπεῖν 'διαφέροντα τῇ πτώσει' τὴν τοῦ ὀνόμα- 155 *τος διαφορὰν παρέστησε· πτῶσις γὰρ λέγεται τὸ πέρας τῆς τελευταίας συλλαβῆς. τῷ δὲ εἰπεῖν 'τὴν κατὰ τοὔνομα προσηγορίαν' τὴν κοινωνίαν τοῦ ὀνόματος ἐνέφηνε. λέγεται δὲ παρώνυμον ὡς παρωνομασθὲν ἀπὸ τοῦ πρωτοτύπου· ἀπὸ τῆς γραμματικῆς γὰρ ὁ γραμματικὸς καὶ ἀπὸ τῆς δικαιοσύνης ὁ δίκαιος· ὅσον γὰρ παρωνόμασται, τοσοῦτον τοῦ* 160 *πρωτοτύπου ὀνόματος ἐκπέπτωκε.*

Πολυώνυμα δὲ λέγονται ὅσα κατὰ μὲν τὸν ὁρισμὸν κοινωνοῦσι, κατὰ δὲ τὸ ὄνομα διαφέρουσιν, οἷον ἄορ, ξίφος, μάχαιρα, σπάθη· ταῦτα γὰρ πάντα ἀπὸ σιδήρου τὴν σύστασιν ἔχουσι καὶ ἕνα ὁρισμὸν δέχονται· ἀπὸ γὰρ τῆς αὐτῆς ὕλης εἰσί. διαφέρουσι δὲ κατὰ τὸ ὄνομα, 165 *ὅτι τὸ μὲν τόδε, τὸ δὲ τόδε κέκληται.*

Ἑτερώνυμα δὲ κατονομάζονται ὅσα κατὰ πάντα διενηνόχασιν, ἤγουν καὶ κατὰ τὸ ὄνομα καὶ τὸν ὁρισμόν, οἷον ἄνθρωπος, ἵππος.

Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, οἷον 'ἄνθρωπος τρέχει', 'ἄνθρωπος περιπατεῖ', τὰ δὲ ἄνευ συμπλοκῆς, οἷον 'ἄνθρωπος', 170 *'βοῦς', 'τρέχει', 'νικᾷ'. τῶν δὲ κατὰ ⟨μηδε⟩μίαν συμπλοκὴν λεγομένων ἕκαστον ἢ οὐσίαν σημαίνει οἷον 'ἄνθρωπος'· ἢ ποσὸν οἷον 'μακρός', 'βραχύς'· ἢ ποιὸν οἷον 'λευκός', 'μέλας'· ἢ πρός τι οἷον 'πατήρ', 'υἱός'· ἢ ποῦ οἷον 'ἐν τῷ ναῷ', 'ἐν τῇ ἀγορᾷ'· ἢ πότε οἷον 'κατὰ τὸν πέρυσι καιρόν'· ἢ κεῖσθαι οἷον 'ἀνάκειται', 'κάθηται', 'ἵσταται'· τὰ γὰρ μέρη* 175 *τοῦ σώματος ἢ πάντα ὄρθιά ἐστι καὶ λέγεται ἑστάναι, ἢ πάντα ὕπτια καὶ λέγεται ἀνακεκλίσθαι, ἢ τὰ μὲν ὄρθια, τὰ δὲ ὕπτια καὶ λέγεται καθῆσθαι· ἢ ἔχειν οἷον 'περιβέβληται δακτύλιον'· ἢ ποιεῖν οἷον 'τύπτειν'· ἢ πάσχειν οἷον 'τύπτεσθαι', 'καίεσθαι'.*

Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ 180 *δὲ οὐκ ἔστιν οὐδενί, οἷον ὁ ἄνθρωπος· κατὰ μὲν τοῦ τινὸς καθυπόκειται ἤγουν κατηγορεῖται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν, ὅπερ ἐν*

152–157 23,16–23 ‖ **154–158** cf. El. in Cat. 143,16–21 ‖ **158–160** cf. Ioh. Damasc. p.103 (*λϛ'* 13–15) ‖ **162–165** p.102 (*λδ'* 2–5) ‖ **167–168** cf. Ioh. Damasc. p.103 (*λε'* 2); Amm. in Cat. 15,26–27 ‖ **169–171** cf. Arist. Cat. 1 a 16–19 ‖ **171–179** cf. Ioh. Damasc. p. 104 (*λζ'* 4–10); Arist. Cat. 1 b 25–2 a 4 ‖ **180–190** cf. 1 a 20–1 b 4

160 *παρωνόμασθαι* **b**[8]: correxi ‖ **171** *μηδεμίαν* Arist.: *μίαν* **b**[8] ‖ **177** *ἀνακεκλῆσθαι* **b**[8]: correxi ‖ **178** *παραβέβληται* **b**[8]: corr. Wk.

ὑποκειμένῳ ὡς συμβεβηκὸς διαλαμβάνει, καθὼς τοῖς ἔμπροσθεν ἐπιγνωσόμεθα. τὰ δὲ ἐν ὑποκειμένῳ μέν ἐστι, καθ' ὑποκειμένου δὲ οὐ-
185 *δενὸς λέγεται, οἷον ἡ τὶς γραμματικὴ ἐν ὑποκειμένῳ μέν ἐστι, τῇ ψυχῇ δηλονότι, καὶ τουτὶ τὸ λευκὸν ἐν ὑποκειμένῳ ἐστὶ τῷ σώματι. τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται καὶ ἐν ὑποκειμένῳ ἐστίν, οἷον ἡ ἐπιστήμη ἐν ὑποκειμένῳ μὲν λέγεται τῇ ψυχῇ, καθ' ὑποκειμένου δὲ λέγεται τῆς γραμματικῆς. τὰ δὲ οὔτε καθ' ὑποκειμένου λέγεται οὔτε*
190 *ἐν ὑποκειμένῳ ἐστίν, οἷον ὁ τὶς ἄνθρωπος· εἰ γάρ τις ἀμφισβητήσειεν ὅτι τῷ καθόλου ἀνθρώπῳ ὑπόκειται, πῶς Ἀριστοτέλης ἔφησεν ὅτι οὐκ ἔστιν ὁ τὶς ἄνθρωπος ἐν ὑποκειμένῳ, ἀκούσεται ὅτι τὸ ἐν ὑποκειμένῳ ὁ Ἀριστοτέλης συμβεβηκὸς ὁρίζεται, ὁ δὲ τὶς ἄνθρωπος οὐχ ὡς συμβεβηκὸς ὑπόκειται τῷ καθόλου, ἤγουν πρὸς ὕπαρξιν τῷ καθόλου ὑπό-*
195 *κειται ὡς τὸ σῶμα τῷ συμβεβηκότι, ἀλλ' ὡς πρώτη οὐσία ὑπόκειται τῷ καθόλου πρὸς κατηγορίαν. ὅπως δὲ ὁρίζεται τὸ ἐν ὑποκειμένῳ συμβεβηκὸς πρόσεχε· εἶπεν 'ὃ ἔν τινι', τὸ λευκὸν ἔν τινί ἐστι τῷ σώματι· εἴρηκε 'μὴ ὡς μέρος ὄν', τὸ λευκὸν μέρος τοῦ σώματος οὐκ ἔστιν· ἔφησεν 'ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι', τὸ λευκὸν ἤτοι ἡ*
200 *λευκότης ἀδύνατον χωρὶς σώματος ὑποστῆναι. τοῦτο δὲ εἴρηκε διαιρῶν ταῦτα ἀπὸ τῶν ἁπλῶν οὐσῶν φωνῶν, συμπλοκὰς δὲ κατὰ τὸ σημαινόμενον δηλουσῶν, ὡς τὸ 'πάσχω' – δηλοῖ γὰρ καὶ τὸ πρόσωπον καὶ τὴν ἐνέργειαν –, καὶ ἀπὸ τῶν κατὰ μὲν τὴν φωνὴν συμπεπλεγμένων, κατὰ δὲ τὸ σημαινόμενον ὄντων ἁπλῶν, ὡς ἔχει ὁ τοῦ ἀνθρώπου ὁρισμός –*
205 *ἕνα γὰρ δηλοῖ τὸν ἄνθρωπον –, καὶ ἀπὸ τῶν κατά τε τὴν φωνὴν καὶ τὸ σημαινόμενον συμπεπλεγμένων. τῶν οὖν κατ' οὐδεμίαν συμπλοκὴν ἐκ τούτων λεγομένων ἕκαστον. ἁπλῶς δὲ τὰ ἄτομα καὶ δυσδιαίρετά τε καὶ δύστμητα καὶ τὸ πρῶτον εἶδος μὴ σῴζοντα ὡς τὸ εἰδικώτατον εἶδος τὸ μὴ εἰς εἴδη τεμνόμενον, εἴτε οὐσίαι εἰσὶν εἴτε συμβεβηκότα,*
210 *κατ' οὐδενὸς ὑποκειμένου λέγονται.*

Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, ἤγουν οὐσιωδῶς καὶ πραγματικῶς καὶ μὴ κατὰ τὸ συμβεβηκός, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται, οἷον ζῷον, ἄνθρωπος, τὶς ἄνθρωπος· τὸ γὰρ ζῷον λέγεται
215 *καὶ κατὰ τοῦ ἀνθρώπου καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου. εἰ δέ τι κατὰ*

183 sq. infra 192 sqq. ‖ **193–196** cf. Amm. in Cat. 26, 10–12; Philop. in Cat. 29, 7–11 ‖ **197–199** Arist. Cat. 1 a 24–25 ‖ **207–210** cf. 1 b 6–7 ‖ **211** 1 b 10–11 ‖ **212–214** 1 b 11–12 ‖ **214–215** 1 b 12–15 ‖ **215–220** cf. Philop. in Cat. 38, 29–39, 2

184 *ἐπιγνωσώμεθα* **b**[8]

τοῦ κατηγορουμένου κατὰ συμβεβηκὸς κατηγορεῖται, οὐκέτι καὶ κατὰ τοῦ ὑποκειμένου λέγεται· οἷον τοῦ Ἰωάννου πραγματικῶς κατηγορεῖται καὶ ὡς καθ' ὑποκειμένου ὁ ἄνθρωπος, τοῦ δὲ ἀνθρώπου οὐσιωδῶς μὲν τὸ ζῷον, κατὰ συμβεβηκὸς δὲ τὸ τρισύλλαβον· διὰ τοῦτο τὸ μὲν ζῷον καὶ κατὰ τοῦ Ἰωάννου κατηγορηθήσεται, οὐκέτι δὲ τὸ τρισύλλαβον. 220
ἵνα οὖν τὰ οὐσιωδῶς καὶ ὡς πραγμάτων κατηγορούμενα σημάνῃ, εἶπε τὸ 'ὡς καθ' ὑποκειμένου' ἀντὶ τοῦ ὡς πράγματος ὑφεστῶτος· τὸ γὰρ δισύλλαβον ἢ τρισύλλαβον οὐχ ὡς καθ' ὑποκειμένου κατηγοροῦνται, ἀλλ' ὡς φωνῶν καὶ ποσῶν συλλαβῶν.

Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ 225 *αἱ διαφοραί, οἷον ζῴου καὶ ἐπιστήμης. ἐπειδὴ γὰρ καὶ γένη εἰσὶ γενικώτατα καὶ ὑπ' ἄλληλα, τῶν δὲ ὑπαλλήλων γενῶν σειρά τις ἐκδίδοται, δέον διακρῖναι τά τε πάντῃ ἑτερογενῆ καὶ τὰ ὑπάλληλα γένη, ὡς ἂν ἐφεύρωμεν καὶ τὰς τούτων διαφοράς· τῶν γὰρ ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, οἷον ζῴου καὶ ἐπιστήμης, ἕτεραι καὶ αἱ δια-* 230 *φοραί. καὶ τὰ ἕτερα δὲ γένη πολλαχῶς λέγεται· ἢ τὰ πάντῃ διεστηκότα ὡς οὐσία καὶ τὸ ποιόν, ἢ τὰ ἐκ τῆς αὐτῆς μὲν διαιρέσεως προελθόντα, ἀντιδιῃρημένα δὲ ὄντα ἀλλήλοις, ὡς ἡ οὐσία εἰς ἔμψυχον καὶ ἄψυχον – ἔχουσι γὰρ ταῦτα κοινὸν γένος τὴν οὐσίαν –, ἢ τὰ ὑπ' ἄλληλα γένη ὡς τὸ ζῷον καὶ τὸ λογικόν. τῶν οὖν ἑτερογενῶν ἤγουν* 235 *τῶν ὑπὸ διαφόρους κατηγορίας ἀναγομένων καὶ μὴ ὑπ' ἄλληλα γενῶν ἕτεραι αἱ διαφοραὶ αἵ τε συστατικαὶ καὶ αἱ διαιρετικαί, ὡς ζῷον καὶ ἐπιστήμη· τὸ μὲν γὰρ ζῷον ὑπὸ τὴν οὐσίαν ἀνάγεται, ἡ δὲ ἐπιστήμη ὑπὸ τὴν ποιότητα. καὶ ζῴου μὲν συστατικαὶ διαφοραὶ τὸ ἔμψυχον καὶ αἰσθητικόν, διαιρετικαὶ δὲ τὸ λογικὸν καὶ ἄλογον, τὸ θνητὸν καὶ ἀθά-* 240 *νατον. τῆς δὲ ἐπιστήμης συστατικαὶ μὲν διαφοραὶ τὸ ἄπταιστον τῶν λόγων καὶ βέβαιον, τὸ ἀεὶ καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν τὰ τῇ ἐπιστήμῃ ὑποκείμενα πράγματα, διαιρετικαὶ δὲ τὸ θεωρητικὸν καὶ τὸ πρακτικόν. ἕτεραι οὖν αἱ διαφοραὶ ἀμφοτέρων αἵ τε συστατικαὶ καὶ αἱ διαιρετικαί. τῶν δὲ ὑπ' ἄλληλα γενῶν ποτὲ μὲν αἱ αὐταὶ διαφοραί, αἵ* 245 *τε συστατικαὶ καὶ διαιρετικαί, ποτὲ δὲ αἱ μὲν συστατικαὶ αἱ αὐταί, αἱ δὲ διαιρετικαὶ ἕτεραι, ὡς ἐπὶ τοῦ ἁπλῶς ζῴου καὶ τοῦ λογικοῦ ζῴου καὶ ἁπλῶς ζῴου καὶ ἀλόγου ζῴου· τοῦ μὲν γὰρ ἁπλῶς ζῴου καὶ τοῦ λογικοῦ ζῴου αἱ αὐταί εἰσι συστατικαὶ διαφοραί· ἐφ' ἑκατέρων γὰρ τῶν ζῴων οὐσία ἔμψυχος αἰσθητική. ὡσαύτως δὲ καὶ αἱ διαιρετικαὶ αἱ* 250 *αὐταί εἰσι· τὸ γὰρ λογικὸν εἰσελθὸν διεχώρισε ἀπὸ τοῦ ἁπλῶς ζῴου, ὃ*

221–224 cf. 39, 8–14 || **225–226** Arist. Cat. 1 b 16–17 || **226–230** cf. Philop. in Cat. 40,4–8 || **231–241** 40,13–41,17 || **241–244** 40,10–13 || **245–259** 41,17–18

δὴ καὶ διῄρηται εἰς θνητὸν καὶ ἀθάνατον. ταῦτα δὲ παρ' ἑαυτῷ καὶ τὸ ἁπλῶς ζῷον κέκτηται· ὥστε, ἅπερ εἰσὶ τοῦ ἁπλῶς ζῴου, εἰσὶ καὶ τοῦ λογικοῦ ζῴου. τοῦ δὲ ἁπλῶς ζῴου καὶ τοῦ ἀλόγου ζῴου αἱ μὲν
255 *συστατικαὶ πάντως αἱ αὐταί – τὸ γὰρ 'οὐσία ἔμψυχος αἰσθητική' ἐπ' ἀμφοτέρων τῶν ζῴων ἐφαρμόζει –, αἱ δὲ διαιρετικαὶ οὐχ αἱ αὐταί· τοῦ μὲν γὰρ ἁπλῶς ζῴου εἰσὶ διαιρετικαὶ τὸ λογικὸν καὶ τὸ ἄλογον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τοῦ δὲ ἀλόγου οὔκ εἰσι ταῦτα, ἀλλὰ τὸ πτηνόν, τὸ χερσαῖον, τὸ ἔνυδρον. ὥστε, ἅπερ παρ' ἑαυτῷ ἔχει τὸ ἄλο-*
260 *γον, καὶ τὸ ἁπλῶς ζῷον κέκτηται, οὐ μὴν δὲ ἅπερ παρ' ἑαυτῷ ἔχει τὸ ἁπλῶς ζῷον, ἤδη καὶ τὸ ἄλογον κέκτηται, ὥσπερ ἐπὶ τοῦ ἁπλῶς ζῴου καὶ τοῦ λογικοῦ ζῴου· ὃ γὰρ τὸ ἁπλῶς ζῷον, καὶ τὸ λογικὸν ζῷον ἐκέκτητο.*

Ἐκ τούτων οὖν τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων αὐτὸ
265 *καθ' ἑαυτὸ οὔτ' ἀληθεύει οὔτε ψεύδεται, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίνεται.*

(Figura X v. ad fin. tom.)

[De decem praedicamentis]

Ἀρχομένων δὲ ἡμῶν περὶ τῶν δέκα κατηγοριῶν διεξιέναι, δεῖ πρῶτον εἰπεῖν διὰ τί δέκα κατηγορίαι καὶ οὐ πλείους εἰσί, καὶ τηνι-
270 *καῦτα τῆς τούτων ὑφηγήσεώς τε καὶ σαφηνείας ἑξόμεθά τε καὶ λόγον ποιησόμεθα· ὅτι τὸ ὂν ἢ ἐν ὑποκειμένῳ ἐστὶν ἢ οὐκ ἐν ὑποκειμένῳ· καὶ εἰ μὲν μὴ ἐν ὑποκειμένῳ, ποιεῖ τὴν οὐσίαν, εἰ δὲ ἐν ὑποκειμένῳ, ἢ καθ' αὑτὸ ἢ οὐ καθ' αὑτό ἐστι. τὸ δὲ καθ' αὑτὸ ἢ μεριστὸν καὶ ποιεῖ τὸ ποσόν, ἢ ἀμέριστον καὶ ποιεῖ τὸ ποιόν· εἰ δὲ οὐ καθ' αὑτό, ἢ*
275 *σχέσις ἐστὶ μόνον καὶ ποιεῖ τὰ πρός τι, ἢ κατὰ σχέσιν ἄλλων νοεῖται καὶ ποιεῖ τὰς λοιπὰς ἓξ κατηγορίας. ἐκ δὲ τῆς συμπλοκῆς τῆς οὐσίας καὶ τοῦ ποσοῦ ἀπογεννῶνται τὸ ποῦ καὶ τὸ ποτέ, ἐξ οὐσίας καὶ ποιοῦ τὸ ποιεῖν καὶ πάσχειν, ἐξ οὐσίας καὶ τῶν πρός τι τὸ ἔχειν καὶ τὸ κεῖσθαι. μιγνυμένη γὰρ αὕτη ἡ οὐσία τῷ ποσῷ ἢ ἐν τόπῳ ὁρᾶται καὶ*
280 *τὴν ποῦ κατηγορίαν ποιεῖ, ἢ ἐν χρόνῳ καὶ τὴν ποτὲ ἀποτελεῖ· τῷ δὲ ποιῷ συντιθεμένη ἢ ἐνέργειαν ἔχει καὶ ποιεῖ τὸ ποιεῖν, ἢ πάθος καὶ*

264–266 cf. Arist. Cat. 2 a 4–9 || 270–278 cf. El. in Cat. 159, 9–19

256 *ἐφαρμόζει*] *προ* pro *ἐφ* mg. **b**[8] || 260 *κέκται* **b**[8]: correxi || 271 *ὅτι*] cf. 3 || 272 *μὲν*] *ἐν* **b**[8]: correxi

τὸ πάσχειν ἐμφαίνει· συντρέχουσα δὲ τῷ πρός τι ἢ ἐν ἄλλῳ τίθεται καὶ τὸ κεῖσθαι παρίστησιν ἢ περιτίθεται ἕτερον καὶ τὸ ἔχειν λέγεται.

Προτέτακται δὲ ἡ οὐσία τῶν λοιπῶν ὡς συμφερομένη ταῖς ἄλλαις κατηγορίαις καὶ ἐν τοῖς συμβεβηκόσι θεωρουμένη καὶ τῆς οἰκείας 285 *μεταδιδοῦσα ὀνομασίας, ὡς καὶ αὐτὰ οὐσίαι πάντως καλούμενα, ὡς ἐν τῇ οὐσίᾳ τὰ συμβεβηκότα ὑφιστάμενα – εἴ τι γὰρ συμβεβηκός, καὶ οὐσία πάντως ἔσται· οὐκ εἴ τι δὲ οὐσία, τοῦτο καὶ συμβεβηκός – καὶ ὡς συναναιροῦσα καὶ μὴ συναναιρουμένη, ἥτις δὴ καὶ αὐθυπόστατος κέκληται, τὰ δὲ συμβεβηκότα ἑτεροϋπόστατα ὡς ἐν ταύτῃ τὴν ὑπόστα-* 290 *σιν εἰληχότα καὶ διὰ τὸ ταύτην μίαν εἶναι, τὰ δὲ συμβεβηκότα πολλά, προηγεῖται δὲ τὸ ἓν τῶν πολλῶν· διὰ ταῦτα οὖν ἡ οὐσία τὴν πρώτην τάξιν ἀπείληφεν. ἑξαχῶς δὲ αὕτη λέγεται. οὐσία ἡ πᾶσαν μὲν ὕπαρξιν σημαίνουσα, ἥτις καὶ κατὰ τῶν συμβεβηκότων φέρεται, καθὸ καὶ ταῦτα οὐσίαι λέγονται ὡς ἐν ταύτῃ τὴν ὕπαρξιν κεκτημένα. οὐσία καὶ* 295 *ἡ μὴ ἐν ὑποκειμένῳ φύσις ἡ τοῖς συμβεβηκόσιν ἀντιδιαστελλομένη, ἥτις δὴ ἢ ἁπλῆ ἐστιν ἢ σύνθετος· ἥτις ἁπλῆ ποτὲ μὲν κρείττων τῆς συνθέτου, ποτὲ δὲ χείρων, καὶ κρείττων μὲν τῆς συνθέτου θεός, ἄγγελος, νοῦς, ψυχή – ταῦτα γὰρ κρείττω τοῦ ἀνθρώπου –, χείρω δὲ τῆς συνθέτου ἡ πρώτη ὕλη καὶ τὸ ἔνυλον εἶδος, ἃ δὴ καὶ τὸ ἔλαττον* 300 *τοῦ ἀνθρώπου ἀποφέρονται, ὡς δι' αὐτὸν παραχθέντα ἢ γεγονότα· εἰ γὰρ ἕνεκά του, χείριστόν ἐστι· τιμιώτερον ἄρα οὗ ἕνεκά ἐστιν· οἷόν τί φημι· εἰ γὰρ ἕνεκα τοῦ ἀνθρώπου τὸ ἱμάτιον, τιμιώτερον ἄρα ὁ ἄνθρωπος τοῦ ἱματίου· εἰ δὲ καὶ τὸ σάββατον διὰ τὸν ἄνθρωπον, ἐλάχιστόν ἐστι καὶ τοῦ ἀνθρώπου τὸ σάββατον. ἡ δὲ σύνθετός ἐστιν ἢ καθ'* 305 *αὑτὴν ὡς Σωκράτης, Πλάτων, ἢ σχετικὴ ὡς ὁ τὶς πρὸς τὸ πᾶς· θατέρου γὰρ μὴ ὄντος οὐδὲ θάτερον συνεξακούεται ὡς τῶν πρός τι ὄντα. ἔστι καὶ ἕκτη οὐσία ἡ περιεκτικὴ τῆς συνθέτου καὶ σχετικῆς, περὶ ἧς ἐνταῦθα διδάσκει ὁ Ἀριστοτέλης, φημὶ δὴ τοῦ τινὸς ἀνθρώπου. πρώτην δὲ οὐσίαν λέγει τὸν τινὰ ἄνθρωπον, δευτέραν δὲ τὸν ἄνθρωπον* 310 *καὶ τὸ ζῷον, διότι καὶ τὰ τῇ φύσει πρῶτα ἡμῖν εἰσιν ὕστερα, τὰ δὲ ταύτῃ ὕστερα ἡμῖν πρώτιστα· οἷον ἡ ὕλη καὶ τὸ εἶδος πρῶτον, εἶτα ⟨τὰ⟩ τέσσαρα στοιχεῖα, μεθ' ἃ σπέρμα καὶ αἷμα, εἶτα καὶ ὕστερος ὁ ἄνθρωπος. τοῦτον οὖν θεωροῦντες καὶ ἀναλύοντες ἐξ ὧν συντέθηται, ἐπὶ τὰ πρῶτα ἀναγόμεθά τε καὶ προβιβαζόμεθα. ἀλλὰ καὶ τοῖς εἰσ-* 315

284–287 cf. Philop. in Cat. 49,8–11 || **287–309** cf. El. in Cat. 162,1–33 || **310–314** cf. Amm. in Cat. 36,6–8

282 *συντρέχουσι* **b**[8]: correxi || **313** *τὰ* supplevi

αγομένοις ἡμῖν πρῶτον ἡ μερικὴ οὐσία καθέστηκε γνώριμος, καὶ οὕτως ἐντεῦθεν ἐπὶ τὰ καθόλου προβαίνομεν καὶ μανθάνομεν τὸν καθόλου ἄνθρωπον καὶ τὸ ζῷον.

Πάντοθεν δὲ ἐξυμνεῖ τὴν οὐσίαν ἀπὸ τῶν φωνῶν, ἀπὸ τῶν νοημά-
320 *των, ἀπὸ τῶν πραγμάτων. ἀπὸ μὲν τῶν φωνῶν διὰ τοῦ 'κυριωτάτην' εἰπεῖν· ἔπαινος γὰρ τῆς φωνῆς ἡ κυριολεξία. ἀπὸ δὲ τῶν νοημάτων ἐξαίρει διὰ τοῦ 'πρώτην' εἰπεῖν· πρῶτον γὰρ τὰς ἀτόμους οὐσίας νοοῦμεν καὶ ἀπ' αὐτῶν ἐπὶ τὰ καθόλου ἀνερχόμεθα. ἀπὸ δὲ τῶν πραγμάτων ὡς ἀπὸ τοῦ 'μάλιστα' φάναι· μάλιστα γάρ ἐστιν ἡ ἄτομος οὐσία,*
325 *ἤγουν ὁ τὶς ἄνθρωπος, εἴ γε τὰ συμβεβηκότα διὰ αὐτήν ἐστιν· ἄνευ γὰρ ταύτης οὐκ ἔχουσι ποῦ καὶ ὑποστῆναι, ὥσπερ καὶ τὰ καθόλου κατὰ ταύτης κατηγοροῦνται· ἥτις δὴ τοῖς μὲν συμβεβηκόσι πρὸς ὕπαρξιν, τοῖς δὲ καθόλου πρὸς κατηγορίαν πάρεστι. ὁρίζεται δὲ ταύτην οὐ διὰ τῆς καταφάσεως ὡς καὶ τὰ λοιπά, ἀλλὰ δι' ἀποφάσεως· οἱ*
330 *γὰρ δι' ἀποφάσεως ὁρισμοὶ σεμνύνουσι τὸ ὑποκείμενον, ὡς καὶ τὸ θεῖον ὁρίσαι βουλόμενοι δι' ἀποφάσεως τοῦτο δείκνυμεν, φάσκοντες ὅτι τὸ θεῖον οὔτε ἄγγελός ἐστιν οὔτε ψυχὴ οὔτε τὸ καὶ τό. εἰ καὶ δι' ἀποφάσεως ταύτην ἐμφαίνει, ἀλλὰ τρόπον τινὰ διὰ καταφάσεως παρίστησιν· οὐ γὰρ μόνον τί οὐκ ἔστι λέγει, ἀλλὰ καὶ τί ἐστι διασαφεῖ·*
335 *πρὸς γὰρ ἀντιδιαστολὴν ἑτέρων αὕτη οὑτωσὶ λέγεται· εἰ γὰρ τὸ συμβεβηκὸς ἐν ὑποκειμένῳ, ἡ οὐσία οὐκ ἐν ὑποκειμένῳ, καὶ εἰ τὸ καθόλου καθ' ὑποκειμένου, τὸ μερικὸν οὐ καθ' ὑποκειμένου λέγεται. διὰ τοῦτο δὲ οὐ καθ' ὑποκειμένου λέγεται, ἐπειδὴ τοῖς καθ' ὑποκειμένου ὑπόκειται, ἤγουν τοῖς καθόλου, πρὸς κατηγορίαν, οὐδ' ἐν ὑποκειμένῳ,*
340 *ἐπεὶ τοῖς ἐν ὑποκειμένῳ, τουτέστι τοῖς συμβεβηκόσιν, ὑπόκειται πρὸς ὕπαρξιν, εἴ γε ταύτης μὲν τὰ συμβεβηκότα δέονται πρὸς σύστασιν, τὰ δὲ καθόλου πρὸς κατηγορίαν.*

Βουλόμενος δὲ τὸ ἴδιον τῆς οὐσίας παραστῆσαι πρῶτον τὰ ψευδῆ ἴδια ταύτης παράγει, ἵνα κεκαθαρμένως καὶ ἀπροσκόπως τὴν ἀλή-
345 *θειαν προσαγάγῃ καὶ ἵνα δείξῃ ὅτι δεῖ τὸ ἴδιον μόνῳ καὶ παντὶ εἶναι οὗ ἴδιόν ἐστι. διὸ καὶ τὰ κοινὰ τῆς οὐσίας ἐπειπὼν ὕστερον τὸ κυρίως ἴδιον μέλλει παραδοῦναι· χρὴ γὰρ τῷ ἰδίῳ δύο τινὰ παρέπεσθαι, τὸ μόνῳ ἐκείνῳ ὑπάρχειν καὶ παντὶ οὗ ἐστιν ἴδιον. καθ' ἕκαστον οὖν ἴδιον δύο ζητεῖ, εἰ πάσῃ ὑπάρχει τῇ οὐσίᾳ ἢ οὔ, καὶ εἰ μόνῃ ἢ οὔ. εἰ*

319 sqq. Arist. Cat. 2 a 11–12 ‖ **319–325** cf. El. in Cat. 165, 3–10 ‖ **327–328** 166, 17–18 ‖ **328–332** cf. Philop. in Cat. 51, 24–32 ‖ **335–342** 52, 14–31 ‖ **343–345** cf. El. in Cat. 171, 32–33 ‖ **348–351** 171, 26–30

320 *καιριωτάτην* **b**[8]: correxi: *κυριώτατα* Arist. ‖ **322** *πρώτην*] *πρώτως* Arist.

μὲν οὖν εὕρῃ ὅτι πάσῃ οὐ μόνῃ δέ, κοινὸν αὐτὸ καλεῖ· εἰ δὲ μόνῃ μὲν 350
οὐ πάσῃ δέ, ἴδιον. διὸ καί φησι 'κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ
ἐν ὑποκειμένῳ εἶναι'. ὡς γὰρ ἄνωθεν φθάσαντες εἰρήκαμεν, τὸ ἐν ὑπο-
κειμένῳ ὅ ἔν τινι μὴ ὡς μέρος ὂν ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι·
τὸ γὰρ λευκὸν ἔν τινί ἐστι καὶ οὐκ ἔστι μέρος καὶ οὐ δύναται χωρὶς
ὑποκειμένου ὑφίστασθαι, ὅπερ προσὸν μὲν τῷ ὑποκειμένῳ τὴν ἑαυτοῦ 355
ὕπαρξιν διέσωσεν, ἀπὸν δὲ ἀπώλεσέ τε καὶ διέφθειρε. ἡ δὲ οὐσία ἤ-
γουν ὁ τὶς ἄνθρωπος μὴ ἐν ἑτέρῳ τὴν ὑπόστασιν ἔχουσα, ἀλλ' ἐφ'
ἑαυτῆς οὖσα καὶ μάλιστα τοῖς μὲν καθόλου πρὸς κατηγορίαν ὑποκει-
μένη, τοῖς δὲ συμβεβηκόσι πρὸς ὕπαρξιν, ἀλώβητός ἐστι παντάπασι
καὶ ἀπαθὴς διατετήρηται. οὐκ ἴδιον δὲ τῆς οὐσίας τοῦτο τὸ μὴ ἐν 360
ὑποκειμένῳ, ἀλλὰ καὶ τῶν διαφορῶν· τὸ γὰρ λογικὸν οὐκ ἐν τῷ ἀν-
θρώπῳ ἀναδείκνυται, ἀλλὰ κατ' αὐτοῦ κατηγορεῖται· τὸ γὰρ ἐν ὑπο-
κειμένῳ, ὅ συμβεβηκὸς πεφθάκαμεν εἰρηκέναι, οὔτε παρὸν οὔτε ἀπὸν
σῴζει τὸ ὑποκείμενον, τὸ δὲ λογικὸν ἀφαιρεθὲν ἢ τὸ ἄλογον οὗ κατ-
ηγορεῖται συνανεῖλε καὶ τὴν αὐτοῦ ὀνομασίαν· ἐν γὰρ τῷ σώματι τῷ 365
ὑποκειμένῳ δηλαδὴ καὶ τὸ λευκὸν θεωρεῖται, ὅ ἐστι συμβεβηκός, καὶ
ἀφαιρεθὲν μὲν τὸ λευκὸν ἀπήμαντον τὸ σῶμα διεφύλαξε, τὸ δὲ
λογικὸν ἀφαιρεθὲν οὗ λέγεται καὶ τὸ εἶδος καθ' οὗ κατηγορεῖται ἐλυ-
μήνατο. διὰ τοῦτο καὶ αἱ διαφοραὶ τὸ οὐκ ἐν ὑποκειμένῳ κέκτηνται.
τοῦτο δὲ τὸ ἴδιον ἀπορραπίζει ὡς πάσῃ οὐσίᾳ ὑπάρχον, οὐ μόνῃ δέ. 370
Ἕτερον δὲ ἀντεισάγει, ἀλλ' οὐδὲ τούτῳ συντίθεται ὡς μήτε μόνῃ
μήτε πάσῃ τυγχάνον, τὸ 'ὑπάρχει δὲ ταῖς οὐσίαις – φημὶ δὴ ταῖς δευ-
τέραις – καὶ ταῖς διαφοραῖς τὸ πάντη συνωνύμως ἀπ' αὐτῶν λέγε-
σθαι'· οὔτε γὰρ τῇ πρώτῃ οὐσίᾳ ὑπάρχει, ἤγουν τῷ τινὶ ἀνθρώπῳ, διὰ
τὸ μὴ ἔχειν ταύτην κατά τινος κατηγορεῖσθαι, ἀλλὰ μᾶλλον ὑποκεῖ- 375
σθαι τοῖς καθόλου πρὸς κατηγορίαν, οὔτε μόνῃ, ἐπειδὴ καὶ ταῖς δια-
φοραῖς ὑπάρχει· τὰ γὰρ γένη τῶν εἰδῶν συνωνύμως κατηγοροῦνται· τὰ
γὰρ συνωνύμως κατηγορούμενα καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τοῦ
κατηγορουμένου ἐπιδέχονται· οἷον ὁ Σωκράτης ὁ τὶς ἄνθρωπος λέγε-
ται· καὶ ἄνθρωπος καὶ ζῷον ⟨καὶ⟩ οὐσία ἔμψυχος αἰσθητικὴ ὁ Σω- 380
κράτης· ὡσαύτως καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον λεχθήσεται, ἀλλὰ καὶ

351 sq. Arist. Cat. 3 a 7–8 ‖ **352** *ἄνωθεν*] supra 197–199 ‖ **352–353** cf. Arist. Cat. 1 a 24–25 ‖ **360–362** cf. 3 a 21–26 ‖ **372–374** 3 a 33–34 ‖ **374–377** cf. El. in Cat. 175, 4–6 ‖ **377–385** cf. Philop. in Cat. 70, 5–14

356 *ἀπόλεσέ* **b**[8] ‖ **361** *ἀνθρώπω* bis scr. **b**[8] ‖ **364** *τὸ ὑποκείμενον*] *τῶ -νω* suprascr. **b**[8] ‖ **372** *ὑπάρχει* Arist.: *ὑπάρχον* **b**[8] ‖ **373** *τὸ*] *τῶ* **b**[8]; s. l. corr. scriba | *πάντα* Arist. ‖ **380** post *ζῷον* add. *λογικὸν θνητόν ἐστι* Philop. | *καὶ* addidi

λογικόν, ὅπερ ἐστὶ τῆς διαφορᾶς· τὸ γὰρ λογικὸν καὶ κατὰ τοῦ ἀν-
θρώπου καὶ κατὰ τοῦ Σωκράτους εἰρήσεται, καὶ ὁρισμὸς τοῦ λογικοῦ
'οὐσία ἔμψυχος αἰσθητική', ὥστε καὶ αἱ διαφοραὶ συνωνύμως κατ' αὐ-
385 *τῶν κατηγοροῦνται.*

Λέγει δὲ καὶ ἕτερον ἴδιον τῆς οὐσίας τὸ 'πᾶσα οὐσία δοκεῖ τόδε τι
σημαίνειν'. ἀλλ' ἐπὶ μὲν τῆς πρώτης οὐσίας ἀληθὲς εἶναι δοκεῖ, ἐπὶ δὲ
τῶν δευτέρων οὐδαμῶς· τὸ γὰρ τόδε τι τὸ μερικὸν δηλοῖ, ἤγουν τὸν
τινὰ ἄνθρωπον· τῷ μὲν γὰρ ἐνιαίῳ τῆς προφορᾶς δοκεῖ ὅτι τόδε τι
390 *σημαίνει τὸ γένος καὶ τὸ εἶδος, ἤγουν τὸ ζῷον καὶ ὁ ἄνθρωπος, ἀλλ'*
οὖν οὐ τόδε τι, ἀλλὰ τοιόνδε· οὐδὲ γάρ ἐστιν ἓν τὸ ὑποκείμενον, ἵνα
τι σημαίνῃ, ὥσπερ ὁ 'τίς', ἀλλὰ καθόλου καὶ συναγωγὴν τῶν κατὰ
μέρος δηλοῖ· τὸ γὰρ ζῷον κατὰ πολλῶν λέγεται καὶ ὁ ἄνθρωπος κατὰ
πλειόνων ἀτόμων κατηγορεῖται. ἀλλ' οὐδὲ ποιόν τι σημαίνει ὥσπερ τὸ
395 *λευκόν· τὸ γὰρ λευκὸν οὐδὲν ἄλλο σημαίνει ἢ ποιόν, τὸ δὲ γένος καὶ*
τὸ εἶδος περὶ τὴν οὐσίαν τὸ ποιὸν ἀφορίζει· ποιὰν γάρ τινα οὐσίαν
σημαίνει ἔχουσαν τὴν οὐσίαν αὐτὴν ποιότητα.

'Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν ἐναντίον αὐταῖς εἶναι'· τῷ
γάρ τινι ἀνθρώπῳ τί ἂν εἴη καὶ ἐναντίον, ἤγουν τῇ πρώτῃ οὐσίᾳ; οὐ-
400 *σία γὰρ οὐσίᾳ οὐ μάχεται· εἰ γὰρ καὶ πολλοὺς ἀνθρώπους κατ' ἀλλή-*
λων φερομένους καὶ ἐναντιουμένους ὁρῶμεν, ἀλλ' οὐ καθὸ οὐσίαι τὴν
πρὸς ἀλλήλους διένεξιν πεποίηνται, ἀλλά τι συμβεβηκὸς τούτοις παρ-
εμπεσὸν τὴν ἐναντίωσιν ἀπειργάσατο, ὥσπερ καὶ ὁ θυμὸς καὶ ὁ λόγος
οὐσίαι, τὸ δὲ θυμοῦσθαι καὶ λογίζεσθαι ἐνέργειαι. αἱ μὲν γὰρ οὐσίαι
405 *καθ' ἑαυτὰς οὐδ' ὅλως τὸ ἐναντίον κέκτηνται, τὰ δὲ περὶ αὐτὰς ἐμπε-*
σόντα τὴν διάστασιν ἀπειργάσαντο, καθὰ δὴ καὶ τὸ ὕδωρ τῷ πυρὶ ἀν-
τικείμενον καθορῶμεν, ἀλλ' οὐ καθὸ οὐσίαι τὴν πρὸς ἄλληλα φθορὰν
εἰσεδέξαντο, ἀλλ' ᾗ πεποίωνται· αἱ γὰρ περὶ αὐτὰς προσοῦσαι ποιότη-
τες τὴν μάχην προσήγαγον· τῇ γὰρ θερμῇ καὶ ξηρᾷ ποιότητι προσπε-
410 *σοῦσα ἡ ὑγρὰ καὶ ψυχρὰ τὴν ἑτέραν ποιότητα ὤλεσεν. οὐκ ἴδιον δὲ*
ταύτης τὸ μηδὲν εἶναι ἐναντίον, ἀλλ' οὐδὲ τῷ διπήχει ἢ τριπήχει ἐστί
τι ἐναντίον· τὰ γὰρ ἐναντία φθαρτικὴν πρὸς ἄλληλα τὴν δύναμιν
ἐκληρώσατο καὶ τὸ ἕτερον ὑφ' ἑτέρου ὄλλυταί τε καὶ διέφθαρται,
ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν, ἐνταῦθα δὲ αὔξησις τοῦ διπήχους τὸ

386-387 Arist. Cat. 3 b 10 ‖ **387-391** cf. El. in Cat. 176, 15–18 ‖ **398** Arist. Cat. 3 b 24–25 ‖ **400-403** cf. El. in Cat. 180,23–25 ‖ **403-404** 180,9–14 ‖ **406-415** cf. Philop. in Cat. 74,17–75,3

382 *λογικά* **b**[8]: correxi ‖ **389** *προφορᾶς* El. 176, 17: *προσφορᾶς* **b**[8]

τετράπηχυ. ἀλλ' οὐδὲ τὸ πολὺ τῷ ὀλίγῳ ἐναντίον, διότι τὸ μέγα ἐκ 415
πολλῶν μικρῶν καὶ τὸ πολὺ ἐκ πολλῶν ὀλίγων συνέστηκε.

'Δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον'· εἰ γὰρ ἐναντία ἑαυτῇ οὐκ ἐπεδέχετο, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον· τὸ μὲν γὰρ μᾶλλον καὶ ἧττον ὁδὸς ἐπὶ τὰ ἐναντία, τὸ δ' ἐναντίον τέλος, οἷον τῷ ἀνθρώπῳ οὐ λέγομεν 'μᾶλλον οὗτος ἄνθρωπος καὶ ἧττον ἐκεῖνος'. 420 *ἔνθεν οὐδ' ἐναντιότητα ἐδέξατο· ὅπου γὰρ τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐκεῖ καὶ τὸ ἐναντίον, καὶ ἔνθα τὸ ἐναντίον, ἐκεῖσε καὶ τὸ μᾶλλον καὶ ἧττον· ὅσα γὰρ πέφυκε μίγνυσθαι, ἐκεῖνα διὰ τοῦ μᾶλλον καὶ ἧττον προϊέμενα ἐπὶ τὸ ἐναντίον κεχωρήκασιν. οὐ γὰρ ἀθρόον ἡ φύσις μεταπηδᾶν εἴωθεν ἐκ τούτου εἰς τόδε, ἀλλ' ὁδῷ τινι καὶ τάξει κέχρηται·* 425 *οὐδὲ γὰρ εὐθὺς τὸ λευκὸν πρὸς τὸ μέλαν ἐτράπη, ἀλλὰ κατὰ βραχὺ τὴν ἐκ τοῦ λευκοῦ πρὸς τὸ μέλαν μεταβολὴν δεξάμενον ἐκ τοῦ λευκοῦ μέλαν γεγένηται καὶ ἐναντίον ἐκείνου καθέστηκεν. ὁ δὲ ἄνθρωπος οὔτε πλέον τῆς ἀνθρωπότητος σφετερίσασθαι ἴσχυσεν οὔτε τι ἐξ αὐτῆς ἠδυνήθη ἀποβαλέσθαι. διὰ τοῦτο ἡ οὐσία οὔτ' ἐναντιότητα οὔτε τὸ* 430 *μᾶλλον καὶ ἧττον εὐτόνησεν ἐπικτήσασθαι.*

'Μάλιστα δὲ ἴδιον τῆς οὐσίας τὸ ταὐτὸ καὶ ἓν ἀριθμῷ τῶν ἐναντίων εἶναι δεκτικόν.' τοῦτο δὲ τὸ ἴδιον ἐγκρίνει τῶν ἄλλων καὶ ὡς οἰκεῖον προσίεται καὶ ἀσπάζεται ὡς μόνῃ τῇ πρώτῃ οὐσίᾳ προσῆκον καὶ οὐ πάσῃ, ἤγουν ταῖς λοιπαῖς· οἷον Σωκράτης ποτὲ μὲν θερμαίνεται, ποτὲ 435 *δὲ ψύχεται, καὶ ἄλλοτε μὲν ἥδεται, ποτὲ δ' αὖ θλίψεται. ἐπὶ δὲ τῶν ἄλλων οὐδεὶς ἂν τὸ τοιοῦτον θεάσηται, ὅσα μή εἰσιν οὐσία· οἷον τὸ χρῶμα ἓν καὶ τὸ αὐτὸ ὂν οὐ δύναται καὶ λευκὸν καὶ μέλαν γενέσθαι, οὐδ' ἡ αὐτὴ πρᾶξις φαύλη καὶ σπουδαία ἀποδειχθῆναι διὰ τὸ μὴ οὐσίαι εἶναι, ἀλλὰ περὶ τὴν οὐσίαν θεωρεῖσθαι· ὁ δὲ Πέτρος εἷς καὶ ὁ* 440 *αὐτὸς ὢν παρὰ μέρος τῶν ἐναντίων δεκτικός ἐστι. μόνῃ μὲν οὖν ἴδιον τῇ πρώτῃ οὐσίᾳ, ἤγουν τῷ τινὶ ἀνθρώπῳ, οὐ μέντοι γε καὶ ταῖς δευτέραις, φημὶ δὴ τῷ ζῴῳ καὶ τῷ ἀνθρώπῳ, τῷ γένει καὶ τῷ εἴδει· οὔτε γὰρ τὸ γένος οὔτε τὸ εἶδος κυρίως ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ, ἀλλὰ περὶ τὰ ἄτομα τὸ ἓν θεωρεῖται. εἰ δὲ καὶ ἓν λέγεται, ἀλλ' οὐχ ἓν κυ-* 445 *ρίως ἐστὶν ἵνα δέξηται ἐναντιότητα, ἀλλ' οὐδὲ σῶμα ἵνα ἐπιδέξηται*

415–416 cf. El. in Cat. 179, 29–31 || **417** Arist. Cat. 3 b 33–34 || **417–428** cf. El. 180, 34–181, 13 || **423–424** cf. Philop. 75, 17–19 || **428–431** cf. El. 181, 33–182, 3 || **432–433** Arist. Cat. 4 a 10–11 || **433–448** cf. Philop. 77, 27–78, 9

417 *ἡ οὐσία* Arist.: *τῇ οὐσίᾳ* **b**[8] || **432** *ἐναντίων* Arist.: *-ον* **b**[8] || **433** *ἐγκρίνει* ut Philop. cod. F: *ἐκ-* Philop. || **437** fort. *οὐσίαι* legendum

τὴν θερμότητα. ὁμοίως οὐδὲ τὸ γένος· τὰ γὰρ γένη καὶ τὰ εἴδη ἐννοηματικὰ ὁ Ἀριστοτέλης ἐκάλεσεν.

Ἔξ δέ τινων ὡς ἰδίων τῆς οὐσίας ἀποδεδομένων τὸ μὲν πρῶτον καὶ
450 *τὸ τέταρτον καὶ τὸ πέμπτον πάσῃ μὲν ὑπάρχει τῇ οὐσίᾳ, οὐ μέντοι γε μόνῃ, τὸ μέντοι γε δεύτερον, τὸ συνωνύμως λέγεσθαι, οὔτε μόνῃ οὔτε πάσῃ· οὔτε γὰρ τῇ πρώτῃ, ἐπειδὴ καὶ ταῖς διαφοραῖς· τὸ δὲ τρίτον, τὸ τόδε τι σημαίνειν, καὶ πρὸς τούτῳ τὸ ἕκτον μόνῃ εἰ καὶ μὴ πάσῃ. ἐναλλάξαντες οὖν τὸ εἰρημένον εἴπωμεν ὅτι ⟨μάλιστα⟩ ἴδιον τῆς οὐ-*
455 *σίας δοκεῖ εἶναι τὸ τὰ ὑπ' αὐτὴν ἄτομα παρὰ μέρος τῶν ἐναντίων εἶναι δεκτικά· οὕτω γὰρ καὶ πάσης τῆς οὐσίας κατηγορηθήσεται τοῦτο τὸ ἴδιον καὶ οὐδεμιᾷ τῶν ἄλλων ἁρμόσει, φημὶ δὴ τοῖς τοῦ ποσοῦ ἀτόμοις ἢ τοῦ ποιοῦ. 'παρὰ μέρος' δὲ λέγει, ἐπεὶ οὐχ ἅμα λευκαίνεται ὁ Σωκράτης οὔδε ἅμα ὑγιαίνει καὶ νοσεῖ. 'ἓν' δὲ 'τῷ ἀριθμῷ' εἶπεν,*
460 *ἵνα τὸ αὐτὸ φυλάττηται ὑποκείμενον, 'ταὐτὸν' δέ, ἵνα μεταβάλλῃ καθ' ὑπόστασιν· τὸ γὰρ χρῶμα ἀπὸ λευκοῦ μέλαν γίνεται μεταβάλλον καθ' ὑπόστασιν – ἐν γὰρ τῷ λευκὸν εἶναι ἔχει τὴν οἰκείαν ὑπόστασιν –, ὁ δὲ Σωκράτης εἷς καὶ ⟨ὁ⟩ αὐτὸς μένων ποτὲ μὲν θερμός, ποτὲ δὲ ψυχρὸς γίνεται. 'δεκτικὸν' δὲ 'τῶν ἐναντίων' εἴρηκεν, ἵνα ἐνδείξηται*
465 *τοῦ παρὰ μέρος δέχεσθαι τὰ ἐναντία τὴν δύναμιν· οὐ γὰρ εἶπε δέχεσθαι τὰ ἐναντία – ἦν γὰρ ἂν ἐν τῷ αὐτῷ τὰ μαχόμενα –, ἀλλὰ 'δεκτικὸν' εἶπεν, ἵνα τὴν δύναμιν ἐνδείξηται.*

Καὶ ταύτης μὲν τῆς οὐσίας τὸ ἴδιον ἐπειπὼν προστίθησιν 'εἰ μή τις ἄρα τὸν λόγον καὶ τὴν δόξαν ἐνίσταιτο φάσκων τῶν ἐναντίων εἶναι δε-
470 *κτικά', ὃς καὶ προφανῶς τῇ ἀληθείᾳ ἔσται ἀντικείμενος· ὁ γὰρ λόγος ὁ λέγων ὅτι κάθηται ἢ ἵσταται καὶ ὁ δοκῶν εἶναι τοῦτον μὲν χρηστόν, ἐκεῖνον δὲ φαῦλον, οὐχὶ ταῦτα ποιοῦσιν ἐκεῖνα ἢ ψευδῆ ἢ ἀληθῆ, ἀλλὰ τῷ τὸ πρᾶγμα γίνεσθαι ἢ ἀληθῆ ἢ ψευδῆ τὸν λόγον δείκνυσιν· ὁ γὰρ λόγος ὁ προφορικὸς καὶ ὁ ἐνδιάθετος ποσόν ἐστιν, ἡ δὲ δόξα*
475 *ποιόν· ἓν οὖν καὶ τὸ αὐτὸ μένοντα ἀληθείας ἢ ψεύδους παρὰ μέρος εἰσὶ δεκτικά. εἰ γὰρ τύχοι καθήμενος, ἀληθεύει, ἀναστάντος δὲ ψεύδεται. ἡ δὲ οὐσία αὐτὴ κινουμένη ἐκ θερμοῦ ψυχρὰ γίνεται, ὁ δὲ λόγος ἀκίνητος μένων τῷ τὸ πρᾶγμα κινηθῆναι ἀλήθειαν ἢ ψεῦδος ἐδέξατο·*

449–458 78, 17–79, 5 || 458–459 test. a 79, 6 sqq. || 459–467 79, 9–17 || 468–470 Arist. Cat. 4 a 22–23 || 474–476 cf. Philop. 81, 2–5; El. 183, 20–23 || 477–478 cf. Philop. 81, 24–27

454 *μάλιστα* Philop. || 458 post *λευκαίνεται* debuit *καὶ μελαίνεται* ut El. 182, 28; vide autem Philop. test. a 79, 6 sqq. || 463 *ὁ* Philop. || 466 *δεκτικὰ* b^8: sec. Arist. et Philop. correxi || 476 *τύχοι* Philop.: *τύχῃ* b^8

ἡ μὲν γὰρ οὐσία ἐν τῷ δέχεσθαι τὰ ἐναντία τὴν κατὰ ποιὸν κινεῖται κίνησιν, ὁ δὲ λόγος καὶ τὸ πρᾶγμα οὐδέτερον ὑφ' ἑτέρου κινεῖται· 480 *οὔτε γὰρ ὁ λόγος αἴτιος τοῦ μεταβάλλειν τὸ πρᾶγμα καὶ εἰς τὸ ἐναντίον κινηθῆναι οὔτε τὸ πρᾶγμα κινηθὲν παρακεκίνηκέ τι τοῦ λόγου· ὁ αὐτὸς γὰρ ἔμεινε λόγος ἀκίνητος· οὐδὲ γὰρ πέπονθέ τι· τὰ γὰρ δεχόμενα τὰ ἐναντία πάσχει – πάθος γὰρ ἡ εἰς τὰ ἐναντία μεταβολή –, τὰ δὲ πάσχοντα κινεῖται· τὸ πάθος γὰρ κίνησίς ἐστι. καὶ ὁ προφορικὸς δὲ λόγος οὐχ ὑπομένει, ἀλλ' ἅμα τῷ ῥηθῆναι ἔφθαρται, δηλονότι* 485 *οὐδὲ κινεῖται· τὸ γὰρ μὴ ὂν πῶς κινηθήσεται; εἰ δὲ μὴ κινεῖται, οὐδὲ πάσχει· εἰ μὴ πάσχει, οὐδὲ ἐναντίον ἐπιδέχεται. οὐκοῦν ἡ πρώτη οὐσία πάσχουσα τὴν κατὰ τὸ ποιὸν κίνησιν δεκτικὴ τῶν ἐναντίων γίνεται, ὁ δὲ λόγος καὶ ἡ δόξα μὴ κινούμενα οὐδὲ κατὰ τὴν ἑαυτῶν με-* 490 *ταβολὴν τὰ ἐναντία ἐπιδέχονται, ἀλλὰ τῷ τὸ πρᾶγμα μεταβάλλεσθαι συμβέβηκεν ἐπ' αὐτῷ ταῦτα ἢ ἀληθεύειν ἢ ψεύδεσθαι.*

Μάλιστα δὲ ἴδιον τοῦτο τῆς οὐσίας εἶπεν ὅτι καὶ τὸ τρίτον ἴδιον, τὸ πᾶσαν οὐσίαν τόδε τι σημαίνειν, δέχεσθαι φαίνεται, ἀλλὰ μᾶλλον τοῦ τρίτου τούτῳ τῷ ἕκτῳ συντίθεται, ὡς μᾶλλον ἴδιον τῆς οὐσίας καὶ ἀλη- 495 *θὲς ἐπὶ μόνης τῆς ἀτόμου οὐσίας· ἐκεῖνο μὲν γὰρ εἰ καὶ τῇ πρώτῃ οὐσίᾳ ἤγουν τῷ τινὶ ἀνθρώπῳ ἁρμόττει, ἀλλὰ κατὰ πάσης οὐσίας εἴρηκεν αὐτό, τοῦτο δὲ ἐπὶ μόνης τῆς ἀτόμου οὐσίας τῆς ἓν καὶ τὸ ταὐτὸν τῷ ἀριθμῷ οὔσης.*

(Figura XI v. ad fin. tom.)

Μετὰ τὴν οὐσίαν ἔταξε τὸ ποσὸν διὰ τὸ ταύτην μόνην ὑποκεῖσθαι 500 *τοῖς ἄλλοις πρὸς κατηγορίαν καὶ ἀφ' ἑαυτῆς τὸ εἶναι ἔχουσαν, τὰς δ' ἄλλας μὴ ἄνευ ταύτης ὑφίστασθαι καὶ κατ' ἄλλον δὲ τρόπον. ἔταξε δεύτερον τὸ ποσὸν ὅτι ἐν τῷ τῆς οὐσίας λόγῳ ἐμνήσθη αὐτοῦ, ἡνίκα ἔλεγεν ὅτι οὐκ ἴδιον τῆς οὐσίας τοῦτο, τὸ μηδὲν ἔχειν ἐναντίον, ἀλλὰ καὶ τοῦ ποσοῦ ἴδιον. καὶ ἐν τῇ φύσει δὲ τῶν πραγμάτων δευτέραν* 505 *ἔχει τάξιν τὸ ποσόν· ἡ γὰρ πρώτη ὕλη ἀνείδεος οὖσα ὡς ἀσώματος καὶ ἀσχημάτιστος πρότερον ἐξογκωθεῖσα ποσοῦται καὶ γίνεται τριχῇ διαστατή, ὅ φησιν Ἀριστοτέλης δεύτερον ὑποκείμενον, εἶθ' οὕτως δέχε-*

479–488 82,11–21 || 488–492 83,2–4 || 500–509 83,8–18 || 503 Arist. Cat. 3 b 24–29 || 508 cf. Arist. Met. 1016 a 20; 1017 b 24; Simpl. in Cael. 134,10; 599,5

484 *ἡ* Philop.: *ἢ* b[8] || 498 *τὸ* Arist.: *τῷ* b[8] || 506 *ἀνείδεος* Philop.: *ἀνείδος* b[8] || 508 *διαστατόν* Philop.

ται τὰς ποιότητας καὶ γίνεται σύνθετος καὶ ποιεῖ τὰ στοιχεῖα· τὸ γὰρ
510 τριχῇ διαστατὸν δεξάμενον τὰς ποιότητας γίνεται στοιχεῖον. καὶ ἐντεῦθεν οὖν δίκαιόν ἐστι ταχθῆναι μετὰ τὴν οὐσίαν τὸ ποσόν, ὅτι ἐκείνη πάλαι διαιρουμένη εἰς πρῶτον καὶ δεύτερον διεκέκριτο, τὸ δὲ πρῶτον καὶ δεύτερον τοῦ ποσοῦ ἐστι. καὶ ὁ τοῦ σώματος δὲ ὁρισμὸς τῷ ἀριθμῷ προσκέχρηται, φημὶ δὴ τῷ τριχῇ διαστατῷ. τὸ μὲν οὖν σῶμά
515 ἐστιν οὐσία, ὁ δὲ ἀριθμὸς τοῦ ποσοῦ.

'Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον, τὸ δὲ συνεχές.' καὶ συνεχὲς μέν ἐστιν οὗ τὰ μόρια ἡνωμένα καὶ συμπεφυκότα ἀλλήλοις εἰσὶ καὶ πρός τινα κοινὸν ὅρον συνάπτουσι, διωρισμένον δὲ τὸ μὴ οὕτως ἔχον, ἤγουν τὸ ἔχον τὰ μέρη αὐτοῦ διῃρημένα καὶ μὴ πρός τινα κοινὸν
520 ὅρον συνάπτοντα· οἷον τὸ δίπηχυ ξύλον καὶ ἡνωμένα τὰ μέρη αὐτοῦ κέκτηται καὶ συνῃρημένα ἀλλήλοις καὶ πρός τινα κοινὸν ὅρον συνάπτει, ἤγουν τὴν ἐπιφάνειαν, ὁ δὲ ἓξ ἀριθμὸς διωρισμένος ἐστὶ καὶ διῃρημένα τὰ μέρη αὐτοῦ εἰσι καὶ οὐδὲ κοινὸν ὅρον κέκτηται τὸν συνδέοντα καὶ συνάπτοντα τὰ μέρη αὐτοῦ ὥσπερ τινὰ ἀκρογωνιαῖον
525 λίθον· λέγεις γὰρ 'τρία καὶ τρία ἕξ'· καὶ εἰπὼν τὰ τρία μόνον σιωπᾷς, καὶ αὖθις ἐπιφέρεις ἕτερα τρία, ἅπερ διῃρημένα μέρη τοῦ ἓξ εἰσι.

'Τὰ μὲν οὖν ἔκθεσιν ἔχοντα πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκεν.' ἔκθεσιν δὲ ἐκεῖνα ἔχειν λέγεται ἃ κεῖταί που καὶ δεικτικὰ καὶ συνεστηκότα ὅλα ἅμα τὰ μόρια ἔχει· οἷον ὁ λίθος κεῖται ἐν τοίχῳ
530 καὶ δεικτικός ἐστιν – ὑποπίπτει γὰρ τῇ αἰσθήσει –, καὶ συνεστηκότα ὅλα αὐτοῦ τὰ μόρια καθέστηκεν, ἤγουν συνημμένα καὶ μὴ διῃρημένα. ταῦτα δὲ τὰ οὕτως ἔχοντά εἰσι σῶμα, ἐπιφάνεια, γραμμὴ καὶ ὁ τόπος· ταῦτα γὰρ καὶ κεῖταί που καὶ δεικτικά εἰσι καὶ συνεστηκότα ἔχουσι τὰ μόρια αὐτῶν. τὰ δὲ μὴ ἔκθεσιν ἔχοντα ἀριθμός εἰσι καὶ λόγος· λέ-
535 γεις γὰρ πέντε καὶ πέντε καὶ ἀποτελεῖς τὸν δέκα· τῷ γὰρ διπλασιασμῷ τῶν πέντε γίνεται ὁ δέκα, ὅς ἐστιν ἀριθμός. ὥστε οὐκ εἰσι τοῦ ἀριθμοῦ τὰ μέρη συνημμένα ἢ συνεστηκότα, ἀλλὰ διῃρημένα καὶ διακεκριμένα, εἰ φάσκεις πέντε καὶ μετ' ὀλίγον πέντε. ὡσαύτως δὲ καὶ ὁ

509–510 cf. Philop. test. a ad 83,18 || 510–515 cf. Philop. 83,21–84, 3 || 516 Arist. Cat. 4 b 20 || 516–519 cf. Philop. 84,5–8 || 527 sq. Arist. Cat. 4 b 21–22 || 527–534 cf. Philop. 88,18–26 || 538–543 cf. Philop. 88, 27–89,1

509 *σύνθετον* Philop. a || 512 exspectaveris *πρώτην καὶ δευτέραν* ut Philop. || 514 *τῷ τρ. διαστατῷ* Philop.: *τὸ τρ. διαστατόν* b[8] || 517 *ἡνωμένα* Philop.: *ἠνωμένα* b[8] || 527 *οὖν* non habet Arist. | debuit *ἐκ θέσιν ἐχόντων* ut Arist. || 528 immo *ἐκ θέσιν δὲ ἐχόντων ἐκεῖνα* (cf. Philop. 88, 20–21) || 534 *ἔκθεσιν ἔχοντα*] v. ad 527 et 528

λόγος τῶν μὴ ἔκθεσιν ἐχόντων ἐστίν· ὁ γὰρ λόγος οὔτε τῇ αἰσθήσει ὑποπίπτει οὔτε τὰ μόρια αὐτοῦ συνεστηκότα εἰσίν, ἀλλὰ διῃρημένα· 540 *ἑκάστη γὰρ τῶν συλλαβῶν ἰδίαν περιγραφὴν κέκτηται καὶ ἡ ῥηθεῖσα οὐχ ὑπομένει τὴν ῥηθησομένην, ἀλλὰ πρὶν ἢ τὴν δευτέραν λεχθῆναι ἡ πρώτη ἔφθαρται καὶ ὄλλυται. διῄρηται δὲ τὸ ποσὸν εἰς δύο, εἰς συνεχὲς καὶ διωρισμένον. καὶ συνεχὲς μέν ἐστι σῶμα, γραμμή, ἐπιφάνεια, τόπος καὶ χρόνος, ὧν καὶ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτουσι.* 545 *τὸ γὰρ σημεῖον ῥυϊσκόμενον καὶ ἐκτεινόμενον ποιεῖ τὴν γραμμήν, ἧς καὶ κοινὸς ὅρος ἐστὶν ὁ συνδέων τὰ ταύτης μόρια, τὸ σημεῖον. ὃ δὴ σημεῖον δηλαδὴ δυνάμει καὶ οὐκ ἐνεργείᾳ δεῖ ἀνειληφέναι· ἐὰν γὰρ ἐνεργείᾳ τοῦτο προσλήψῃ, οὐκ ἔστι συνεχὴς ἡ γραμμή, ἀλλὰ διῃρημένη τεμνομένη εἰς πλεῖστα σημεῖα. ἡ δὲ γραμμὴ εἰς εὖρος τανυθεῖσα* 550 *τὴν ἐπιφάνειαν ἐκτελεῖ ἧς κοινὸς ὅρος ἡ γραμμή. πάλιν ἡ ἐπιφάνεια εἰς βάθος προελθοῦσα ἀπεργάζεται σῶμα· σῶμα δέ ἐστι τὸ ἔχον τρεῖς διαστάσεις, μῆκος, πλάτος καὶ βάθος· οὗτινος σώματος καὶ κοινὸς ὅρος ἡ ἐπιφάνειά ἐστι. τοὺς δὲ ὅρους τῆς ἐπιφανείας καὶ τοῦ σώματος δυνάμει προσληπτέον, ἵνα μὴ ἐκ τῆς ἐνεργείας εἰς διῃρημένα τὰ συν-* 555 *εχῆ προβήσονται, τεμνομένη ἡ μὲν ἐπιφάνεια εἰς πολλὰς γραμμάς, τὸ δ' αὖ σῶμα εἰς πλείονας ἐπιφανείας, εἰς μῆκος, βάθος καὶ πλάτος. ἕκαστον δὲ τῶν εἰρημένων ὑπὸ τῶν ἰδίων διαστάσεων περατοῦται, ἡ μὲν γραμμὴ ὑπὸ μιᾶς διαστάσεως, ἡ δ' ἐπιφάνεια ὑπὸ δύο, μήκους καὶ πλάτους, τὸ δὲ σῶμα ὑπὸ τριῶν, μήκους, βάθους καὶ πλάτους. καὶ* 560 *πᾶν δὲ πέρας οὗτινός ἐστι πέρας λείπεται αὐτοῦ μιᾷ διαστάσει· τὸ γὰρ σῶμα τριχῇ διαστατὸν ὂν ὑπὸ τῆς ἐπιφανείας περιγραφήσεται τῆς δύο διαστάσεις ἐχούσης, αὕτη δὲ ὑπὸ τῆς μονοειδεστάτης γραμμῆς τῆς ἓν διάστασιν κεκτημένης, ἡ δὲ γραμμὴ ὑπὸ τοῦ σημείου οὗ μέρος οὐδέν.* 565

Διωρισμένον δὲ ποσόν ἐστιν ἀριθμὸς καὶ λόγος· καταμετρεῖται γὰρ καὶ ὁ λόγος βραχείᾳ καὶ μακρᾷ συλλαβῇ· πᾶν δὲ τὸ μετρούμενον ποσόν ἐστιν ὧν καὶ τὰ μόρια οὐ πρός τινα κοινὸν ὅρον συνάπτουσιν, ὡς πρὸ βραχέος εἰρήκαμεν· τὸν γὰρ δέκατον ἀριθμὸν εἰ διέλοιμεν εἰς δύο πεντάδας, ἑκάστην εὑρήσομεν ἰδίαν περιγραφὴν κεκτημένην καὶ 570 *μηδέ τινα μονάδα τὰ διῃρημένα μέρη συνάπτουσαν· οἷον ὁ πέντε καὶ*

546 cf. Philop. 86, 1–2 || **547–549** 90, 15–17 || **550–555** 91, 4–9 || **559–565** 84, 30–85, 7 || **564** sq. Eucl. Elem., Def. 1 || **566** cf. Arist. Cat. 4 b 22–23 || **566–567** 4 b 33–34 || **567–582** cf. Philop. 89, 23–90, 7

539 debuit *ἐκ θέσιν* || **547** *συνδέον* **b**[8]: correxi || **564** *ἓν*] immo *μίαν* | post *σημείου* lin. et punct. ∸ scr. **b**[8] || **569** *δέκα* Philop. | *διέλοιμεν* Philop.: *διέλομεν* **b**[8]

πέντε ἀποτελοῦσι τὸν δέκα καὶ ἕκαστον ἰδίως λέγεταί τε καὶ περιγράφεται· ἢ ὁ ἑπτὰ διαιρούμενος εἰς τέσσαρα καὶ τρία οὐκ ἔστι τις ὅρος συνάγων τὰ ἑπτά, μὴ διῃρημένα ταῦτα λέγεται ὥσπερ καὶ ἐπὶ τοῦ
575 *συνεχοῦς. ὡσαύτως δὲ καὶ ὁ λόγος ἐν διαφόροις συλλαβαῖς ἐγχαράττεται καὶ ἑκάστη συλλαβὴ ἰδίαν περιγραφὴν κέκτηται καὶ ἢ βραχεῖα ἢ μακρά ἐστι καὶ οὐδείς ἐστιν ὅρος συνημμένως παρασκευάζων τοῦτον ἐκφράζεσθαι. ἀλλὰ καὶ διττός ἐστιν ὁ λόγος, ὁ μὲν προφορικός, ὁ δὲ ἐνδιάθετος, ἤγουν ὁ ἐν τῇ ψυχῇ θεωρούμενος. περὶ δὲ τοῦ προφορικοῦ*
580 *ὁ λόγος τῷ Ἀριστοτέλει, περὶ δὲ τοῦ ἐνδιαθέτου οὐδεὶς σκοπὸς διὰ τὸ μηδὲ ποσὸν εἶναι τὸν τοιοῦτον, ἀλλ' εἰ ἄρα ποιότητα ψυχῆς· διάθεσις γάρ τις ἢ ἕξις τὴν σύστασιν ἔχουσα.*

Δέον δὲ γινώσκειν ὅτι ὁ μὲν Ἀριστοτέλης ἐπὶ πάσης γραμμῆς τὸ ἐπίπεδον φάσκει· κυρίως γὰρ ἐπίπεδος γραμμὴ λέγεται ἡ κατὰ μῆκος
585 *καὶ πλάτος ἴση. οἱ μὲν γὰρ παλαιοὶ πᾶσαν ἁπλῶς ἐπιφάνειαν ἐπίπεδον καλοῦσιν – ἀδιάφορον γὰρ αὐτοῖς ἐπίπεδον ἢ ἐπιφάνειαν λέγειν –, οἱ δὲ νεώτεροι οὐ πᾶσαν ἐπιφάνειαν ἐπίπεδον καλοῦσιν, ἀλλὰ τὴν ἀποτεταμένην μόν⟨ον⟩, γένος λέγοντες τὴν ἐπιφάνειαν καὶ ταύτην διαιροῦντες εἴς τε τὴν ἐπίπεδον, κυλινδρικὴν καὶ σφαιρικὴν καὶ εἴ τις ἄλλη*
590 *εἴη. ἐπεὶ οὖν ἀπεδείχθη τὸ σῶμα συνειλημμένα καὶ συνεχῆ ἔχειν τὰ μόρια αὐτοῦ καὶ πᾶν δὲ σῶμα ἐν τόπῳ περιέχεται, ὁ δὲ τόπος ὁ περιέχων τὸ σῶμα κοινὸν ὅρον τὴν ἐπιφάνειαν κέκτηται, αὕτη δὲ τὸ σῶμα ὡς καὶ τὸν τόπον περιγράφει, τούτου δὲ κοινὸς ὅρος ἡ ἐπιφάνεια ἡ συνάγουσα καὶ συνδέουσα τὰ τούτου μόρια, τὸ δὲ σῶμα τόπῳ*
595 *περιέχεται οὗ καὶ ὁ κοινὸς ὅρος ἐστὶν ἡ ἐπιφάνεια, συνεχὴς ἄρα ἔσται καὶ ὁ τόπος ὁ τὸν αὐτὸν ὅρον ἔχων τοῦ σώματος· οὐκοῦν τὰ τοῦ τόπου μόρια ἤγουν τὰ ἄνω, τὰ κάτω, τὰ δεξιά, τὰ ἀριστερά, ἅπερ κατέχει ἕκαστον μόριον τοῦ σώματος, τὸν αὐτὸν ὅρον κέκτηται ὅνπερ καὶ τὸ σῶμα, ὅς ἡ ἐπιφάνειά ἐστι· καὶ ὁ τόπος ἄρα συνεχὴς ἔσται τὸν*
600 *αὐτὸν ὅρον ἔχων τοῦ σώματος ἤγουν τὴν ἐπιφάνειαν.*

Μέσον δὲ τὸν χρόνον ὁ Ἀριστοτέλης τέταχε καὶ ἐν μὲν τῇ προτέρᾳ διαιρέσει τοῖς συνεχέσι ποσοῖς συνηρίθμησεν, ἐνταῦθα δὲ τοῖς διωρισμένοις· ἐπεὶ γὰρ εἶδεν ὅτι ⟨τῇ⟩ τοῦ νῦν κλήσει καὶ τὰ ἕτερα μέρη τοῦ χρόνου συνάπτονται, ἤγουν ὁ παρεληλυθὼς καὶ ὁ μέλλων, καὶ ὥσπερ

585–590 cf. Philop. 90,25–29 ‖ **590–595** 91,21–25 ‖ **596–599** cf. Arist. Cat. 5 a 10–13 ‖ **601–602** cf. Philop. 91,28–29

581 *εἰ* Wk.: *ἢ* $\mathbf{b}^8$ ‖ **588** *μόνον* Philop. a: *μόν* et spat. vac. 2 litt. $\mathbf{b}^8$ | *γένος* Philop.: *γένους* $\mathbf{b}^8$ ‖ **590** *ἔχον* Philop. 91, 21 ‖ **596** *οὐκοῦν* Arist.: *ἤγουν* $\mathbf{b}^8$ ‖ **601** *προτέρᾳ* Philop.: *α*ʹ $\mathbf{b}^8$ ‖ **603** *τῇ* add. Wk.

τις κοινὸς ὅρος ἑκατέροις τοῖς μέρεσι πέφυκε, τοῖς συνεχέσι συντέταχεν. αὖθις δὲ κατιδὼν ὅτι τὰ τοῦ χρόνου μέρη φθίνονταί τε καὶ παροδεύονται καὶ τὸ ἐνεστὸς εἰς τὸν παρῳχημένον μετήμειπται, ὁ δέ γε μέλλων τῷ ἐνεστῶτι ἀποδέδεικται, καὶ πρὶν ἤ τις στάσις αὐτῷ προσγένηται, παρῴχηκέ τε καὶ ἀπέπτη, καὶ τὸ μὲν τοῦ χρόνου παρῳχημένον ἐφεύρηται, τὸ δὲ ἐνεστὸς κατωνομάσθη, τὸ δὲ τῷ μέλλοντι ἀποκεκλήρωται, καὶ ἰδίαν κλῆσιν ἑκάτερον προσηρμόσατο, τοῖς συνεχέσι συντέταχεν, ὅτι τὰ τοῦ χρόνου μέρη παροδεύει τε καὶ παρέρχεται καὶ εἰς τὸ μέλλον τὸν παρῳχημένον διατίθησι καὶ πρὶν ἢ τὸ ἐνεστὸς γνῶναι τὸ ἐπερχόμενον κατείληφε καὶ ⟨εἰς⟩ τὸν παρῳχημένον ἀπέδρασε. καὶ τῇ τοῦ καιροῦ ῥοπῇ πολλὰς πραγμάτων μεταβολὰς ἐθεάσατο καὶ οὐδέν τι στάσιμον εἶναι τούτῳ κατεῖδε καὶ οὐδέν τι τῶν ἔκθεσιν ἐχόντων πρὸς ἄλληλα ἢ συνεστηκότα κεκτημένων τὰ μόρια †πεφύκασι† μετὰ τῶν διωρισμένων ἀφώρισεν· οὔτε γὰρ κεῖταί που καὶ δεικτικά ἐστιν οὔτε συνεστηκότα τὰ τοῦ χρόνου μόρια καθέστηκεν, ἀλλὰ διῃρημένα καὶ διεζευγμένα ὥσπερ τοῦ ἀριθμοῦ. καὶ ταῦτα μὲν ποσὰ λέγονται, τὰ δ' ἄλλα κατὰ συμβεβηκός· εἰς ταῦτα γὰρ τὰ κυρίως ποσὰ ἐνατενίζοντες ὥσπερ τινὶ παραδείγματι καὶ τὰ λοιπὰ ποσὰ κατὰ συμβεβηκὸς ὀνομάζομεν. τῷ γὰρ πολὺ λευκὸν ἢ ὀλίγον λέγεσθαι, τῷ τὴν ἐπιφάνειαν ἢ πολλὴν ἢ ὀλίγην εἶναι τοῦτο λέγεται. καὶ ἐπὶ τῆς πράξεως δὲ ὁμοίως· τῷ γὰρ τοῖς δέκα χρόνοις γενέσθαι τινὰ πόλεμον ἢ ἐχθρῶν ἐπανάστασιν ἢ ἐθνῶν ἐπιδρομὴν τὸν χρόνον λέγομεν μακρὸν εἶναι, καὶ ἐξ αὐτοῦ καὶ τὴν πρᾶξιν κατὰ συμβεβηκὸς μακρὰν καὶ τὴν κίνησιν πολλὴν καθὸ τὸν χρόνον πολὺν εἶναι γινώσκομεν. χρόνος γάρ ἐστι μέτρον κινήσεως. γίνεται δὲ ἡ κίνησις καὶ ἐν μεγέθει, καὶ ὡς ἔχει τὸ μέγεθος, οὕτω καὶ ⟨ἡ⟩ κίνησις, καὶ ὡς ἡ κίνησις, καὶ ὁ χρόνος. ὡς ἂν οὖν ἔχῃ τὸ μέγεθος, οὕτω καὶ ἡ κίνησις καὶ ὁ χρόνος· εἰ μὲν συνεχές, συνεχῆ καὶ τὰ λοιπά, εἰ δὲ διωρισμένον, διωρισμένη καὶ ἡ κίνησις καὶ ὁ χρόνος.

Βουλόμενος δὲ παραδοῦναι τοῦ ποσοῦ τὸ ἴδιον, τὰ μὴ ὄντα ἴδια πρῶτον ἐκτίθησιν, ἵνα μετὰ τὸ ταῦτα μὴ τῷ ποσῷ προσήκοντα ἀποδεῖξαι καθαρῶς τὸ τούτου προσαγάγῃ ἴδιον. φησὶν οὖν ἴδιον εἶναι δοκεῖν τοῦ ποσοῦ τὸ μηδὲν ἔχειν ἐναντίον, οἷον τῷ διπήχει ἢ τῷ τρι-

605 610 615 620 625 630 635

616–620 92, 1–5 || **621–628** 92, 18–28 || **628–629** Psell. Omn. doct. 102, 10; v. supra op. 47, 78 || **636** cf. Arist. Cat. 5 b 11–14 || **637–639** cf. Philop. 93, 28–94, 2

614 *εἰς* supplevi || **616** debuit *ἐκ θέσιν* (cf. 527 et cett.) || **617** *πεφύκασι*] fort. lac. statuenda est || **618** *δεικτικός* **b**[8]: correxi || **630** *ἡ* addidi || **637** *δοκεῖν* scripsi (cf. Philop. 93, 27): *δοκεῖ* **b**[8]

πήχει οὐδέν ἐστιν ἐναντίον· ὅσα γὰρ ἀφωρισμένην ἔχουσι τὴν ποσότητα, οὐδὲν αὐτοῖς ἐστιν ἀντίξουν. εἰ δὲ καὶ περὶ τὴν γραμμὴν
640 *εὐθύτης καὶ καμπυλότης εὑρίσκεται καὶ περὶ τὸν ἀριθμὸν περιττὸς καὶ ἄρτιος, ἀλλ' ἄλλο ἐστὶν αὐτὸ ἐκεῖνο ἐναντίον εἶναί τινι καὶ περὶ αὐτὸ εἶναι ἐναντίον. τὸ οὖν ποσὸν αὐτὸ καθ' ἑαυτὸ οὐδενί ἐστιν ἐναντίον, οὐδὲ τῷ ἀορίστῳ ποσῷ ἐστί τι ἐναντίον, τῷ μικρῷ καὶ μεγάλῳ καὶ πολλῷ καὶ ὀλίγῳ. εἰ δέ τις τὸ μικρὸν φαίη τῷ μεγάλῳ ἐναντίον*
645 *καὶ τὸ πολὺ τῷ ὀλίγῳ, ἀλλὰ τὸ ἐκ πολλῶν μικρῶν τὸ μέγα συνίστασθαι καὶ τὸ πολὺ ἐξ ὀλίγων συντίθεσθαι ἐξωθεῖ ταῦτα τῆς τῶν ἐναντίων φθορᾶς. ἀλλ' οὐδὲ τὸ ἄρτιον τῷ περιττῷ ἐναντίον· τὰ γὰρ ἐναντία τὴν πρὸς ἄλληλα φθορὰν ἀπεργάζονται, οὐχὶ τῆς ἑκατέρας σύστασιν ἐκτελοῦσιν, δύο δὲ περιττοὶ ἀριθμοὶ ἕνα ἄρτιον τιθέασιν.*
650 *οὐδὲ γὰρ τῷ συνεχεῖ οὔτε τῷ διωρισμένῳ ποσῷ ἐναντίον τί ἐστι, ἐπεὶ μηδὲ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχονται, ἅπερ δὴ πρὸς ἐναντιότητα τῷ χρωμένῳ ἀπάγουσιν· οὐδὲ τὸν τρίτον τοῦ δευτέρου μᾶλλόν φαμεν ἀριθμόν, οὐδὲ τὸ τρίγωνον τοῦ τριγώνου μᾶλλον καὶ ἧττον λέγομεν· μεῖζον δὲ καὶ ἧττον καλοῦμεν, μᾶλλον δὲ οὔ. ὥστε οὐ ποσὸν τὸ μέγα*
655 *καὶ μικρόν· οὐκοῦν οὐδὲ ἐναντίον, ἀλλὰ μᾶλλον πρός τι. τὸ γὰρ μέγα πρὸς μικρὸν λέγεται μέγα καὶ πρὸς ἕτερον, οὐ πρὸς ἑαυτὸ συγκρινόμενον· τῶν γὰρ πρός τι ἴδιον τὸ ἑνὸς τεθέντος ἕτερον συνεισάγεσθαι κἀκείνου ἀναιρεθέντος καὶ τὸ λοιπὸν συναναιρεῖσθαι. καὶ τὸ πολὺ γὰρ πρὸς ὀλίγον λέγεται πολύ· ἑκάτερον γὰρ πρὸς ἕτερον τὴν ἀναφορὰν*
660 *κέκτηται. τὸ μέγα δὲ καὶ τὸ μικρὸν καὶ τὸ μακρὸν καὶ τὸ βραχὺ ἐπὶ συνεχῶν εἴωθε λέγεσθαι, τὸ πολὺ δὲ καὶ τὸ ὀλίγον ἐπὶ διωρισμένων. εἰ γὰρ καὶ μακρὸς λέγεται ὁ λόγος καίτοι ποσὸν ὢν διωρισμένον, ἀλλ' ὡς συνεχὴς ὢν κατὰ τὸν σκοπὸν οὕτω κατονομάζεται. εἰ δὲ καὶ τὸ ὄρος τὸν Ὄλυμπον μέγα ὂν μικρόν τις φαίη, ἀλλὰ πρὸς τὴν γῆν παραβάλ-*
665 *λων μικρὸν ἐρεῖ· καὶ τοὺς ἐν Ἀθήναις ὄντας πρὸς τοὺς ἐν θεάτρῳ συγκρίνων ὀλίγους ἐρεῖ ἄν τις, τὸν δὲ κύαμον μέγαν ὡς πρὸς κέγχρον ἀντι⟨τι⟩θέμενον· πρὸς γὰρ ἄλλο καὶ ἄλλο παραβαλλόμενον μέγα καὶ μικρὸν λέγεται. λοιπὸν οὐ ποσὰ ταῦτα ἀλλὰ τῶν πρός τι. τὰ γὰρ ἐναντία πρῶτόν εἰσι καθ' ἑαυτὰ ἀπολελυμένην ἔχοντα τὴν ὑπόστασιν καὶ*
670 *οὕτως τὸν πρὸς ἄλληλα πόλεμον δέχονται – οἷον τὸ λευκὸν ⟨καὶ⟩ τὸ*

657–660 cf. Philop. 94,13–19 ‖ **663–667** 94,20–29 et 95,31–96,1 ‖ **668–672** 96,30–97,6

645 *τὸ*^{2}] *τῷ* **b**^{8}: correxi ‖ **648** *τῆς*] leg. *τὴν*? ‖ **651** sq. an *τὸ χρώμενον* legendum? ‖ **654** *ποσὴν* **b**^{8}: correxi ‖ **662** *ὢν* scripsi: *ὂν* **b**^{8} ‖ **667** *ἀντιθέμενον* **b**^{8}: correxi ‖ **670** *καὶ* sec. Philop. addidi

μέλαν, καὶ ἐξὸν τὸ λευκὸν εἰπόντα μὴ παραλαβεῖν τὸ μέλαν –, τὰ δὲ πρός τι καὶ συντίκτεται καὶ συναπόλλυται καὶ οὐκ ἔχει φύσιν ἀφωρισμένην ἐν ἑαυτοῖς, ἀλλ' ἐν ταῖς ἄλλαις κατηγορίαις ὑφίστανται· τὸ γὰρ πολὺ καὶ τὸ ὀλίγον πρός τι ἐν ποσῷ συνιστάμενα, τὸ λευκὸν καὶ γλυκύτερον καὶ βαρύτερον πρός τι ἐν ποιῷ. ὅταν οὖν λέγωμεν πολὺ τὸ 675 *λευκόν, ἐπεὶ τοῦτο τῶν πρός τι ὂν περὶ τὸ ποσὸν καὶ οὐ τὸ ποιὸν καταγίνεται, οὐ κυρίως λέγομεν οὐδὲ καθ' ἑαυτά, ἀλλὰ διὰ τὸ τὴν ἐπιφάνειαν πολλὴν εἶναι τοῦ ποσοῦ. εἰ δέ τις ἀντιπέσῃ φάσκων ὅτι τὸ παχὺ καὶ λεπτὸν καὶ πλατὺ καὶ στενὸν ἐναντία εἰσίν, ἅπερ τῷ ποσῷ θεωροῦνται, ἐνωτισθήσεται ὡς οὐ ποσὰ ταῦτα, ἀλλ' ἐν τῷ ποσῷ τὸ εἶ-* 680 *ναι κέκτηνται ὡς τὸ μέγα καὶ μικρόν.*

Ἐπεὶ οὖν ἐναντιότης οὐκ ἔστιν ἐν ποσῷ, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον τοῦτο ἐπιδέξεται διὰ τὸ ἐκ τῆς τῶν ἐναντίων μίξεως τὸ μᾶλλον καὶ ἧττον γίνεσθαι· ὅπου γὰρ ἐναντιότης, ἐκεῖ τὸ μᾶλλον καὶ ἧττον γνωρίζεται. οὐκ ἴδιον δὲ μόνον τούτῳ, ἀλλὰ καὶ τῇ οὐσίᾳ ὑπάρχει τὸ μὴ 685 *ἐπιδέχεσθαι ἐναντιότητα ἢ τὸ μᾶλλον καὶ ἧττον. ὡς οὖν καὶ τῇ οὐσίᾳ ὑπάρχον ἀποδεδοκίμασται.*

"Ἴδιον δὲ μόνον τοῦ ποσοῦ τὸ ἴσον καὶ ἄνισον', ἐπειδὴ καὶ μόνῳ καὶ παντὶ ποσῷ πρόσεστι· γραμμὴ γὰρ γραμμῇ ἴση καὶ ἄνισος καὶ τόπος τόπῳ καὶ ἐπιφάνεια ἐπιφανείᾳ καὶ σῶμα σώματι καὶ λόγος 690 *λόγῳ καὶ ἀριθμὸς ἀριθμῷ ἴσος καὶ ἄνισος. ἐὰν δὲ ἐπ' ἄλλου τοῦτο εἴπῃς, οἷον ἐπὶ λευκοῦ, οὐ προσφυῶς ἐρεῖς, ἀλλ' ὅμοιον καὶ ἀνόμοιον. εἰ δὲ καί ποτε ἐπὶ μέλανος ἴσον καὶ ἄνισον φήσεις, οὐ καθὸ ποιὸν τοῦτο ἐρεῖς, ἀλλὰ καθὸ ποσὸν εἴτουν σῶμα.*

(Figura XII v. ad fin. tom.)

Μετὰ τὸ ποσὸν ἔταξε τὰ πρός τι, ὅτι ἐν τῇ τούτου διδασκαλίᾳ τού- 695 *των ἐμνήσθη, ἔνθα ἔλεγε τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον, ταῦτα δὲ τῶν πρός τί εἰσι· πρὸς γὰρ τὸ μικρὸν τὸ μέγα λέγεται καὶ πρὸς τὸ πολὺ τὸ ὀλίγον γνωρίζεται. τὸ δὲ ποιὸν μετὰ τὰ πρός τι ἠρίθμησε, καίτοι τὸ ποιὸν καθ' ἑαυτό ἐστι καὶ ἰδίαν ὑπόστασιν κέκτηται, τὰ δὲ πρός τι οὐκ ἐφ' ἑαυτοῖς ἀλλ' ἐν ταῖς κατηγορίαις τὸ εἶναι ἔχου-* 700 *σι, προτιμότερα δὲ τὰ καθ' ἑαυτὰ τῶν ἐν σχέσει. ἀλλ' ὡς ἔναυλον τὴν*

672–678 99,4–12 || **678–681** 101,11–14 || **682–687** 101,23–26 || **688** Arist. Cat. 6 a 26 || **688–694** cf. Philop. 101,29–102,7 || **695–707** cf. Philop. 102,16–103,1 || **696** cf. Arist. Cat. 5 b 27–28

688 *μόνον*] *μάλιστα* Arist. || **691** *ἄλλου* Philop.: *ἄλλῳ* **b**[8]

διδασκαλίαν τῶν πρός τι ἔχοντες, ἵνα μὴ τοῦ ποιοῦ λόγον τιθέμενοι τούτων τέλεον ἀπομνημονεύσωμεν, διὰ τοῦτο τοῦ ποιοῦ τὰ πρός τι προκέκρικε. πεποίηκε δὲ τὴν ἐπιγραφὴν 'περὶ τῶν πρός τι' καὶ οὐχὶ
705 *ἑνικῶς ταύτην προήγαγε διὰ τὸ τὰ πρός τι σχέσιν εἶναί τινα, ἡ δὲ σχέσις τοὐλάχιστον ἐν δύο πράγμασι θεωρεῖται· διὰ τοῦτο πληθυντικῶς ἐπέγραψε· τὸ γὰρ δεξιὸν ἀριστεροῦ ἐστι δεξιόν. ἀλλὰ δυνατὸν καὶ ἑνικῶς καὶ πληθυντικῶς ἐπιγράφειν· αὐτὰ μὲν γὰρ τὰ πράγματα περὶ τῶν πρός τι λέγεται, αὐτὴ δὲ ἡ κατηγορία ἑνικῶς, ὥσπερ καὶ ἐπὶ τοῦ*
710 *ποσοῦ καὶ τῶν λοιπῶν ἐπιφέρομεν ἑνικῶς τὴν κατηγορίαν, δηλοῦντες διὰ τῆς ἐπιγραφῆς οὐχὶ αὐτὰ τὰ πράγματα τὰ ἐν αὐτοῖς ὄντα.*

Οὐκ εὐθὺς δὲ τὸν ὁρισμὸν τῶν πρός τι ἀποδίδωσιν, ἀλλὰ πρότερον ἐκτίθησι ὃν οἱ παλαιοὶ ἔθεντο, εἶτα δεικνὺς ὅτι πολλὰ ἄτοπα ἐντεῦθεν ἐπιφύονται, ὕστερον τὸν ἴδιον τῶν πρός τι ἀποδίδωσιν, ὥσπερ ἔθος
715 *αὐτῷ πέφυκεν. ἵνα δὲ μὴ δόξῃ τῶν παλαιῶν κατατρέχειν, τὸν αὐτῶν ἐκεῖνον ἐκτίθεται ὁρισμόν· ἐν ᾧ καὶ ἄτοπά τινα τούτῳ ἑπόμενα ἀποδεδειχώς, τὸν οἰκεῖον ἀνεπιφθόνως ἐπικρατύνει.*

Ἴσθι δὲ ὅτι τὰ πρός τι ποτὲ μὲν ἀπὸ εὐθείας ἄρχεται, ἀποδίδοται δὲ πρός τι τῶν πλαγίων. καί ποτε μὲν πρὸς ἣν ἀποδίδοται ἀντιστρέ-
720 *φει, οἷον ὁ πατὴρ υἱοῦ πατὴρ καὶ ὁ δεσπότης δούλου δεσπότης καὶ ὁ υἱὸς υἱὸς πατρὸς καὶ ὁ δοῦλος δεσπότου δοῦλος· ποτὲ δὲ οὔ, ἀποδιδόμενα μὲν πρὸς γενικήν, ἀντιστρεφόμενα δὲ πρὸς δοτικήν, οἷον ἐπὶ τῆς αἰσθήσεως· ἡ γὰρ αἴσθησις αἰσθητοῦ αἴσθησις καὶ τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν· ποτὲ δὲ πρὸς αἰτιατικὴν ἀποδίδοται, ἀντιστρέφεται δὲ*
725 *πρὸς γενικήν· οἷον ὁ τύπτων τυπτόμενον τύπτει καὶ ὁ τυπτόμενος ὑπὸ τύπτοντος τύπτεται.*

'Πρός τι δὲ τὰ τοιαῦτα λέγονται, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρου εἶναι λέγεται'· οὐ γὰρ καθὸ φύσει ὑπάρχει, ἀλλὰ καθὸ πρὸς ἕτερον λέγεται· ὁ γὰρ πατὴρ καὶ ὁ δεσπότης καὶ ὁ διδάσκαλος οὐχὶ καθὸ ἄν-
730 *θρωποι, ἀλλὰ καθὸ πρὸς ἕτερον σχέσιν ἔχουσι πρός τι λέγονται· οἷον τὸ διπλάσιον τινὸς διπλάσιον καὶ τὰ τετραπλάσια τινὸς τετραπλάσια. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἡ ἕξις τινὸς ἕξις καὶ ἡ διάθεσις τινὸς*

707–711 103,5–9 || **712–726** 105,12–29 || **727–730** test. a ad 105,29 || **730–734** cf. Arist. Cat. 6 a 39–b 6

708 post *πράγματα* add. *τὰ* Philop. (excepto a) || **715–716** *αὐτῶν ἐκεῖνον* scripsi: *αὐτὸν ἐκείνων* $\mathbf{b}^8$ || **718** *ποτὲ*] *πάντως* Philop. (om. cod. C) || **719** *τι*] fort. *τινα* legendum (*μίαν* Philop.) || **727** *ἑτέρων* Arist. || **728** *φύσει* scripsi conferens El. 201, 7 et 203, 35: *φύ( )* $\mathbf{b}^8$: *φύσεως* Philop. a || **730** *ἕτερα* $\mathbf{b}^8$: sec. Philop. a correxi | *λέγεται* $\mathbf{b}^8$: sec. Philop. a correxi || **731** *τὰ* bis scr. $\mathbf{b}^8$ | *τετραπλάσια* bis scripsi: $\bar{\delta}^{α'}$ $\mathbf{b}^8$

διάθεσις καὶ ἡ ἐπιστήμη τινὸς ἐπιστήμη καὶ ἡ θέσις τινὸς θέσις, ἥτις περὶ γένος ἐστὶ τῆς ἀνακλίσεως, τῆς στάσεως καὶ τῆς καθέδρας καὶ ταῦτα ὄντα πρός τι· ἡ μὲν γὰρ στάσις καὶ ἀνάκλισις καὶ ἡ καθέδρα 735 *αὐτὴν τὴν σχέσιν δηλοῖ, καὶ ἐνέργειαι οὖσαι ὑπὸ τὰ πρός τι ἀνάγονται, τὸ δὲ ἵστασθαι καὶ τὸ ἀνακεκλίσθαι καὶ τὸ καθέζεσθαι οὐ σχετικῶς μόνον ἐννοεῖν δίδωσιν, ἀλλὰ μετὰ τῆς σχέσεως καὶ αὐτὴν τὴν οὐσίαν δηλοῖ, τήν τε ἀνακεκλιμένην καὶ τὴν ἐν ᾗ ἀνακέκλιται, καὶ ὑπὸ τὸ κεῖσθαι ἀνάγονται.* 740

Πρότερον δὲ τὰ δοκοῦντα ἴδια τῶν πρός τι τίθησι, καὶ ἀπελέγξας αὐτὰ μὴ ὀρθῶς ἐκληφθέντα ὕστερον τὸ κυρίως ἴδιον ἐκτίθησι καὶ ἀποδείκνυσι τοῦτο ὡς μόνον τοῖς πρός τι ὑπάρχον καὶ πᾶσι. πρῶτον δὲ ἴδιον τῶν πρός τι τὸ τὰ ἐναντία ἐπιδέχεσθαι· τῇ γὰρ ἀρετῇ ἐναντία ἡ κακία καὶ τῇ ἐπιστήμῃ ⟨ἡ⟩ ἄγνοια· ἡ γὰρ κακία κακοῦ κακία καὶ 745 *ἡ ἐπιστήμη ἐπιστητοῦ ἢ ἐπιστήμονος ἐπιστήμη. ἀλλ' οὐ πᾶσι τοῖς πρός τι ὑπάρχει ἐναντία· τῶν γὰρ κατηγοριῶν ὅσαι μὲν οὐκ ἐπιδέχονται ἐναντιότητας, οὐδὲ τὰ ἐν αὐταῖς πρός τι ἐπιδέχονται· οἷον τῇ οὐσίᾳ καὶ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον, οἷον τῷ ἀνθρώπῳ καὶ τῷ οὐκ ἀνθρώπῳ ἢ τῷ ἴσῳ καὶ τῷ ἀνίσῳ· ταῦτα γὰρ στερήσεις εἰσὶ τοῦ* 750 *ὄντος, οὐκ ἐναντία. διὸ οὐδὲ τοῖς περὶ αὐτὰ πρός τι ἐναντιότης γνωρίζεται, οἷον τῷ διπλασίῳ ἢ τῷ τριπλασίῳ καὶ τῷ δεσπότῃ καὶ τῷ δούλῳ. ὅσα δὲ ἐναντιότητα ἐπιδέχονται καὶ τὰ περὶ αὐτὰ πρός τι προσλήψονται, οἷον τῇ ποιότητι, ἐπεὶ ἐναντιότητα ἐπιδέχεται καὶ τὰ περὶ αὐτὴν πρός τι ὑποδέξεται, {ὅμοιον γὰρ μᾶλλον καὶ ἧττον λέγεται* 755 *καὶ} ⟨οἷον⟩ ἀρετῇ κακία ἐναντία καὶ σπουδαίῳ κακός.*

*⟨***⟩ οὐδὲ τὸ μᾶλλον καὶ ἧττον τὰ πρός τι ἐπιδέχονται· εἰ γὰρ οὐδέν ἐστιν ἐν τούτοις ἐναντίον, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον ἀποίσεται, ἀλλ' ὥς τι ὀθνεῖον ἀπώσεται. ὅπου γὰρ ἐναντίον, ἐκεῖ τὸ μᾶλλον καὶ τὸ ἧττον γνωρίζεται· ἔνθα δὲ τοῦτο ἀπῴκισται, καὶ αὐτὰ ἐκεῖθεν ἀποδιδράσκουσι. τὸ γὰρ μᾶλλον καὶ ἧττον τῇ τῶν ἐναντίων μίξει γίνονται· τῷ γὰρ μετασχεῖν πλέον τῆς λευκότητος τοῦτο μᾶλλον ἐκείνου λευκὸν κατονομάζεται, ἀποβεβληκότος θατέρου τὴν λευκότητα καὶ πρὸς τὸ μελάντερον καθεστηκότος.* 760

734–740 cf. Philop. 107,2–15 || 741–756 108,1–28 || 759–761 110,11–17

735 post *ὄντα* fort. excidit *τῶν* || 739 *ᾗ* Philop.: *ᾧ* **b**[8] || 745 *ἡ* Philop. || 753 *αὐτῶν* **b**[8]: correxi || 754 an *ἡ ποιότης* legendum? || 754 sq. *τὰ περὶ αὐτὴν* scripsi: *τὸ περὶ αὐτὰ* **b**[8] || 755 an *ἐπιδέξεται* scribendum? || 755 sq. *ὅμοιον – καὶ* seclusi || 756 *οἷον* addidi || 757 excidit pars lemmatis Arist. 6 b 19 sqq. et pars commentarii (cf. Philop. 110, 10–12)

765 *Ἄπεισι τοίνυν καὶ πρὸς τὸ τοῦ πρός τι ἴδιον, τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι· ἡ γὰρ 'ἀντὶ' ἐνταῦθα οὐ τὸ ἀντίπαλον, ἀλλὰ τὸ ἴσον παρίστησιν, οἷον ὁ δεσπότης δούλου δεσπότης λέγεται καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον καὶ τὸ μεῖζον ἐλάττονος μεῖζον· ὁ γὰρ δεσπότης οὐ μᾶλλον πρὸς δοῦλον λέγεται ἢ ὁ δοῦλος πρὸς τὸν δεσπότην καὶ οὐ*
770 *μᾶλλον ὁ πατὴρ πρὸς τὸν υἱὸν ἢ ὁ υἱὸς πρὸς τὸν πατέρα. ἢ ὡς ἄνθρωπος καὶ τὸ γελαστικόν· οὐ πλέον γὰρ τοῦτο ἐκείνου κατηγορεῖται, ἀλλ' ἴσην τὴν κατηγορίαν ἐργάζεται, καὶ ἐπίσης τὴν ἀντιστροφὴν ἐκτελεῖ, οἷον δοῦλος δεσπότου δοῦλος καὶ ὁ δεσπότης δούλου δεσπότης καὶ τὰ λοιπὰ ὡσαύτως· οὐ γὰρ πλέον τοῦ ὑποκειμένου τὸ κατηγορού-*
775 *μενον λέγεται, ἀλλ' ἴση ἡ ἀντιστροφὴ γίνεται. ἐὰν δὲ ἄνισα εὑρεθῶσι τὰ κατηγορούμενα, οὐκ ἀντιστρέφει, ἀλλὰ δεῖ τῷ ἐλάσσονι τὸ πλέον ἕπεσθαι, οἷον τῷ ἀνθρώπῳ τὸ ζῷον, οὐχὶ τῷ ζῴῳ ὁ ἄνθρωπος. δεῖ οὖν τὰ κατηγορούμενα πρὸς ἀντιστρέφοντα λέγεσθαι καὶ ἐξισοῦν τὰ λεγόμενα, αὐξόμενα μὲν τὰ ἐλάσσονα, μειούμενα δὲ τὰ μείζονα· οἷον ἐὰν*
780 *τὸ πτερὸν πτερωτοῦ πτερὸν εἴπῃς, οἰκείως ἀποδώσει καὶ ἀντιστρέφει. ἐὰν δὲ ὄρνιθος πτερὸν φήσῃς, τοῦ εἰκότος ἐκπίπτῃ καὶ τοῦ δέοντος ἁμαρτάνεις καὶ οὐκ ἀντιστρέφει· οὐ γὰρ ἴση ἡ ἀντιστροφή, ἀλλ' ἐπὶ πλέον τὸ πτερόν· πολλὰ γάρ εἰσι πτηνὰ ἃ οὐκ εἰσιν ὄρνιθες, ὡς τὰ δερμόπτερα καὶ κολεόπτερα εἴτουν αἱ νυκτερίδες καὶ οἱ κάνθαροι,*
785 *μόνοι δὲ ὄρνιθες λέγονται τὰ σχιζόπτερα, τὰ δὲ λοιπὰ οὔ. εἰκὸς οὖν ἐξισῶσαι τὰ λεγόμενα καὶ αὐξῆσαι τὴν ὄρνιν καὶ ποιῆσαι πτερωτόν, καὶ οὕτως ἡ ἀντιστροφὴ σωθήσεται καὶ δεόντως ῥηθήσεται τὸ πτερὸν πτερωτοῦ πτερὸν καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν· οὐ γὰρ καθὸ ὄρνις τὸ πτερὸν λέγεται, ἀλλὰ καθὸ πτερωτόν. λέγει δὲ ὅτι ἐνιότε τῇ*
790 *πτώσει διοίσει διὰ τὸ τὴν ἀπόδοσιν πρὸς γενικὴν ποιῆσαι, τὴν δὲ ἀντιστροφὴν πρὸς δοτικὴν ἀντιστρέψαι· οἷον ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν. καὶ τὸ πηδάλιον δὲ ἐὰν ἀποδοθῇ πλοίου, οὐκ ἀντιστρέφει· ἐπὶ πλέον γὰρ τὸ πλοῖον τοῦ πηδαλίου· πολλὰ γάρ εἰσι πλοῖα ἃ πηδάλια οὐκ ἔχει, ὡς τὰ ἀκάτια. δεῖ*
795 *γοῦν τὸ μεῖζον ἤγουν τὸ πλοῖον ἐλαττῶσαι καὶ εἰπεῖν τὸ πηδάλιον πηδαλιωτοῦ πηδάλιον. καὶ ἡ κεφαλὴ δὲ ἐὰν ἀποδοθῇ ζῴου, οὐκ ἀντιστρέφει. ἡ μὲν κεφαλὴ ζῴου λέγεται κεφαλή, οὐκέτι δὲ τὸ ζῷον τῇ κεφαλῇ ζῷον· ἐπὶ πλέον γὰρ τὸ ζῷον· εἰσὶ γάρ τινα ζῷα ἅπερ κεφα-*

765-771 111,12–13; 19–20; 23–26 || 771-802 112,6–113,9 || 789 Arist. Cat. 6 b 33–36

766 *δηλοῖ* deleted habet post *ἀντίπαλον* **b**[8] || 779 *αὐξούμενα* **b**[8]: dubitanter correxi || 781 *εἰκότως* **b**[8]: correxi || 784 *κωλόπτερα* **b**[8]: correxi

*λὴν οὐκ ἔχουσιν, ὡς ὁ καρκῖνος, σκώληξ, γῆς ἔντερα. ἐὰν οὖν μειώσω-
μεν τὸ μεῖζον καὶ ποιήσωμεν κεφαλωτόν, οἰκείως ἡ ἀντιστροφὴ λεχθή-* 800
*σεται· ἡ γὰρ κεφαλὴ κεφαλωτοῦ κεφαλὴ καὶ τὸ κεφαλωτὸν κεφαλῇ
κεφαλωτόν. οὑτωσὶ δέ τις τοιούτοις χρήσαιτο. εἰ οὖν μὴ ὀνόματά εἰσιν
ἀπὸ τῶν πρώτων καὶ οἰκείως κατηγορουμένων τοῖς πρὸς ἃ ἀντιστρέ-
φουσι, τιθείη τὰ ὀνόματα, ἤγουν, ἔνθα ὀνόματα μὴ κεῖνται, βούλεταί
τις ἀπὸ τῶν κυρίως λεγομένων ἀρχόμενος ἀφ' ἑαυτοῦ τιθέναι ὀνόματα* 805
*καταλλήλως τῇ ἀντιστροφῇ προσαρμόττοντα καὶ ἰσάζοντα, ὥσπερ ἀπὸ
τοῦ πτεροῦ πτερωτὸν καὶ ἀπὸ τοῦ πηδαλίου πηδαλιωτόν. οὐκοῦν
πάντα τὰ πρός τι, ἐάνπερ οἰκείως ἀποδιδῶται καὶ μὴ πρὸς ὃ ἔτυχε,
πρὸς ἀντιστρέφοντα λέγεται. εἰ δὲ πρὸς τὸ τυχόν, οὐκ ἀντιστρέφει.
μᾶλλον δὲ οὐδὲ τὰ ὁμολογουμένως ὄντα καὶ ὀνομάτων αὐτοῖς* 810
*προσόντων ἀντιστρέφει, ἐὰν μὴ κυρίως ἡ ἀπόδοσις γίνηται καὶ ἐξισά-
ζουσα καὶ πρὸς ὃ λέγεται· οἷον ὁ δοῦλος ἐὰν μὴ δεσπότου ἀλλὰ ἀν-
θρώπου ἀποδοθῇ, οὐ καλῶς ἡ ἀντιστροφὴ δείκνυται. ὁμοίως καὶ τὸ
πτερὸν ἐὰν μὴ πτερωτοῦ φήσω ἀλλὰ ὄρνιθος, ἁμαρτίαν οὐ τὴν τυχοῦ-
σαν ἐξείργασμαι διὰ τὸ τὸ πτερὸν κατὰ πολλῶν κατηγορεῖσθαι καὶ μὴ* 815
*μόνον τῆς ὄρνιθος· εἰ γὰρ τὸ πτερὸν ὡς ὄρνιθος κατηγορήσομεν καὶ
οὐχ ὡς πτερωτοῦ, συμβήσεται καὶ τὴν μυῖαν ὄρνιν ἀποκαλέσαι διὰ τὸ
καὶ ταύτην πτερὰ περικεῖσθαι. δεῖ οὖν ἐξισάζειν τὴν κατηγορίαν, ἐπεὶ
καὶ τὰ ἴδια ἀντιστρέφει πρὸς ἅ ἐστιν ἴδια διὰ τὸ ἐξισάζειν.*

Καὶ ἕτερον δὲ ἴδιον παραδίδωσι τῶν πρός τι, τὸ ἅμα τῇ φύσει εἶναι 820
*τὰ πρός τι· πατὴρ γὰρ καὶ υἱὸς ἅμα καὶ δοῦλος καὶ δεσπότης καὶ δι-
δάσκαλος καὶ μαθητής· ἅμα γάρ, ὧν τοῦ ἑνὸς τεθέντος καὶ τὸ ἕτερον
συνεισάγεσθαι καὶ αὖθις ἀναιρεθέντος συναναιρεῖσθαι. ἀλλ' οὐκ ἐπὶ
πάντων τῶν πρός τι τοῦτ' ἐφεύρῃς, ἀλλ' ἐπί τινων κατίδῃς μὴ ἅμα τῇ
φύσει εἶναι, οἷον τὸ ἐπιστητὸν πρότερον δόξειεν ἂν εἶναι τῆς ἐπιστή-* 825
*μης· τὸ μὲν γὰρ ἐπιστητὸν ἀναιρεθὲν ἀναιρεῖται καὶ ἡ ἐπιστήμη, ἐπι-
στήμης δὲ ἀφανείᾳ παραδοθείσης οὐδὲν κωλύει τὸ ἐπιστητὸν εἶναι.
φύσει δὲ πρῶτον τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον καὶ τὸ συν-
εισφερόμενον καὶ μὴ συνεισφέρον δέ, ὡς ἐπὶ ζῴου καὶ ἀνθρώπου. εἰ
οὖν φαμεν Θαλῆν τὸν Μιλήσιον πρότερον ἐπιστῆσαι καὶ ἐπιγνῶναι, ὅτι* 830
ἐκ τοῦ ἡλίου ἡ σελήνη τὸ φῶς δέχεται καὶ ὅτι μακρὰν ἐκείνου ἀφ-

802–804 7 a 19–20 ‖ **802–803** Philop. 114,9 ‖ **807–813** cf. Arist. Cat. 7 a 20–30 ‖ **810–812** cf. Philop. 115, 7–8 ‖ **818–819** 115, 16–18 ‖ **820–823** 117, 4–8 ‖ **823–827** 117, 12–20 ‖ **828–844** 118, 3–29

808 *ἀποδιδῶται* Arist.: *ἀποδίδοται* **b**^{8} ‖ **811** *γίνεται* **b**^{8}: correxi: *γένηται* Philop. ‖ **822** post *τεθέντος* sc. *ἀνάγκη* (Philop.) ‖ **829** *καὶ*[1]] *μὲν* Philop.

ισταμένη πλεῖον αὐτῆς τὸ φῶς καθορᾶται, πρὸς αὐτὸν δὲ ἐπανατρέχουσα καὶ τῇ πρὸς αὐτὸν συνόδῳ τὴν πορείαν ποιουμένη ἄρξηται μειοῦσθαί τε καὶ τὸ φῶς ἀποβάλλεσθαι καὶ τῷ σκιάσματι τῆς γῆς
835 παρεμπεσοῦσα, τοῦ ἡλίου κατὰ κάθετον αὐτῇ ὑπόντος ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, ἔκλειψιν παντελῆ τοῦ ταύτης φωτὸς γίγνεσθαι, τῶν ἡλιακῶν ἀκτίνων ταύτῃ μὴ προσβαλουσῶν – τοῦτο δὲ τὸ πάθος ταύτῃ συμβέβηκεν ἐν μόνῃ πανσελήνῳ –, εἰ οὖν πρώην ὁ Θαλῆς ἐπέστησε τῇ σεληνιακῇ ἐκλείψει, δηλονότι πρότερον ἦν πρὸ αὐτοῦ τὸ ἐπιστητόν,
840 ἤγουν ἡ σεληνιακὴ ἔκλειψις, καὶ ἡ ἐπιστήμη αὐτοῦ οὐκ ἦν. οὐκοῦν καὶ χρόνῳ καὶ φύσει τὸ ἐπιστητὸν τῆς ἐπιστήμης προϋπάρχει καὶ οὐχ ἅμα τοῖς πρός τί εἰσι. καὶ αἰσθητοῦ δὲ μὴ ὄντος οὐδὲ αἴσθησίς ἐστι· ταύτης δὲ μὴ ὑπούσης οὐδὲν κωλύει αἰσθητὸν εἶναι πῦρ, ἀέρα, ὕδωρ καὶ γῆν.

845 Λέγει δὲ ὁ Ἀριστοτέλης ὅτι 'ἐπ' ὀλίγων ἢ ἐπ' οὐδενὸς ἴδοι τις ἂν ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γινομένην'. τοῦτο δὲ εἴρηκε διὰ τὰ ἀπό τινος τέχνης προαγόμενα· τὰ μὲν γὰρ φυσικὰ προϋπάρχει τῆς ἐπιστήμης, τὰ δὲ ἐκ τέχνης ἅμα τῇ αὐτῶν ἐπιστήμῃ τὸ εἶναι ἔχει· οἷον ἐπενόησέ τις καθ' ἑαυτὸν ποιῆσαι θῶκον πρὸς λῆξιν τῶν κεκο-
850 πιακότων· ἰδοὺ ἅμα τῷ ἐπιστητῷ, τῷ ξύλῳ φημί, καὶ ἡ ἐπιστήμη ἡ περὶ αὐτὸ ἐπίνοια. καὶ ἐπὶ τῶν ἀναπλασμάτων ὡσαύτως· τετύπωκέ τις ποιῆσαι πολύμορφον· ἰδοὺ ἅμα τῷ ἐπιστητῷ τῷ πολυμόρφῳ καὶ ἡ ἐπιστήμη ἡ τούτου ἀνάπλασις πρὸς τὸν νοῦν καὶ ἀνάμαξις. 'ἐπ' οὐδενὸς' δὲ εἶπεν ὁ σοφός, ὅτι καὶ ταῦτα τῇ ἀληθείᾳ ἦν μὲν ἐν τῇ φύσει,
855 ὕστερον δὲ τὰς ἐπιστήμας ἐλάβομεν. οὐκοῦν ἐπὶ τῶν φυσικῶν προϋπάρχει τὸ ἐπιστητὸν τῆς ἐπιστήμης· αἱ μὲν γὰρ ἐπιστῆμαι ἐν τῇ ψυχῇ τοῦ ζῴου συνίστανται, τὰ δὲ ἐπιστητὰ οὐδὲν ἧττον καὶ καθ' ἑαυτά ἐστιν. ὥστε ἀναιρουμένου τοῦ ζῴου ἀνῄρηται καὶ ἐπιστήμη, τὰ δὲ ἐπιστητὰ οὐδαμῶς. τοῦτο δὲ καὶ ἐπὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ
860 ἴδοις ἂν γιγνόμενον, ὅτι πρότερον τὸ αἰσθητὸν τῆς αἰσθήσεως καὶ συναιρεῖ τὸ αἰσθητὸν τὴν αἴσθησιν. ὄντος μὲν γὰρ αἰσθητοῦ καὶ ἡ περὶ αὐτὸ αἴσθησις ἐνεργήσειεν ἄν, μὴ ὄντος δὲ αἰσθητοῦ ἔν τινι τὸ ἐνεργὸν ἡ αἴσθησις ἀποφέρεται. τὰ μὲν γὰρ αἰσθητὰ καὶ καθ' ἑαυτά εἰσιν εἴτουν τὰ περὶ ἡμᾶς ὄντα, αἱ δὲ αἰσθήσεις ἐν ζῴῳ εἰσί, τὸ δὲ

845-846 Arist. Cat. 7 b 25–27 || 845-851 cf. Philop. 118, 32–119, 6 || 854-855 test. a ad 119, 7 || 855-856 119, 11–12 || 856-858 121, 15–17 || 858-859 cf. Arist. Cat. 7 b 33–35 || 859-861 cf. Philop. 121, 20–23 || 864-874 121, 23–122, 6

832 αὐτῆς scripsi: αὐτῇ ut vid. b[8] || 835 ὑπιόντος b[8]: correxi: ὄντος Philop. || 845 ὀλίγων Arist.: ὀλίγον b[8] || 847 ἀπό Philop.: ὑπό b[8]

ζῷον ἔμψυχον σῶμα, ἀνάγκη δὲ σώματος ἀναιρεθέντος μηδὲ ἔμψυχον εἶναι, ἐμψύχου δὲ μὴ ὄντος μηδὲ ζῷον, ζῴου δὲ ἀναιρεθέντος μηδὲ αἴσθησιν εἶναι· πᾶσα δὲ αἴσθησις ἐν σώματι ἔχει τὸ εἶναι· τὰ γὰρ ἀσώματα ἐκπεφεύγασι τὴν αἴσθησιν μήτε αἰσθήσει ὑποπίπτοντα μήτε δεκτὰ ὄντα αἰσθήσεως. ἡ δέ γε αἴσθησις ἀναιρεθεῖσα οὐκ ἀναιρήσει τὸ αἰσθητόν· οὐδὲ γὰρ ἀντιστρέφει. ἐπεὶ πᾶν μὲν ζῷον ἔμψυχον, πᾶν δὲ ἔμψυχον σῶμα, οὐ πᾶν δὲ σῶμα ἤδη καὶ ἔμψυχον ζῷον – ἐπὶ πλεῖον γὰρ τὸ σῶμα –, πᾶν δὲ σῶμα αἰσθητόν, ὥστε ζῴου ἀναιρεθέντος, περὶ ὃ ἡ αἴσθησις ἦν, οὐδαμῶς ἀπείργει τὰ [...........] τὰ αἰσθητά, ὕδωρ, γῆν καὶ λοιπά. καὶ τί φημι τῆς αἰσθήσεως τὸ αἰσθητὸν προυπάρχειν, ὁπόταν τὸ αἰσθητικὸν [865 870 875

52

Διδασκαλία σύντομος καὶ σαφεστάτη περὶ τῶν δέκα κατηγοριῶν καὶ τῶν προτάσεων καὶ τῶν συλλογισμῶν, περὶ ὧν τις προδιδαχθεὶς εἰς πᾶσαν μὲν καὶ ἄλλην ἐπιστήμην καὶ τέχνην, ἐξαιρέτως δὲ εἰς τὴν ῥητορείαν εὐκόλως ἐμπορεύσεται· τοῦ ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ 5

Ἐπειδή τισιν, οὐκ οἶδ' ὅθεν εἰπεῖν, τὴν τῆς διαλεκτικῆς ἐπιστήμης δραστήριον δύναμιν μηδόλως ἀπογευσαμένοις καὶ ὡς οὐκ ἄν ποτέ τις ἐπιστήμην ἢ τέχνην ἀκριβῶς χωρὶς τῆς τοιαύτης μεθόδου κατορθώσαιτο, εἴπερ ἐξεταστική τις οὖσα πρὸς τὰς ἁπασῶν τῶν μεθόδων ἀρχὰς ὁδὸν ἔχοι, ἔδοξεν ἐπὶ ῥητορείαν μᾶλλον ἑαυτοὺς παρορμᾶν ἢ ἐπὶ φιλοσοφικὴν παίδευσιν, τὸ δὲ τοιοῦτον δυσχέρειάν τινα πλείστην ὅσον τῷ διδασκομένῳ πέφυκεν ἐμποιεῖν ἤπερ εὐκολίαν, οὐχ ὅτι μόνον ἡ ῥητορικὴ ἀντίστροφος τῇ διαλεκτικῇ καθίσταται, ἀλλ' ὅτι καὶ περὶ 10

874–875 122,17–19
52 **Mp**[20]**m**[11]**m**[13]**v**[22]**v**[47]**a**[7]**m**[12]**η**, **a**[14] (usque ab 95) ‖ 9–10 Arist. Top. 101 b 3–4 ‖ 12–13 cf. Arist. Rhet. 1354 a 1

873 spat. vac. c. 12 litt. **b**[8]: suppleas fere *ἄλλα εἶναι*, conferens Philop. 122, 5 ‖ 875 desinit **b**[8]
52 1 *Διδασκαλία* – 5 *ψελλοῦ* **Mp**[20]**v**[22], **a**[7] (qui *καὶ ὑπάτου τῶν φιλοσόφων* post *ὑπερτίμου* add.), **m**[12] (qui *τοῦ ὑπερτίμου κυροῦ* om.): *Διδασκαλία τοῦ ψελ(λ)οῦ περὶ τῶν δέκα κατηγοριῶν καὶ τῶν προτάσεων καὶ τῶν συλλογισμῶν* **η**: aliter cett. ‖ 6 *ἐπιστήμην* **Mp**[20]**m**[11] ‖ 7 post *ἀπογευσαμένοις* exspectes 10 *ἔδοξεν* – 11 *παίδευσιν* ‖ 10 *ἔχει* **p**[20]**a**[7] **m**[12]**m**[25]

παντὸς προβλήματος πολιτικοῦ ὁ ῥήτωρ διαλέξεται. τὸ δὲ πολιτικὸν
15 *πρόβλημα πάντως ἐκ προσώπου καὶ πράγματος τὴν σύστασιν κέκτηται· τὸ οὖν πρόσωπον ὑποκειμένου τάξιν ἐπέχει, τὸ δὲ πρᾶγμα κατηγορουμένου, ἅπερ εἰσὶν ἴδια φιλοσοφικῆς διαγνώσεως, περὶ ὧν ἐν τῇ τοῦ Περὶ ἑρμηνείας διδασκαλίᾳ ὁ Ἀριστοτέλης διαρρήδην ἐκδιδάσκει. ὡσαύτως δὲ καὶ αἱ προτάσεις, δι' ὧν ὁ ῥήτωρ τὸ οἰκεῖον πρό-*
20 *βλημα ἀποδείκνυσι, καὶ αὗται ἐξ ὑποκειμένου καὶ κατηγορουμένου δηλονότι τὴν σύστασιν ἐσχήκασιν. ἔτι γε μὴν δυσὶν ἀποδείξεσι χρῆται, δι' ὧν ὡς ὀργάνῳ χρώμενος τὰ οἰκεῖα συμπερανεῖ· ταῦτα δ' ἂν εἶεν ἐνθύμημα καὶ παράδειγμα. καὶ τὸ μὲν ἐνθύμημα πάντως ἐστὶ συλλογισμὸς ἀτελής· τοῦ γὰρ συλλογισμοῦ τὸ ἐλάχιστον ἐκ δύο προτάσεων*
25 *συνισταμένου, οἷόν ἐστιν εἰπεῖν 'ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία', τὸ ἐνθύμημα δι' οὗ ὁ ῥήτωρ τὴν ἀπόδειξιν ποιεῖται μιᾶς προτάσεως λεχθείσης καὶ τῆς ἄλλης ἀποσιωπηθείσης ἐπάγεται· διά τοι τοῦτο καὶ συλλογισμός ἐστιν ἀτελής, οἷόν ἐστιν ὧδε εἰπεῖν 'ὁ δεῖνα καλλωπιστής, μοιχὸς ἄρα'· λείπει γὰρ ἡ πρότασις ἡ ἄλλη τοῦ*
30 *συλλογισμοῦ ἡ λέγουσα 'πᾶς καλλωπιστὴς μοιχός'. ὁμοίως δὲ καὶ τὸ παράδειγμα ἔοικέ πως ἐπαγωγῇ· τῆς γὰρ ἐπαγωγῆς ὡς καὶ ὁ συλλογισμὸς τῷ διαλεκτικῷ ὑποκειμένης καὶ ἀπὸ τῶν καθέκαστα ἐπὶ τὴν τοῦ καθόλου πράγματος ἔφοδον ποιούσης, οἷόν ἐστιν εἰπεῖν 'ὁ Πέτρος ζῷον καὶ ὁ Παῦλος καὶ ὁ Θωμᾶς, οὐκοῦν καὶ πᾶς ἄνθρωπος ζῷον', τὸ*
35 *παράδειγμα ἀπὸ τοῦ ἴσου τὸ ἴσον δείκνυσι, τουτέστιν ἀπὸ τοῦ μερικοῦ τὸ μερικόν, οἷόν ἐστιν 'ὁ δεῖνα εἰ στρατηγήσει, τυραννήσειεν ἄν', ἐπειδὴ καὶ ὁ δεῖνα ὁμοιότροπος αὐτῷ ὢν στρατηγήσας ἐτυράννησεν. ἐπεὶ οὖν τὸν πάντῃ ἀμύητον διαλεκτικῆς ἤτοι φιλοσοφικῆς παιδεύσεως οὐκ ἐγχωρεῖ πρὸς ῥητορεῖαν εὐκόλως εἰσάγεσθαι, δεῖν ᾠήθην πρὸς*
40 *τοὺς ἐν ῥητορείᾳ μᾶλλον τὴν ἔφεσιν ἔχοντάς τινα χρειώδη ἐκ τῆς φιλοσοφικῆς παιδεύσεως ὑπειπεῖν, ὡς ἂν ταῦτα προδιδαχθέντες ῥᾷστα πρὸς ῥητορείαν οἱ βουλόμενοι ἐμπορεύσωνται.*

Ἄρξομαι δὲ ἐντεῦθεν· τῶν φωνῶν περὶ ἃς οἱ φιλόσοφοι καταγίνονται αἱ μὲν κατὰ συμπλοκὴν λέγονται, αἱ δὲ ἄνευ συμπλοκῆς. κατὰ
45 *συμπλοκὴν μὲν ⟨οἷον⟩ 'ἄνθρωπος περιπατεῖ'· συνεπλάκησαν γὰρ αἱ*

14–15 cf. Hermog. Stat. 28, 15–29, 8 ‖ **21** sqq. cf. Arist. 1356 a 36–b 8 ‖ **21–23** cf. 1393 a 24–25 ‖ **23** sq. cf. 1395 b 23–26 ‖ **29** *καλλωπιστής, μοιχός*] cf. e. g. Arist. 1401 b 23–24; Philop. in Anal. prior. 33, 21–23 ‖ **32–33** cf. Arist. Top. 105 a 13–14 ‖ **43–47** cf. Arist. Cat. 1 a 16–19

40 *ἐν*] *ἐν τῇ* **a**[7]**m**[12]**η** ‖ **42** *ἐμπορεύσωνται* **v**[23]**v**[24]: *-ονται* cett. ‖ **45** *οἷον* **p**[20]**m**[11]**v**[22]**m**[25]: om. cett.

δύο φωναί, ἡ 'ἄνθρωπος' μετὰ τῆς 'περιπατεῖ'. ἄνευ δὲ συμπλοκῆς 'ἄνθρωπος', 'βοῦς' καὶ τὰ παραπλήσια. περὶ μὲν οὖν τῶν ἄνευ συμπλοκῆς λεγομένων ἤτοι ἁπλῶν φωνῶν τῶν σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσου ἁπλῶν νοημάτων ἡ διδασκαλία τῶν δέκα κατηγοριῶν τῷ Ἀριστοτέλει ἐκδέδοται. αὗται δὲ πάλιν αἱ ἁπλαῖ φωναὶ διαφέρονται 50 *πρὸς ἀλλήλας γενικαῖς τισι διαφοραῖς· αἱ μὲν γὰρ αὐτῶν οὐσίαν σημαίνουσιν, οἷον ἡ 'ἄνθρωπος' φωνή, αἱ δὲ ποσόν, ὡς ἡ 'δίπηχυ', αἱ δὲ ποιόν, ὡς ἡ 'λευκόν', αἱ δὲ πρός τι, ὡς ἡ 'πατήρ', αἱ δὲ ποῦ, ὡς 'ἐν Ἀθήναις', αἱ δὲ ποτέ, ὡς ἡ 'χθές', αἱ δὲ κεῖσθαι, ὡς ἡ 'κάθηται', αἱ δὲ τὸ ἔχειν, ὡς τὸ 'ὑποδεδέσθαι', αἱ δὲ τὸ ποιεῖν, ὡς τὸ 'τύπτειν', αἱ δὲ* 55 *τὸ πάσχειν, ὡς τὸ 'τύπτεσθαι'. ἕκαστον οὖν τῶν εἰρημένων τούτων ἁπλῶς λεγόμενον οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαίνει, συμπλεκόμενα δὲ μετ' ἀλλήλων ἐξ ἀνάγκης ἢ ἀληθεύουσιν ἢ ψεύδονται, οἷον 'τὶς ἄνθρωπος περιπατεῖ'· τὸ γὰρ 'τὶς ἄνθρωπος περιπατεῖ' ἀνάγκη ἢ ἀληθὲς εἶναι ἢ ψευδές. περὶ ἧς συμπλοκῆς τῶν ἁπλῶν φωνῶν τῆς διαιρούσης* 60 *τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καὶ ποιούσης τὰς προτάσεις ἡ τοῦ Περὶ ἑρμηνείας διδασκαλία καταγίνεται.*

Πρὸς τούτοις δὲ τῶν ὄντων κατὰ τὴν πρὸς ἄλληλα σχέσιν τὰ μέν εἰσιν ὁμώνυμα, τὰ δὲ συνώνυμα, τὰ δὲ παρώνυμα, καὶ πάλιν πρὸς τούτοις τὰ μὲν καλεῖται πολυώνυμα, τὰ δὲ ἑτερώνυμα. ὁμώνυμα μὲν οὖν 65 *ἐστιν ὅσα κατὰ μὲν τὸ ὄνομα κοινωνοῦσιν ἀλλήλοις, κατὰ δὲ τὸν τῆς οὐσίας λόγον, εἴτε ὁρισμὸν εἴποις εἴτε ὑπογραφήν, διαφέρουσιν, οἷον 'ἄνθρωπος' τὸ ζῷον καὶ 'ἄνθρωπος' τὸ ἐν τοίχῳ γεγραμμένον· ταῦτα γὰρ κατὰ μὲν τὸ ὄνομα μόνον τὸ 'ἄνθρωπος' κοινωνοῦσι, κατὰ δὲ τὸν λόγον τῆς οὐσίας διαφέρουσιν· ἄλλον γὰρ καὶ ἄλλον ὁρισμὸν ἑκάτερον* 70 *ἐπιδέχεται· τὸ μὲν γὰρ αὐτῶν ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, τὸ δὲ δῆλον ὅτι οὔτε λογικὸν οὔτε ὅλως ζῷόν ἐστι. συνώνυμα δέ ἐστιν ὅσα σὺν τῷ κοινῷ ὀνόματι καὶ τὸν λόγον ἔχει τὸν αὐτὸν ἀλλήλοις, ὡς τὸ 'ζῷον' καὶ ἐπὶ ἀνθρώπου καὶ ἐπὶ ἵππου· τὸ γὰρ 'ζῷον' ὄνομα ἐφ' ἑκατέρου κοινὸν ἔχει καὶ τὸν τῆς οὐσίας λόγον·* 75 *ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική, ὃ καὶ ἀμφοτέροις τῷ ἀνθρώπῳ τε καὶ τῷ ἵππῳ ἐπίσης ἁρμόζει. παρώνυμα δέ ἐστι τὰ κατά τι*

47–50 cf. e.g. El. in Cat. 131,17–19; Olymp. in Cat. 21,18–20 || **51–59** cf. Arist. Cat. 1 b 26–2 a 10; Phot. Amph. Qu. 137,120–131 || **63–65** cf. Phot. Amph. Qu. 137,2–4 || **65–73** cf. Phot. Amph. Qu. 137,7–18 (cf. recensionem cod. Mon. gr. 222 = PG 101, 761 A) || **73–77** cf. Phot. Amph. Qu. 137,25–28; PG 101, 761 B cod. Mon. || **77–82** cf. 137,43–48

55 *τὸ*[2] om. **M p**[20]**v**[22] || **58** *τὶς* **m**[25]: *ὁ τὶς* **v**[24]**v**[22]: *ὅτι* cett.

μέρος τοῦ ὀνόματος κοινωνοῦντα ἀλλήλοις, κατά τι δὲ διαφέροντα ἔν
τε τῷ ὀνόματι καὶ τῷ πράγματι, ὡς 'ἡ γραμματική' καὶ 'ὁ γραμματι-
80 κός'· διαφέρουσι μὲν γὰρ ἀλλήλων καὶ τῷ πράγματι ἤτοι τῇ οὐσίᾳ –
ἡ μὲν γάρ ἐστι γνῶσις, ὁ δὲ ζῷον –, διαφέρουσι δὲ καὶ αὐτῷ τῷ ὀνό-
ματι, κατὰ τὴν τελευταίαν συλλαβὴν τῆς λέξεως μικρὸν παραλλάσ-
σοντα. πολυώνυμα δέ ἐστι τὰ κατὰ τὴν φωνὴν μὲν τοῦ ὀνόματος μό-
νον διαφέροντα, τὸ αὐτὸ δὲ πρᾶγμα σημαίνοντα καὶ τὸν αὐτὸν λόγον
85 τῆς οὐσίας ἐξ ἀνάγκης ἐπιδεχόμενα, οἷον 'ἄνθρωπος', 'μέροψ', 'βροτός'·
ταῦτα γὰρ τὰ ὀνόματα φωνῇ μόνον ἀλλήλων διαλλάσσουσι, πρᾶγμα δὲ
τὸ αὐτὸ σημαίνουσι καὶ τὸν αὐτὸν λόγον τῆς οὐσίας διασῴζουσιν.
ἑτερώνυμα δὲ λέγεται τὰ καὶ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸν τῆς οὐσίας
λόγον ἀλλήλων διαφέροντα, οἷον 'ἄνθρωπος' καὶ 'λίθος'· ταῦτα γὰρ
90 οὔτε κατὰ τὴν φωνὴν τοῦ ὀνόματος ἐπικοινωνοῦσιν ἀλλήλοις οὔτε
κατὰ τὸν τῆς οὐσίας λόγον· τὸ μὲν γάρ ἐστι ζῷον λογικόν, τὸ δὲ οὐ-
σία ἄψυχος καὶ ἀναίσθητος.

Ἐπεὶ δὲ τῶν τοιούτων ἁπλῶν φωνῶν ὡς εἴρηται αἱ μὲν οὐσίαν
σημαίνουσιν, αἱ δὲ ποσόν, αἱ δὲ τὰς λοιπὰς κατηγορίας, χρεὼν ἐστι
95 ποσῶς περὶ αὐτῶν πρὸς σαφήνειαν διαλαβεῖν. διὸ οὐσία μέν ἐστι
πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· αὕτη δὲ ἡ
ἁπλῶς οὐσία ἤτοι ἡ καθόλου γένος ἐστὶ γενικώτατον καὶ ἔχει τρία
εἴδη ὑποβεβηκότα εἰς ἃ καὶ διαιρεῖται, σῶμα, ἀσώματον καὶ μικτὸν ἐξ
ἀμφοτέρων. ἔχει δὲ καὶ ἴδια ἕξ· πρῶτον μὲν τὸ μὴ εἶναι αὐτὴν ἐν
100 ὑποκειμένῳ ὡς τὰ συμβεβηκότα, δεύτερον δὲ τὸ συνωνύμως κατηγο-
ρεῖσθαι αὐτὴν τῶν μερικῶν οὐσιῶν, τρίτον τὸ τόδε τι σημαίνειν – τὸ
γὰρ δεικνύειν διὰ τῆς χειρὸς ἢ ἄλλου τινὸς τοιούτου τῇ μερικῇ οὐσίᾳ
δηλονότι ἁρμόττει –, τέταρτον τὸ μηδὲν αὐτῇ εἶναι ἐναντίον, πέμπτον
τὸ μὴ ἔχειν αὐτὴν τὸ μᾶλλον καὶ τὸ ἧττον – οὐ γάρ ἐστιν ὁ
105 Σωκράτης παρὰ τὸν Πλάτωνα μᾶλλον ἄνθρωπος –, ἕκτον τὸ ταὐτὸν
καὶ ἓν ἀριθμῷ ὂν κατὰ τὴν ἑαυτῆς μεταβολὴν τῶν ἐναντίων εἶναι δε-
κτικήν, ὃ καὶ κυρίως αὐτῆς ἐστιν ἴδιον· ἡ γὰρ οὐσία μόνη μένουσα
ἀδιάφθορος μεταβάλλεται, οἷον ὁ ἄνθρωπος μηδέν τι τῆς ἀνθρωπότη-
τος ἐναλλάσσων γίνεται ἐξ ἀδίκου δίκαιος καὶ ἐκ δικαίου ἄδικος, καὶ

83-87 cf. 137, 52–56 || **88-92** cf. 137, 57–60 || **95-96** cf. Ioh. Damasc. Dial. pp. 57–58 (α′ 6–8) || **97-99** cf. Dav. in Isag. 151, 20–21 || **99-111** cf. Phot. Amph., PG 101 776 A–C cod. Mon. || **99-100** cf. Arist. Cat. 3 a 7–8 || **100-101** cf. 3 a 33–34 || **101** 3 b 10 || **103** 3 b 24–25 || **104** cf. 3 b 33–34 || **105-107** cf. 4 a 10–11, 4 b 3–4

85 *ἐξ ἀνάγκης* om. $\mathbf{Mp}^{20}\mathbf{m}^{25}$ || **92** *καὶ* $\mathbf{Mv}^{47}\mathbf{a}^{7}\mathbf{m}^{12}$: om. cett. || **95** tit. *περὶ οὐσίας* mg. $\mathbf{Mv}^{23}$, text. $\mathbf{m}^{11}$ || **101** *σημαίνει* $\mathbf{Ma}^{7}\mathbf{m}^{12}\mathbf{v}^{23}$ || **109** *μεταλλάσσων* $\mathbf{Mp}^{20}$, $\mathbf{m}^{11}$ a. c.

τὸ ὕδωρ θερμὸν καὶ πάλιν ψυχρόν. τῶν δὲ ἄλλων οὐδὲν ἀμετάβλητον 110
μένον τῶν ἐναντίων ἐστὶ δεκτικόν. καὶ ταῦτα μὲν περὶ τῆς οὐσίας.

Περὶ ποσοῦ

Ποσόν ἐστι κατηγορία καθ' ἣν ἕκαστον τῶν ὄντων πεπόσωται. εἴδη δὲ τούτου δύο, συνεχὲς καὶ διωρισμένον. καὶ συνεχὲς μέν ἐστι ποσὸν οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, διωρισμένον δὲ οὗ τὰ 115 *μόρια πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει. διαιρεῖται δὲ τὸ μὲν διωρισμένον εἰς ἀριθμὸν καὶ λόγον {ὧν τὰ μόρια πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει}, τὸ δὲ συνεχὲς εἰς πέντε, εἰς γραμμήν, εἰς ἐπιφάνειαν, εἰς σῶμα μαθηματικόν, εἰς χρόνον καὶ εἰς τόπον. μαθηματικὸν δὲ σῶμά ἐστι τὸ ἔχον μῆκος καὶ πλάτος καὶ βάθος, μὴ μέντοι γε ἀφῇ καὶ θέᾳ* 120 *ὑποπῖπτον, ἀλλὰ νῷ μόνῳ περιληπτόν· ἕκαστον γὰρ τούτων κοινὸν ὅρον ἔχει πρὸς ὃν τὰ μόρια αὐτοῦ συνάπτει· ἡ μὲν γὰρ γραμμὴ τὸ σημεῖον, ἡ δὲ ἐπιφάνεια τὴν γραμμήν, τὸ δὲ σῶμα τὴν ἐπιφάνειαν, ὁ δὲ χρόνος τὸ νῦν· τὸ γὰρ νῦν συνάπτει πρός τε τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα· ὁ δὲ τόπος καὶ αὐτὸς συνεχὴς ὢν τὴν γραμμὴν ἔχει* 125 *κοινὸν ὅρον· σχεδὸν γὰρ ταὐτόν ἐστιν ὅ τε τόπος καὶ ἡ ἐπιφάνεια. ἔχει δὲ ἴδια τὸ ποσὸν τέσσαρα, πρῶτον μὲν τὸ μετρεῖσθαι, δεύτερον τὸ μηδὲν ἔχειν ἐναντίον, τρίτον τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον – οὔτε γὰρ τὰ τρία τῶν πέντε μᾶλλον τρία λέγεται οὔτε ὁ χρόνος τοῦ χρόνου μᾶλλον καὶ ἧττον –, τέταρτον τὸ ἴσον καὶ τὸ ἄνισον·* 130 *τοῦτο δὲ τὸ ἴδιον παντὶ καὶ μόνῳ τῷ ποσῷ ἁρμόττει. καὶ περὶ μὲν τοῦ ποσοῦ τοσαῦτα εἰρήσθω.*

Περὶ ποιότητος

Ποιότης ἐστὶ κατηγορία καθ' ἣν ποιοί τινες εἶναι λέγονται. ἔχει δὲ εἴδη προφερόμενα τέσσαρα, πρῶτον μὲν ἕξιν καὶ διάθεσιν, δεύτερον 135 *δὲ δύναμιν καὶ ἀδυναμίαν, τρίτον παθητικὴν ποιότητα καὶ πάθος, τέταρτον σχῆμα καὶ μορφήν. καὶ ἔστιν ἕξις μὲν ποιότης δυσαπόβλητος ἢ κακωτικὴ ἢ τελειωτικὴ τοῦ ἐν ᾧ ὑπάρχει, διάθεσις δέ ἐστι ποιότης*

112–118 cf. Phot. Amph. Qu. 139,2–7 || **118–126** cf. 139,11–20; PG 101,781 B–C cod. Mon. || **127–131** cf. 139,39–61 || **133–175** cf. 140,1–66

112 *περὶ ποσοῦ* **M m**[11] **v**[47]: *περὶ ποσότητος* **η**: om. cett. || **115** *διωρισμένον* – **118** *συνάπτει* **M v**[22] **a**[7] **m**[12] **v**[47] (**v**[24]): **115** *διωρισμένον* – **116** *συνάπτει* om. **p**[20] **m**[11] **m**[13]: **116** *διαιρεῖται* – **118** *συνάπτει* om. **v**[23] **b**[7] **c**[3]: **117** *ὧν* – **118** *συνάπτει* om. **m**[25] **a**[14], seclusi || **133** *περὶ ποιότητος* **η**, mg. **M**: om. cett.

εὐαπόβλητος, τουτέστιν εἰς καιρὸν γινομένη καὶ ἀπογινομένη, διαφέρει
140 δὲ δηλονότι τῆς ἕξεως ὅτι ἡ μὲν ἕξις πολυχρονιωτέρα τέ ἐστι καὶ μονιμωτέρα· ἕξιν γὰρ ἔχειν λέγομεν τὸν κατέχοντα ἐν πλείονι χρόνῳ, ἤγουν τὸν δεξάμενον τὴν γραμματικήν, ὁμοίως δὲ καὶ ἐπὶ δικαιοσύνης καὶ τῶν ἄλλων. διάθεσιν δὲ λέγομεν ἔχειν τὸν δεξάμενον μέν τι, ταχὺ δὲ τοῦτο ἀποβαλλόμενον, οἷον ὡς τὸν διὰ θυμὸν ἐρυθριάσαντα ἢ διὰ
145 φόβον ὠχριάσαντα. δῆλον δὲ ὅτι ὁ ἔχων τὴν ἕξιν πρότερον τὴν διάθεσιν ἔσχε. καὶ οὕτως μὲν περὶ τοῦ πρώτου εἴδους τῆς ποιότητος. δεύτερον δὲ αὐτῆς εἶδος ἐλέχθη δύναμις καὶ ἀδυναμία. ταῦτα δὲ οὔκ εἰσι κατ' ἐνέργειαν, ἀλλὰ κατ' ἐπιτηδειότητα μόνον προάγονται. ἔστι μὲν οὖν δύναμις ἐπιτηδειότητος προκοπή, ἀδυναμία δὲ δυσκολία ἢ ἐκκοπὴ
150 ἐπιτηδειότητος, οἷον τὸν εὐφυᾶ παῖδα δύναμιν ἔχειν φαμὲν τοῦ γενέσθαι γραμματικόν, τὸν δὲ ἀφυᾶ ἀδυναμίαν, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ὁμοίων. καὶ ταῦτα μὲν περὶ δυνάμεως καὶ ἀδυναμίας. τρίτον δὲ εἶδος ποιότητος παθητικὴ ποιότης καὶ πάθος. καὶ παθητικὴ μὲν ποιότης ἐστὶν ἡ πάθει χρονίῳ τινὶ συνεζευγμένη, οἷον ὠχρότης ἢ νό-
155 σος, πάθος δὲ ἡ εἰς τὴν παθητικὴν ποιότητα ὁδὸς ἡ ὀλιγοχρόνιος. τριχῶς δὲ λέγεται ἡ παθητικὴ ποιότης· ἢ γὰρ ἀπὸ πάθους ἐγένετο καὶ πάθος ἐμποιεῖ, ὡς ἡ περὶ τὸν ἄνθρωπον γενομένη παρὰ φύσιν τοῦ πυρετοῦ θερμασία· ἢ ἀπὸ πάθους μὲν οὐκ ἐγένετο, πάθος δὲ ἐμποιεῖ, ὡς ἡ τοῦ πυρὸς θερμότης· ἢ ἀπὸ πάθους μὲν ἐγένετο, πάθος δὲ οὐ
160 ποιεῖ, ὡς αἱ περὶ ψυχὴν ὑφιστάμεναι ποιότητες, οἷον ἥ τε μανικὴ ἔκστασις καὶ ἡ ὀργή· αὗται γὰρ ἀπὸ πάθους μὲν ἐγένοντο, πάθος δὲ οὐ ποιοῦσιν εἰς τὸν ὁρῶντα ἢ ἁπτόμενον. διαφέρει δὲ ἡ παθητικὴ ποιότης τοῦ πάθους καθ' ὃν τρόπον ἡ ἕξις τῆς διαθέσεως, κατὰ τὸ πολυχρονιώτερον δηλονότι καὶ μονιμώτερον. τέταρτον εἶδος τῆς ποιότη-
165 τος σχῆμα καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφή. διαφέρει δὲ ὅτι τὸ μὲν σχῆμα κυρίως ἐπὶ ἀψύχων, ἡ δὲ μορφὴ κυρίως ἐπὶ ἐμψύχων τάττεται. αὗται μὲν οὖν εἰσι ποιότητες. τὰ δὲ ἀπὸ τούτων καλούμενα ποιὰ λέγεται, οὐ ποιότητες, ὥσπερ τὸ εὐθὺ ἀπὸ τῆς εὐθύτητος καὶ τὸ καμπύλον ἀπὸ τῆς καμπυλότητος λεγόμενα οὔκ εἰσι ποιότητες, ἀλλὰ
170 μᾶλλον ποιά, τουτέστι πεποιωμένα· διὸ καὶ ὑπὸ τὸ κεῖσθαι ἀναχθήσονται. κατηγορεῖται δὲ ἡ ποιότης τετραχῶς· ⟨ἢ παρωνύμως ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός⟩, ἢ ὁμωνύμως ὡς ἀπὸ τοῦ λευκοῦ χρώματος τὸ λευκὸν σῶμα, ἢ ἑτερωνύμως ὡς ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος, ἢ ἀκατονομάστως ὡς ὁ δρομικὸς καὶ πυκτικός· οὐ γὰρ κεῖται

147 *εἶδος αὐτῆς* trsp. **Mp**[20]**m**[12] || 171–172 *ἢ – γραμματικός* supplevit **m**[12], cf. Phot.

ταῖς ποιότησιν ὀνόματα ἐξ ὧν οὕτως ἐποιώθησαν. ἔχει δὲ ἡ ποιότης 175
ἴδια τρία· πρῶτον μὲν τὸ ἔχειν ἐναντίον· ἡ γὰρ δικαιοσύνη τῇ ἀδικίᾳ
ἐστὶν ἐναντία· δεύτερον δὲ τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον·
τοῦτο δὲ τὸ ἴδιον οὐ ταῖς ποιότησιν, ἀλλὰ τοῖς πεποιωμένοις ἐνυπάρ-
χει· δικαιοσύνη μὲν γὰρ δικαιοσύνης οὐ λέγεται μᾶλλον καὶ ἧττον
οὐδὲ γραμματικὴ γραμματικῆς, δίκαιος μέντοι δικαίου καὶ γραμματι- 180
κὸς γραμματικοῦ μᾶλλον καὶ ἧττον λέγεται. τρίτον ἴδιον ποιότητος τὸ
ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι· τοῦτο δὲ κυρίως ἴδιον· κατ' ἄλλο γάρ
τι τῶν εἰρημένων οὐδὲν ὅμοιον ἢ ἀνόμοιον λέγεται ἀλλ' ἢ κατὰ τὴν
ποιότητα. καὶ ταῦτα μὲν καὶ περὶ τῆς ποιότητος.

Περὶ τοῦ πρός τι 185

Πρός τί ἐστι κατηγορία οἷς τὸ εἶναι ταὐτόν ἐστι τὸ πρός τί πως
ἔχον, τουτέστιν ὧν ἡ ὕπαρξις ἐν τῇ πρὸς ἕτερον σχέσει ἐστίν, οἷον δι-
πλάσιον καὶ τὸ ἥμισυ· τὸ γὰρ διπλάσιον ἐν τῇ πρὸς τὸ ἥμισυ σχέσει
ἔχει τὸ εἶναι, ὁμοίως δὲ καὶ τὸ ἥμισυ ἐν τῇ πρὸς τὸ διπλάσιον σχέσει,
ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὑποβέβηκε δὲ τοῖς πρός τι, ὧν τὸ μὲν 190
κατὰ ταὐτότητα λέγεται ὡς φίλος φίλου φίλος, τὸ δὲ κατὰ ἀνισότητα
ὡς τὸ μεῖζον ἐλάττονος μεῖζον, ἢ κατὰ ἰσότητα ὡς τὸ ἴσον ἴσῳ ἴσον,
τὸ δὲ κατὰ γένεσιν ὡς πατὴρ υἱοῦ πατήρ, τὸ δὲ κατὰ μέθεξιν ὡς τὸ
μετέχον μετεχομένου μετέχει, τὸ δὲ κατὰ ὕφεσιν ὡς δεσπότης δούλου
δεσπότης, τὸ δὲ κατὰ πάθος ὡς ὁ τύπτων τυπτόμενον τύπτει, τὸ δὲ 195
κατὰ κρίσιν ὡς ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη, τὸ δὲ κατὰ θέσιν ὡς
τὸ δεξιὸν ἀριστεροῦ δεξιόν, τὸ δὲ κατὰ τὴν πρὸς τὸ γένος ἀναφορὰν
ὡς ἡ γραμματικὴ καὶ ἡ μουσικὴ ἀνάγεται· καὶ γὰρ τούτων ἡ
ἐπιστήμη γένος. δεῖ δὲ εἰδέναι ὅτι τῶν πρός τι τὰ μὲν κατὰ γενικὴν
πτῶσιν προφέρεται, οἷον ὁ δεσπότης δούλου δεσπότης, τὰ δὲ κατὰ δο- 200
τικήν, ὡς τὸ ἐπιστητὸν τῇ ἐπιστήμῃ ἐστὶν ἐπιστητόν, τὰ δὲ κατὰ αἰ-
τιατικήν, ὡς ὁ τύπτων τυπτόμενον τύπτει. ἔχει δὲ τὰ πρός τι ἴδια τέσ-
σαρα, ἓν μὲν τὸ ὑπάρχειν ἐν αὐτοῖς ἐναντιότητα – καὶ γὰρ τῇ
ἐπιστήμῃ ἐστὶν ἐναντίον ἡ ἄγνοια –, δεύτερον δὲ τὸ ἐπιδέχεσθαι τὸ

175–184 cf. 140, 94–115; PG 101, 792 C cod. Mon. ‖ **185–199** cf. 141, 1–21; PG 101, 793 C–796 A cod. Mon ‖ **199–202** cf. 141, 31–34 ‖ **202–209** cf. 141, 39–54

175 *ὧν* **m**[25]: *ἧς* cett. ‖ **177** *ἐστὶν* om. **Mp**[20]**m**[25] ‖ **185** *περὶ τοῦ πρός τι* **M**, **m**[11] (*τῶν* pro *τοῦ*), **v**[47] **ηa**[14]: om. cett. ‖ **186** *τὸ*[2] habet et Phot. cod. Mon.: om. **η**: immo *τῷ* ‖ **198** *ἡ μουσικὴ ἀνάγεται*] sic et cod. Mon. Phot.; exciderunt nonnulla post *μουσικὴ* (cf. Phot.): pro *ἀνάγεται* scr. *πρὸς ἓν γένος ἀνάγονται* **v**[47]: post *ἀνάγεται* add. *ἐπὶ τὴν ἐπιστήμην* **m**[25]

205 *μᾶλλον καὶ τὸ ἧττον, τρίτον τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι, οἷον ὁ δοῦλος δεσπότου δοῦλος καὶ ἀντιστρέφει – καὶ ὁ δεσπότης γὰρ δούλου δεσπότης –, τέταρτον τὸ ἅμα τῇ φύσει εἶναι· ἅμα γὰρ διπλάσιόν τέ ἐστι καὶ ἥμισυ, καὶ ἡμίσεος ὄντος αὐτίκα καὶ διπλάσιόν ἐστι. καὶ ἐπὶ πάντων τῶν πρός τι ὁμοίως ἔχει. καὶ περὶ μὲν τοῦ πρός τι ἀρκεί-*
210 *σθω ταῦτα.*

Περὶ τοῦ ποιεῖν καὶ πάσχειν

Διττόν ἐστι τὸ ποιεῖν, ἢ ἐν σώματι ὡς τὸ τέμνειν καὶ καίειν, ἢ ἐν ψυχῇ ὡς τὸ λυπεῖν καὶ χαροποιεῖν. ὁμοίως δὲ καὶ τὸ πάσχειν, τὸ μὲν ἐν ψυχῇ ὡς τὸ λυπεῖσθαι, τὸ δὲ ἐν σώματι ὡς τὸ τέμνεσθαι. ἔχει δὲ
215 *ἴδια δύο, ἓν μὲν τὸ ἐπιδέχεσθαι ἐναντιότητα – οὐχ ὅτι τὸ ποιεῖν τῷ πάσχειν ἐστὶν ἐναντίον, ἀλλ' ὅτι τὸ ποιεῖν ἤγουν τὸ ψύχειν ἐναντίον ἐστὶ πάλιν τῷ ποιεῖν ἤγουν τῷ θερμαίνειν καὶ τὸ πάσχειν ὁμοίως ἤγουν τὸ ψύχεσθαι τῷ θερμαίνεσθαι ἐναντίον ἐστί –, δεύτερον τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον· θερμαίνειν γὰρ μᾶλλον καὶ ἧττον*
220 *λέγεται καὶ θερμαίνεσθαι μᾶλλον καὶ ἧττον λέγεται.*

Περὶ τοῦ ποῦ

Τὸ ποῦ εἰς ἓξ διαιρεῖται, εἰς τὸ ἄνω καὶ κάτω, τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν, τὸ δεξιὸν καὶ τὸ ἀριστερόν.

Περὶ τοῦ ποτέ

225 *Τὸ ποτὲ εἰς τρία διαιρεῖται, εἰς ἐνεστῶτα ὡς τὸ σήμερον, εἰς παρεληλυθότα ὡς τὸ χθές, εἰς μέλλοντα ὡς τὸ αὔριον.*

Περὶ τοῦ κεῖσθαι

Τοῦ κεῖσθαι εἴδη τρία, τὸ ἀνακεκλίσθαι, τὸ ἑστάναι, τὸ καθῆσθαι· εἰ μὲν γὰρ πάντα τὰ μόρια ὄρθια ἔχει, λέγεται ἑστάναι· εἰ δὲ τὰ μὲν
230 *ὄρθια τὰ δὲ οὔ, ποιεῖ τὸ καθῆσθαι· εἰ δὲ οὐδὲν ὄρθιον, ἀλλὰ ὅλα κεκλιμένα, ἀνακεῖσθαι λέγεται.*

209–210 cf. 141, 74–75 ‖ **211–220** cf. PG 101, 804 C cod. Mon. ‖ **221–223** cf. Qu. 145, 1–3 ‖ **227–228** cf. 146, 1–13

211 tit. **M p**^{20}**v**^{47} **η**: *περὶ τοῦ ποιεῖν* **m**^{11}: om. cett. ‖ **218** *τῷ* **p**^{20}**v**^{47}: *τοῦ* cett. ‖ **221** *τοῦ*] *τῆς* **M η**: tit. om. **v**^{22}**a**^{7}**m**^{12}**a**^{14} ‖ **224** *τοῦ*] *τῆς* **M η**: tit. om. **v**^{22}**a**^{7}**m**^{12}**a**^{14} ‖ **227** tit. om. **v**^{22}**a**^{7}**m**^{12}**a**^{14} ‖ **231** *ἀνακεῖσθαι*] exspectaveris *ἀνακεκλίσθαι*, sed cf. Arist. 6 b 12 ‖ **231–232** hic (et apud Phot.) deest categoria *τὸ ἔχειν*

Περὶ τῶν ἀντικειμένων

Τὰ ἀντικείμενα ἢ ἐν λόγοις εἰσίν, οἷον 'Σωκράτης κάθηται', 'οὐ κάθηται', καὶ ποιεῖ τὸ κατὰ ἀντίφασιν ἀντικεῖσθαι, ἢ ἐν πράγμασι καὶ ταῦτα ἢ ἐν σχέσει καὶ ὡς σωστικὰ ἀλλήλων ὄντα παραλαμβάνεται καὶ 235 *ποιεῖ τὸ κατὰ πρός τι ἀντικεῖσθαι, οἷον πατήρ, υἱὸς καὶ τὰ ὅμοια, ἢ φθαρτικὰ ἀλλήλων εἰσὶ καὶ εἰς ἄλληλα μεταβάλλουσιν, εἰ μὴ οἷς φύσει τὸ ἓν ὑπάρχει, καὶ ποιεῖ τὸ κατ' ἐναντιότητα ἀντικείμενον, ὡς ἡ ὑγεία καὶ ἡ νόσος, ἢ τὸ μὲν μεταβάλλει ὡς ἡ ἕξις εἰς τὴν στέρησιν, τὸ δ' οὐ μεταβάλλει ἤγουν ἡ στέρησις εἰς τὴν ἕξιν καὶ ποιεῖ τὸ κατὰ στέρησιν* 240 *καὶ ἕξιν ἀντικεῖσθαι ὡς ἡ ὄψις καὶ ἡ τυφλότης· ἀπὸ μὲν γὰρ τῆς ὄψεως εἰς τὴν τυφλότητά ἐστι μεταβάλλεσθαι, ἀπὸ δὲ τῆς τυφλότητος εἰς τὴν ὄψιν κατὰ φύσιν οὐκ ἔστι μεταβολή. ταῦτα καὶ περὶ τῶν ἀντικειμένων.*

Τοῦ αὐτοῦ σύνοψις καὶ μετάφρασις σαφεστάτη τῆς διδασκαλίας τοῦ 245 *Περὶ ἑρμηνείας*

Ὅτι ὁ σκοπὸς τοῦ Περὶ ἑρμηνείας διαλαμβάνει περὶ προτάσεων· ἀλλ' ἐπειδὴ πᾶσα πρότασις ἐξ ὀνόματός ἐστι καὶ ῥήματος ἤγουν ὑποκειμένου καὶ κατηγορουμένου, ῥητέον πρῶτον περὶ ὀνόματος καὶ ῥήματος, ἅπερ εἰσὶ μέρη τῶν προτάσεων, ἔπειτα περὶ ἀποφάσεως καὶ 250 *καταφάσεως καὶ ἀποφάνσεως καὶ λόγου. ἔτι πρὸ τούτων θεωρητέον πότερον φύσει ἐστὶν ὁ λόγος ἢ οὔ. λέγομεν ὅτι οὐκ ἔστι φύσει· τέσσαρα γάρ εἰσιν ἀλλήλοις παρακείμενα, φωναί, γράμματα, νοήματα καὶ πράγματα, καὶ τὰ μὲν νοήματα καὶ πράγματα φύσει εἰσίν, ἐπειδὴ παρὰ πᾶσι τὰ αὐτά εἰσι, τὰ δὲ δύο, ἤγουν τὰ ἐν τῇ φωνῇ καὶ τὰ* 255 *γράμματα, οὐ παρὰ πᾶσι τὰ αὐτά, διὸ οὐδὲ φύσει, ἀλλὰ θέσει εἰσίν. εἰ δὲ τὰ ἐν τῇ φωνῇ οὐκ ἔστι φύσει, φανερὸν ὅτι καὶ ὁ λόγος ἐν τῇ φωνῇ ὢν οὐ φύσει, ἀλλὰ θέσει ἐστί. καὶ τὰ μὲν τῶν τεσσάρων τούτων ἐξαγγέλλουσι, τὰ δὲ ἐξαγγέλλονται, τὰ δὲ καὶ ἐξαγγέλλουσι καὶ ἐξαγ-*

233–234 cf. El. in Cat. 242, 4 || **233–243** cf. Philop. in Cat. 168, 18–29; Olymp. in Cat. 134, 34–135, 20 || **245–509** **Mp**^{20}**v**^{29}**m**^{11}**m**^{13}**a**^{7}, **m**^{12} (usque ad 279), **ηa**^{14}[= **β**] **j**^{1}, **b**^{16} (usque ab 329), **v**^{28}[= **γ**] || **249–251** cf. Arist. Int. 16 a 1–2 || **252–258** cf. Steph. in Int. 1, 13–18 || **258–262** cf. Steph. in Int. 5, 22–25

240 *ἤγουν*] *ὡς* **Mp**^{20}**v**^{47} || **245** *Τοῦ αὐτοῦ*] *τοῦ σοφωτάτου καὶ λογιωτάτου ψελλοῦ* **a**^{14}: om. **j**^{1}**v**^{28} (post *ἑρμ.* scr. *τοῦ σοφωτάτου ψελλοῦ* **v**^{28}, *τοῦ αὐτοῦ ὑπερτίμου* **j**^{1}, ad 329 habet *τοῦ ὑπερτίμου ψελλοῦ· σύνοψις εἰς τὸ β' τμῆμα* **b**^{16}) || **253** *εἰσιν* **v**^{28}**p**^{20}**v**^{29}**m**^{13}: om. **j**^{1}: *ἐστιν* cett.

260 *γέλλονται· τὰ μὲν γὰρ πράγματα ἐξαγγέλλονται μόνως, τὰ δὲ γραφόμενα ἐξαγγέλλουσι μόνως, τὰ δὲ νοήματα καὶ αἱ φωναὶ καὶ ἐξαγγέλλουσι καὶ ἐξαγγέλλονται.*

Περὶ ὀνόματος

Λεκτέον οὖν περὶ ὀνόματος. τὸ ὄνομα παρὰ τῷ Ἀριστοτέλει πέντε
265 *σημαίνει· ἢ γὰρ πᾶσα λέξις παρ' αὐτῷ καλεῖται ὄνομα ἢ ἡ εὐθεῖα ἢ αἱ πλάγιοι ἢ τὸ ἀόριστον ἢ πᾶν τὸ ὑποκειμένου τάξιν ἐπέχον, κἄν τε ὄνομα εἴη κυρίως κἄν τε ῥῆμα τῶν τῆς εὐθείας πτώσεως. ἡ δὲ ὑπογραφὴ αὐτοῦ τοιαύτη· 'ὄνομά ἐστι φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον, ὡρισμέ-*
270 *νον τι δηλοῦσα καὶ μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται, ἤγουν μετὰ τῶν τριῶν χρόνων, ἀληθεύουσα ἢ ψευδομένη.' τὸ μὲν οὖν 'φωνὴ σημαντικὴ' παρείληπται ἀντὶ γένους· γένος γὰρ ἡ φωνὴ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος καὶ τοῦ λόγου, τὰ δὲ ἄλλα παρείληπται ἀντὶ συστατικῶν διαφορῶν.*

275
Περὶ ῥήματος

Τὸ ῥῆμα καὶ τοῦτο πενταχῶς λέγεται καθὰ καὶ τὸ ὄνομα· λέγεται ῥῆμα ὁμοίως πᾶσα λέξις· λέγεται ῥῆμα καὶ ὁ ἐνεστὼς χρόνος· λέγεται ῥῆμα καὶ τὰ πέριξ τοῦ ἐνεστῶτος, ὁ παρεληλυθὼς καὶ ὁ μέλλων· λέγεται ῥῆμα καὶ τὸ ἀόριστον ῥῆμα· λέγεται ῥῆμα καὶ ἁπλῶς πᾶν τὸ
280 *κατηγορουμένου τάξιν ἐπέχον. τὸ οὖν ῥῆμα, ὃ τὸν ἐνεστῶτα χρόνον σημαίνει, οὕτως ὑπογράφεται· 'ῥῆμά ἐστι φωνὴ σημαντικὴ κατὰ συνθήκην, προσσημαίνουσα χρόνον, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον, ὡρισμένον τι δηλοῦσα καὶ ἐκ τοῦ ἐνεστῶτος προφερομένη.' τὸ μὲν οὖν 'φωνὴ' κἀνταῦθα ἀντὶ γένους παρείληπται, τὰ δὲ*
285 *λοιπὰ ἀντὶ συστατικῶν διαφορῶν· οἷον ῥῆμα μὲν κυρίως τὸ 'ὑγιαίνω' καὶ 'ὑγιαίνει' καὶ ἁπλῶς πᾶν ὅπερ ἐστὶν ἐνεστῶτος χρόνου. πτώσεις δὲ*

264–266 cf. 11, 26–28 ‖ **268–270** Arist. Int. 16 a 19–21 ‖ **268–271** cf. Steph. in Int. 11,31–12,1; Amm. in Int. 45,9–12 ‖ **270–271** cf. Arist. Int. 16 b 2–3 ‖ **271–274** cf. Steph. in Int. 7,9–12 ‖ **276–280** cf. Steph. in Int. 14,6–9 ‖ **277–278** cf. Amm. in Int. 52, 22–23; Arist. Int. 16 b 18 ‖ **281–284** cf. Steph. in Int. 12, 29–31; 14, 4–6 ‖ **286–287** cf. Arist. Int. 16 b 16–17

265 *ἢ ἡ* **j**^{1}**v**^{28}**Ma**^{7}**m**^{12}**a**^{14}: *ἢ* vel *ἡ* tantum cett. ‖ **266** *ὑποκειμένου* **M**, **v**^{29} p. c., **a**^{7}**v**^{23}**v**^{24}**a**^{14}: *ὑποκείμενον* cett. | *τάσιν* **j**^{1}**v**^{28} ‖ **268** *αὐτοῦ* **Mv**^{29}**a**^{7}**m**^{12}**ηa**^{14}: *αὐτῷ* **j**^{1}**v**^{28}**m**^{11}: *αὐτῶν* **p**^{20} ‖ **269** *ἐστὶ* **m**^{11}**m**^{13}**a**^{7}**m**^{12}**ηa**^{14}**v**^{28}: om. **Mp**^{20}**v**^{29}**j**^{1} ‖ **270** *δηλοῦσα* **βa**^{14}: *δηλοῦν* **j**^{1}: *δηλοῦσι* **v**^{28} ‖ **282** *προσσημαίνουσα* **j**^{1}**v**^{28}**Mv**^{29}**a**^{7} (ad 279 desinit **m**^{12}) **a**^{14}: *προσημ.* cett.

χρόνου τὸ 'ὑγίανε' καὶ 'ὑγιανεῖ' καὶ τὰ ὅμοια. τὸ δὲ 'οὐχ ὑγιαίνει' καὶ 'οὐ κάμνει' ἀόριστον ῥῆμα καλεῖται, ἐπειδὴ δύναται καὶ ἐπὶ τοῦ μὴ ὄντος ἁρμόζειν καὶ ἐπὶ τοῦ ὄντος· καὶ γὰρ νοσοῦντος τοῦ Σωκράτους λέγομεν ὅτι 'ὁ Σωκράτης οὐχ ὑγιαίνει'. ἁρμόζει καὶ ἐπὶ τοῦ μὴ ὄντος· 290 *δυνάμεθα λέγειν ὅτι 'ὁ τραγέλαφος οὐχ ὑγιαίνει'. καὶ περὶ μὲν ὀνόματος καὶ ῥήματος ἀρκείσθω τὰ νῦν.*

Δεῖ δὲ εἰδέναι ὅτι τὸ ὄνομα καὶ τὸ ῥῆμα αὐτὰ καθ' αὑτά, κἄν τε ἁπλᾶ κἄν τε σύνθετα εἴη, οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαίνουσι, συμπλεκόμενα δὲ μετ' ἀλλήλων ἀλήθειαν ἢ ψεῦδος σημαίνουσι. 295 *κεχωρισμένα δὲ ταῦτα λαμβανόμενα καλοῦνται ὅροι καὶ φάσεις καὶ ὀνόματα καὶ ῥήματα. συμπλεκόμενα δὲ ἀποτελοῦσι τὴν πρότασιν· πᾶσα γὰρ πρότασις ἐξ ὀνόματος καὶ ῥήματος σύγκειται.*

Περὶ λόγου τμῆμα πρῶτον

'Λόγος ἐστὶ φωνὴ σημαντική, ἧς τῶν μερῶν ⟨τι⟩ σημαντικόν ἐστι 300 *⟨κεχωρισμένον⟩ ὡς φάσις, ἀλλ' οὐχ ὡς κατάφασις.' ἔχει δὲ ὁ λόγος εἴδη πέντε, εὐκτικόν, κλητικόν, ἐρωτηματικόν, προστακτικὸν καὶ ἀποφαντικόν. πέντε οὖν εἰδῶν τοῦ λόγου ὄντων ὁ ἀποφαντικός ἐστι χρήσιμος τῇ φιλοσοφίᾳ, οἱ δ' ἄλλοι ῥητορικῇ μᾶλλον καὶ ποιητικῇ ἁρμόζουσιν. ἐκεῖνος δέ ἐστι λόγος ἀποφαντικός, ἐν ᾧ τὸ ἀληθὲς καὶ τὸ* 305 *ψεῦδος ὑπάρχει. κέκληται δὲ ἀποφαντικὸς ὡς ἐκφαίνων καὶ ἀνακαλύπτων τὰ ἐν τῇ ψυχῇ κεκρυμμένα νοήματα. ἔχει δὲ ὁ ἀποφαντικὸς λόγος εἴδη δύο, κατάφασιν καὶ ἀπόφασιν. καὶ κατάφασις μέν ἐστιν ἀπόφανσίς τινος κατά τινος, οἷον 'ἄνθρωπος περιπατεῖ', ἀπόφασις δέ ἐστιν ἀπόφανσίς τινος ἀπό τινος, οἷον 'ἄνθρωπος οὐ περιπατεῖ'.* 310 *ῥητέον δὲ καὶ τί ἐστιν 'εἷς λόγος'· ἢ ὁ ἓν πρᾶγμα δηλῶν κυρίως, ὡς ὁ λόγος ὁ λέγων 'ὁ ἄνθρωπος ζῷόν ἐστιν' – ἓν γὰρ δηλοῖ οὗτος ὁ λόγος –, ἢ ἓν δηλῶν διὰ τοῦ συνδέσμου, ὡς οἱ ὑποθετικοὶ συλλογισμοί, οἷον ὡς τὸ 'ἡμέρα ἐστίν, ὅτι ὑπὲρ γῆν ἐστιν ὁ ἥλιος', ἢ οἱ κατηγορικοὶ συλλογισμοὶ οἳ διὰ μέσου ὅρου τὰ ἄκρα συνδέουσιν, οἷόν ἐστι ⟨***⟩.* 315

287–289 cf. 16 b 11–15 || **289–291** cf. Steph. in Int. 13, 18–22 || **300–301** Arist. Int. 16 b 26–27 sq. || **301–302** cf. Steph. in Int. 19, 11–12 || **305–306** cf. Arist. Int. 17 a 2–3 || **306–312** cf. 17 a 4–7 || **307–308** cf. 17 a 8–9 || **308–310** 17 a 25–26 || **311** *εἷς λόγος*] 17 a 15 || **313–314** cf. Steph. in Int. 21, 31–32

287 *χρόνου*] *ῥήματος* **M**$\mathbf{p}^{20}\mathbf{v}^{29}$ (fort. recte) || **290** *ἁρμόσει* $\mathbf{j}^{1}\mathbf{v}^{28}$ || **299** *τμῆμα πρῶτον* **M** $\mathbf{v}^{29}$**η**: om. cett. || **300** *τι* $\mathbf{v}^{28}$: om. cett. || **301** *κεχωρισμένον* $\mathbf{j}^{1}\mathbf{p}^{20}\mathbf{v}^{29}$: om. cett. || **315** lac. indicavi: *οἷόν ἐστι* om. $\mathbf{v}^{29}$

πολλοὶ δὲ λόγοι εἰσὶν οἵτινες ἐνεργείᾳ ἢ δυνάμει πολλὰ σημαίνουσιν, οἷον 'ὁ ἄνθρωπος καὶ ὁ ἵππος τρέχει'. ἰδοὺ πολλά εἰσι ταῦτα· οὐ γὰρ ἓν πρᾶγμα δηλοῦσιν, ἀλλὰ δύο, τὸν ἄνθρωπον τρέχειν καὶ τὸν ἵππον. δυνάμει δὲ πολλὰ σημαίνουσιν οἱ ἔχοντες τὸ κατηγορούμενον ἢ τὸ 320 *ὑποκείμενον ἢ τὸ συναμφότερον ὁμώνυμον. ὥστε εἰ μέλλει τις ἕνα λόγον εἰπεῖν, δεῖ σκοπεῖν αὐτόν, ἵνα μήτε τὸ κατηγορούμενον ὁμώνυμον παραλαμβάνηται μήτε τὸ ὑποκείμενον, οἷον τὸ 'ἄνθρωπος ζῷόν ἐστιν'· ἰδοὺ γὰρ τοῦτο εἷς λόγος ἐστὶ καὶ ἔστι κατάφασις, καὶ τὸ 'ἄνθρωπος ζῷον οὐκ ἔστιν' εἷς λόγος ἐστὶ καὶ ἔστιν ἀπόφασις. καλεῖται δὲ ἡ* 325 *μάχη τῶν δύο τούτων ἀντίφασις· ἀντίφασις γάρ ἐστι μάχη καταφάσεως καὶ ἀποφάσεως, τῆς μὲν καταφάσεως καταφασκούσης τὸ αὐτὸ κατηγορούμενον κατὰ τοῦ αὐτοῦ ὑποκειμένου, τῆς δὲ ἀποφάσεως ἀποφασκούσης τὸ αὐτὸ κατηγορούμενον ἐκ τοῦ αὐτοῦ ὑποκειμένου.*

Τμῆμα δεύτερον

330 *Ἐπεὶ οὖν εἴρηται ὅτι ἀντίφασίς ἐστι μάχη καταφάσεως καὶ ἀποφάσεως, ῥητέον καὶ τὰ εἴδη τῆς ἀντιφάσεως. ἔστιν οὖν εἴδη τῆς ἀντιφάσεως τέσσαρα· καθ' ἕκαστα οἷον 'Σωκράτης ζῷόν ἐστι, Σωκράτης ζῷον οὐκ ἔστιν'· ἀπροσδιόριστος οἷον 'ἄνθρωπος ζῷόν ἐστιν, ἄνθρωπος ζῷον οὐκ ἔστι'· προσδιωρισμένη ἡ μὲν ἔχουσα τὴν κατάφασιν μερικήν,* 335 *οἷον 'τὶς ἄνθρωπος ζῷόν ἐστιν, οὐδεὶς ἄνθρωπος ζῷόν ἐστιν', ἡ δὲ ἔχουσα τὴν κατάφασιν καθόλου, οἷον 'πᾶς ἄνθρωπος ζῷόν ἐστιν, οὐ πᾶς ἄνθρωπος ζῷόν ἐστιν'. ἐπειδὴ δὲ προσδιωρισμένων προτάσεων ἐμνήσθημεν, φανερὸν ὅτι τέσσαρες μόνοι εἰσὶ προσδιορισμοί, δύο καταφατικοί, ὁ καθόλου προσδιορισμός, οἷον τὸ εἰπεῖν 'πᾶς', καὶ ὁ μερι-* 340 *κός, οἷον τὸ 'τίς', καὶ δύο ἀποφατικοί, ⟨ὁ⟩ καθόλου, οἷον τὸ εἰπεῖν 'οὐδείς', καὶ ὁ μερικός, οἷον τὸ 'οὐ πᾶς'. θεωρεῖται δὲ εἰς ἕκαστον τῶν τεσσάρων καὶ ποσότης καὶ ποιότης, καὶ ἡ μὲν ποσότης ἐστὶ τὸ καθόλου ἢ τὸ μερικόν, ἡ δὲ ποιότης τὸ καταφατικὸν ἢ ἀποφατικόν. καὶ ἡ μὲν μάχη τῆς 'πᾶς' πρὸς τὴν 'οὐδεὶς' καλεῖται ἐναντία ἀντίθεσις, ἡ δὲ* 345 *μάχη τοῦ 'τὶς' πρὸς τὸ 'οὐδεὶς' ἢ τοῦ 'πᾶς' πρὸς τὸ 'οὐ πᾶς' καλεῖται*

319–320 cf. 20, 13–16 ‖ **324–325** cf. 22, 24–25 ‖ **325–326** cf. Amm. in Int. 81, 13–15; Steph. in Int. 22, 24–26 ‖ **330** *εἴρηται*] supra 325–326 ‖ **330–348** cf. Amm. in Int. 92, 16–93, 18

329 *τμῆμα δεύτερον* **M v**^{29} **m**^{13} **η a**^{14}, sim. **v**^{28} **b**^{16}: om. cett. | post tit. add. *εἰς τὸ αὐτό* **m**^{13} **η**, sim. **j**^{1} ‖ **333** *ἀπροσδιόριστος* **γ p**^{20} **b**^{7} **c**^{3}: *-ον* cett. ‖ **336** *οἷον* – **401** *μὲν* om. **p**^{20} ‖ **340** *ὁ* **j**^{1} **b**^{16} ‖ **341** an *θεωροῦνται δὲ εἰς ἑκάστην* (sc. *πρότασιν*) legendum?

*ἀντιφατικὴ ἀντίθεσις. ἡ δὲ ʽτὶςʼ πρὸς τὴν ʽοὐ πᾶςʼ συγκρινομένη καλεῖ-
ται ὑπεναντία, ἡ δὲ ʽπᾶςʼ πρὸς τὴν ʽτὶςʼ καὶ ἡ ʽοὐδεὶςʼ πρὸς τὴν ʽοὐ
πᾶςʼ καλεῖται ὑπάλληλος. τοσούτων οὖν συζυγιῶν ἐκ τῶν προσδιωρισ-
μένων γινομένων τὰς μὲν ὑπαλλήλους καὶ ὑπεναντίας ὡς μὴ οὔσας
κριτήριον ἀληθείας καὶ ψεύδους παραλιμπάνομεν, καὶ ἔτι τὰς ἐναν-* 350
*τίας, εἰ καί ποτε διαιροῦσι τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος, ἐπεὶ πάλιν
καὶ συμψεύδονται, ποτὲ ἄχρηστοί εἰσιν· καὶ γὰρ ἐπὶ ἀναγκαίας καὶ
ἀδυνάτου ὕλης διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἐπὶ δὲ τῆς ἐνδεχο-
μένης συμψεύδονται· ψεύδεται γὰρ καὶ ἡ λέγουσα ʽπᾶς ἄνθρωπος δί-
καιός ἐστιʼ καὶ ἡ ʽοὐδεὶς ἄνθρωπος δίκαιοςʼ. χρήσιμοι δὲ μόναι αἱ ἀν-* 355
*τιφατικῶς λαμβανόμεναι· αὗται γὰρ καὶ ἐπὶ πάσης ὕλης καὶ ἐπὶ
παντὸς χρόνου διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος.*

*Εἴπωμεν δὲ καὶ περὶ ὕλης προτάσεων. ἐπὶ πάσης προτάσεως ἡ σχέ-
σις ἡ ἐπινοουμένη ἀνεκφωνήτως τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκεί-
μενον ἢ ἀεὶ πρόσεστι καὶ καλεῖται ἀναγκαία ὕλη, οἷον ʽἄνθρωπος ἀνα-* 360
*πνεῖʼ, ἢ ἀεὶ οὐκ ἔστι καὶ καλεῖται ἀδύνατος ὕλη, οἷον ʽἄνθρωπος
ἵπταταιʼ, ἢ ποτέ, οἷον ʽἄνθρωπος περιπατεῖʼ, καὶ καλεῖται ἐνδεχομένη
ὕλη.*

*Ἐπεὶ δὲ ἀντιφάσεις τέσσαρές εἰσι, ῥητέον καὶ περὶ ἀντιφάσεως. αἱ
προσδιωρισμέναι ἀντιφάσεις κατὰ τὴν τριμέρειαν τῆς ὕλης καὶ κατὰ* 365
*τὴν τριμέρειαν τοῦ χρόνου διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καί εἰσι
τῶν ἄλλων ἀντιφάσεων κυριώτεραι καὶ χρήσιμοι μᾶλλον. ἡ δὲ καθʼ
ἕκαστα ἀντίφασις διαιρεῖ καὶ αὕτη τὸ ἀληθὲς καὶ τὸ ψεῦδος κατὰ τὴν
τριμέρειαν τοῦ χρόνου καὶ κατὰ τὴν τριμέρειαν τῆς ὕλης, ἀλλʼ οὐχ
ὁμοίως· καὶ γὰρ ἐπὶ μὲν ἐνεστῶτος καὶ παρεληλυθότος κατὰ τὴν τρι-* 370
*μέρειαν τῆς ὕλης διαιρεῖται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, οὐ μέντοι γε
καὶ ἐπὶ τοῦ μέλλοντος, ἀλλὰ κατὰ μὲν τὴν ἀναγκαίαν καὶ ἀδύνατον
ὕλην διαιρεῖ ὁμοίως καὶ ὡρισμένως, κατὰ δὲ τὴν ἐνδεχομένην διαιρεῖ
πάντως, ἀλλʼ ἀορίστως, οἷον ἡ λέγουσα αὔριον γενήσεσθαι ναυμαχίαν
ἢ μὴ γενήσεσθαι· ἀληθεῦσαι μὲν γὰρ ἀνάγκη θάτερον μόριον τῆς* 375
ἀντιφάσεως, οὐ μὴν ὡρισμένως, ἀλλʼ οἷον ἂν τύχῃ.

352–355 cf. Steph. in Int. 28,16–22 ‖ 358–363 cf. Steph. in Int. 27,10–23; Amm. in Int. 88,4–19 ‖ 367–376 cf. Steph. in Int. 34,18–22; 39,1–7; Amm. in Int. 138,28–139,20

366 *εἰσι* $\mathbf{v}^{28}\mathbf{b}^{16}$ (non leg. $\mathbf{j}^{1}$): *εἰ ἦσαν* $\mathbf{M}\mathbf{m}^{11}\mathbf{m}^{13}\mathbf{a}^{7}\mathbf{a}^{14}$: loc. om. $\mathbf{p}^{20}$ (v. ad 336) **η** ‖ 368 *αὕτη* $\mathbf{v}^{28}\mathbf{b}^{16}$: *ταύτη* $\mathbf{M}\mathbf{v}^{29}\mathbf{a}^{7}\mathbf{a}^{14}$: *ταύτης* $\mathbf{m}^{11}$: non leg. $\mathbf{m}^{13}\mathbf{j}^{1}$: loc. om. $\mathbf{p}^{20}$**η** ‖ 372 *καὶ*^{2} $\mathbf{M}\mathbf{v}^{29}\mathbf{m}^{11}\mathbf{m}^{13}$**η**: *καὶ τὴν* $\mathbf{a}^{7}\mathbf{a}^{14}\mathbf{v}^{28}$: non leg. $\mathbf{j}^{1}$, loc. om. $\mathbf{p}^{20}$ ‖ 375 *ἀληθεῦσαι* **γ**: *ἀληθεύσεαι* $\mathbf{b}^{7}$, *-σαιε* $\mathbf{c}^{3}$: *ἀληθεύσει* vel *ἀληθεύει* cett.

Ἡ δὲ ἀπροσδιόριστος ἀντίφασις κατὰ μὲν τὴν ἀναγκαίαν καὶ ἀδύνατον ὕλην ἐπὶ παντὸς χρόνου διαιρεῖ ἀλήθειαν καὶ ψεῦδος, κατὰ δὲ τὴν ἐνδεχομένην ἐπὶ παντὸς χρόνου δύναται συναληθεύειν. δεῖ δὲ εἰδέ-
380 *ναι ὅτι πᾶσα πρότασις ἐξ ὑποκειμένου καὶ κατηγορουμένου γενομένη ἢ ἐξ ὡρισμένου γίνεται ὀνόματος καὶ ῥήματος ἢ ἐξ ἀορίστου ὀνόματος καὶ ῥήματος ὡρισμένου. ἐπεὶ δὲ τὸ κατηγορούμενον ἔχει ἐν ταύταις ταῖς προτάσεσι τὸ κῦρος, καὶ εἰ μὲν ἀπροσδιόριστοί εἰσιν, τὸ 'οὐ' ἀρνητικὸν μόριον ἐπὶ τῆς ἀποφάσεως εἰς τὸ κατηγορούμενον δέχονται,*
385 *οἷον 'Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ' καὶ ἐπὶ τῶν ὁμοίων. εἰ δὲ προσδιωρισμέναι εἰσίν, εἰς τὸν προσδιορισμόν, οἷον 'πᾶς ἄνθρωπος περιπατεῖ, οὐ πᾶς ἄνθρωπος περιπατεῖ', 'τὶς ἄνθρωπος περιπατεῖ, οὐδεὶς ἄνθρωπος περιπατεῖ'. καὶ ταῦτα μὲν περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων εἰρήσθω.*

390 *Τμῆμα τρίτον*

Ἰστέον ὅτι πολλὰ εἴδη προτάσεών εἰσιν· αἱ μὲν γάρ εἰσιν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου μόνον, οἷον τὸ εἰπεῖν 'ἄνθρωπος περιπατεῖ', περὶ ὧν ἐν τῷ δευτέρῳ τμήματι διελάβομεν, αἱ δὲ ἐκ τρίτου τοῦ 'ἔστι' προσκατηγορουμένου, περὶ ὧν μέλλομεν ἐν τῷ τρίτῳ τμήματι
395 *διδάσκειν, οἷόν ἐστι τὸ εἰπεῖν 'ἄνθρωπος δίκαιός ἐστι', αἱ δὲ μετὰ τρόπου, περὶ ὧν ἐν τῷ τετάρτῳ τμήματι διαλεχθησόμεθα, οἷόν ἐστι τὸ 'ἄνθρωπος ἐνδεχομένως περιπατεῖ', 'ἄνθρωπος ἀναγκαίως ἀναπνεῖ' καὶ τὰ ὅμοια. ὅταν οὖν τὸ 'ἔστι' τρίτον προσκατηγορηθῇ μετὰ τοῦ ὑποκειμένου καὶ κατηγορουμένου λαμβανόμενον, δύο γίνονται ἀντιφάσεις,*
400 *δηλονότι τοῦ ὀνόματος ἤγουν τοῦ ὑποκειμένου ὡρισμένου ὄντος μία μὲν ἡ λέγουσα 'ἄνθρωπος δίκαιός ἐστι, ἄνθρωπος δίκαιος οὔκ ἐστιν', ἥτις καὶ ἁπλῆ λέγεται, ἑτέρα δὲ ἡ ἔχουσα τὸ κατηγορούμενον ἀόριστον, οἷον ἡ λέγουσα 'ἄνθρωπος οὐ δίκαιός ἐστιν, ἄνθρωπος οὐ δίκαιος οὔκ ἐστιν', ἥτις καλεῖται ἐκ μεταθέσεως διὰ τὸ μεταπεσεῖν τὸ*
405 *'οὐ' ἀρνητικὸν μόριον ἐκ τῆς ἁπλῆς ἀποφάσεως τῆς λεγούσης ὅτι 'ἄν-*

382–388 cf. Amm. in Int. 95,4–27 ‖ **382–384** cf. Steph. in Int. 26,3–5; 12–15 ‖ **386** cf. 26,19–22 ‖ **398** cf. Arist. Int. 19 b 19 sq. ‖ **399–415** cf. Steph. in Int. 40,1–9; 41,12–20

390 *τμῆμα τρίτον* **M** (qui *σὺν θεῷ* ante *τρίτον* add.), **v**^{29}**m**^{13}**η**: *περὶ λόγου τμῆμα τρίτον* **a**^{14}: om. **m**^{11}**a**^{7}: loc. om. **p**^{20}: *τοῦ αὐτοῦ ὑπερτίμου σύνοψις εἰς τὸ αὐτὸ τμῆμα* **j**^{1} (sim. **b**^{16}), *παράφρασις τοῦ τρίτου τμήματος τοῦ ψελλοῦ* **v**^{28} ‖ **392** *μόνον* **γ** **b**^{7}**c**^{3}**v**^{24}**a**^{14}: *-ου* cett. ‖ **393** ante *τρίτου* add. *τοῦ* **γ** ‖ **394** *ὧν* scripsi (cf. 393 et 396): *οὗ* codd. ‖ **398** *ὅταν*] *ὅτε* **γ**

θρωπος δίκαιος οὔκ ἐστιν' εἰς τὸ κατηγορούμενον, εἰς τὸ 'δίκαιος', καὶ
ποιῆσαι κατάφασιν ἑτέραν ἢ ἐκ μεταθέσεως καλεῖται. ἐὰν δὲ καὶ τὸ
ὑποκείμενον ἀόριστον γίνηται, ὥσπερ καὶ τὸ κατηγορούμενον, εἰς τὰς
ἐκ τρίτου προσκατηγορουμένου προτάσεις, γίνονται ἄλλαι δύο ἀντιφά-
σεις, ἁπλῆ ἀόριστος καὶ ἐκ μεταθέσεως ἀόριστος, οἷόν ἐστιν 'οὐκ ἄν- 410
θρωπος δίκαιός ἐστιν, οὐκ ἄνθρωπος δίκαιος οὔκ ἐστιν'· αὕτη ἁπλῆ
ἀντίφασις· ἄλλη δὲ ἐκ μεταθέσεως, οἷον 'οὐκ ἄνθρωπος οὐ δίκαιός
ἐστιν, οὐκ ἄνθρωπος οὐ δίκαιος οὔκ ἐστιν'. ὥστε γίνονται πᾶσαι ἐπὶ
τοῦ ἀπροσδιορίστου καθόλου τοῦ ἐκ τρίτου προσκατηγορουμένου ἀν-
τιθέσεις ἀντιφατικαὶ τέσσαρες. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ καθ' ἕκαστα, 415
οἷον ἐπὶ τοῦ Σωκράτους, ὡρισμένου λαμβανομένου τοῦ ὑποκειμένου
καὶ κατηγορουμένου καὶ ἀορίστου τοῦ ὑποκειμένου ἢ τοῦ κατηγορου-
μένου ἢ τοῦ συναμφοτέρου λαμβανομένου. καὶ ἐπὶ τῶν προσδιωρισ-
μένων ὁμοίως, λέγω δὲ τὸ 'πᾶς ἄνθρωπος δίκαιός ἐστι' καὶ τὸ 'τὶς ἄν-
θρωπος δίκαιός ἐστι'. διὸ καὶ ἡ ἀπόφασις γίνεται οὕτως. εἰ μέν ἐστιν 420
ἀπροσδιόριστος, εἰς τὸ 'ἔστι' τρίτον προσκατηγορούμενον δέχεται τὸ
ἀρνητικὸν μόριον καὶ ποιεῖ τὴν ἀντίφασιν, οἷον 'ἄνθρωπος δίκαιός
ἐστιν', ἀπόφασις 'ἄνθρωπος δίκαιος οὔκ ἐστιν'. εἰ δὲ μετὰ προσδιορισ-
μοῦ ἐστιν ἡ πρότασις, εἰς τὸν προσδιορισμὸν τίθεται τὸ 'οὐ' ἀρνητικὸν
καὶ ποιεῖ τὴν ἀπόφασιν, οἷόν ἐστι 'πᾶς ἄνθρωπος δίκαιος', ἀπόφασις 425
τούτου τὸ 'οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστιν'. ὁμοίως δὲ καὶ ἐπὶ τῶν
ἄλλων ἁπάντων οὕτω τακτέον. διό ἐστι καὶ ἡ ἀκολούθησις ἡ ἐξ ἴσου
τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων αὕτη· τὸ γὰρ ἀκο-
λουθοῦν τινι ἢ ἐξ ἴσου ἀκολουθεῖ, οἷον τῷ ἀνθρώπῳ τὸ γελαστικόν, ἢ
ἐπὶ πλέον, οἷον τῷ ἀνθρώπῳ τὸ ζῷον. τῶν τοίνυν ἐκ τρίτου προσκατ- 430
ηγορουμένου προτάσεων ἡ ἐξ ἴσου ἀκολούθησις τοῦ εὑρίσκεσθαι ἡ
μέθοδός ἐστιν αὕτη. ἐν τῇ προκειμένῃ προτάσει τέσσαρα θεωροῦνται,
δηλονότι {εἰς τῶν} ἐκ τρίτου προσκατηγορουμένου προτάσεων, ὑποκεί-
μενον, κατηγορούμενον, ποσότης καὶ ποιότης. δεῖ οὖν τὰ δύο φυλάτ-

430–440 cf. Steph. in Int. 46, 25–47, 8; Amm. in Int. 181, 30–182, 25

407 *ἢ* **Ma**^{7}**v**^{29}**a**^{14}**j**^{1}**b**^{16}: *ἢ* **p**^{20}**m**^{11}**m**^{13}**v**^{28}: lac. **η** ‖ **409** *προσκατηγορουμένου* **p**^{20}**a**^{14}: *-μένας* cett. ‖ **415** *καθέκαστον* **γv**^{29} ‖ **417** *καὶ*^{1} **j**^{1}**v**^{28}**p**^{20}**v**^{29}**m**^{11}: *καὶ τοῦ* **Mm**^{13}**a**^{7}**a**^{14}: lac. **η**: om. **b**^{16} ‖ **419** *τὸ*^{1} **b**^{16}: *ὁ* cett. ‖ **427** *ἡ*^{2} **γm**^{13}**a**^{7}**a**^{14}: *ἢ* **Mp**^{20}**v**^{29}**m**^{11}: lac. **η** ‖ **428** *προσκατηγορουμένων* codd.: correxi ‖ **430** *προσκατηγορουμένου* **Mm**^{11}**m**^{13}**a**^{7}: *-μένων* **γp**^{20}**v**^{29}**a**^{14}: lac. **η** ‖ **431** exspectes *τὴν … ἀκολούθησιν* ‖ **433** *εἰς τῶν ἐκ*] *ἐκ τῶν* **γ**: *εἰς τὸ ἐκ* **v**^{29}: *ἐπὶ τῶν ἐκ* **a**^{14}: fort. *ἑκάστην* post *εἰς* addendum (cf. 341): *εἰς τῶν* del. Hansen | *προσκατηγορουμένου* **Mv**^{29}**m**^{11}**m**^{13}**a**^{7}**a**^{14}: *-μένων* **γp**^{20}: lac. **η**

435 τειν ἀναλλοίωτα, τὸ ὑποκείμενον καὶ τὴν ποσότητα, τὰ δὲ δύο ἐναλ-
λάττειν, τὴν ποιότητα καὶ τὸ κατηγορούμενον. καὶ οὕτως εὑρεθήσεται
τῶν ἰσοδυναμουσῶν προτάσεων ἡ ἀκολούθησις, οἷόν ἐστι τὸ 'πᾶς ἄν-
θρωπος οὐ δίκαιός ἐστιν' ἰσοδυναμεῖ τῇ λεγούσῃ προτάσει 'οὐδεὶς ἄν-
θρωπος δίκαιός ἐστι', καὶ ἐπὶ πάντων τῶν ἰσοδυναμουσῶν προτάσεων
440 κατὰ τὴν ἐξ ἴσου ἀκολούθησιν οὕτω θεωρητέον.

Φανερὸν δὲ ὅτι καὶ μετατιθέμενα τὰ ὀνόματα καὶ τὰ ῥήματα ἐν
ταῖς προτάσεσι κατὰ τὴν προφορὰν καὶ μόνον, μὴ μέντοι καὶ κατὰ
τὴν ποιὰν σχέσιν τῆς κατηγορίας ταὐτὸν σημαίνουσιν, οἷον 'ἔστι λευ-
κὸς ἄνθρωπος, ἔστιν ἄνθρωπος λευκός'. ὥσπερ δὲ ἐπὶ τῶν ἐξ ὑποκει-
445 μένου καὶ κατηγορουμένου προτάσεων οὐ μία γίνεται πρότασις, ἐὰν
μὴ ἓν καθ' ἑνὸς κατηγορήσῃ τις, οὕτως καὶ ἐπὶ τῶν ἐκ τρίτου προσ-
κατηγορουμένου, ἐὰν πολλὰ καθ' ἑνὸς ἢ ἓν κατὰ πολλῶν κατηγορήσῃ,
οὐ μία γίνεται πρότασις ἀλλὰ πολλαί. γίνεται δὲ καὶ ἐν ταύταις μία,
ἐὰν ἓν κατὰ ἑνὸς κατηγορήσῃ, οἷον 'ὁ ἄνθρωπος ζῷόν ἐστιν'· ἓν γὰρ
450 σημαίνει τὸ 'ἄνθρωπος' καὶ τὸ 'ζῷον'. ἔτι πρὸς τούτοις γνωστέον ὅτι
τῶν χωρὶς κατηγορουμένων τὰ μὲν χωρὶς καὶ ἅμα δύνανται τοῦ ὑπο-
κειμένου κατηγορεῖσθαι, τὰ δὲ χωρὶς μὲν δύνανται, ἅμα δὲ οὔ. καὶ τὰ
μὲν χωρὶς καὶ ἅμα, ὡς ἐν παραδείγματι εἰπεῖν, ἐστὶ τάδε· 'ὁ δεῖνα δί-
πους', 'ὁ δεῖνα ζῷον', δύναται καὶ ἅμα εἰπεῖν ἀληθεύων 'ὁ δεῖνα ζῷον
455 δίπουν ἐστίν'. τὰ δὲ χωρὶς καὶ ἅμα μὴ δυνάμενα, οἷον 'ἔστι τις σκυ-
τεὺς ἀγαθὸς κατὰ τὸν βίον, κατὰ δὲ τὴν τέχνην ἀδόκιμος'. δύναταί τις
χωρὶς εἰπεῖν 'ὁ δεῖνα ἀγαθός ἐστι', καὶ γάρ ἐστι κατὰ τὸν βίον, 'ὁ
δεῖνα σκυτεύς ἐστιν', ἔστι γὰρ ἁπλῶς σκυτεύς. ἅμα δὲ οὐ δύναται εἰ-
πεῖν ὅτι 'ὁ δεῖνα σκυτεὺς ἀγαθός ἐστι'· ψεύδεται γάρ. ὡσαύτως πάλιν
460 τῶν ἅμα κατηγορουμένων τὰ μὲν δύνανται καὶ χωρίς, τὰ δ' οὔ, οἷον
τὸν τεθνεῶτα δύνασαι εἰπεῖν ἅμα μὲν νεκρὸν ἄνθρωπον, κεχωρισμένως
δὲ οὐχ οἷόν τε εἰπεῖν ἄνθρωπον αὐτόν, καὶ τὸν Ὅμηρον ὅτι ποιητής
ἐστιν ἅμα ἀληθῶς κατηγορήσειέ τις, χωρὶς δὲ οὐ δύναται ὅτι ἐστὶν ὁ
ποιητής, ψεῦδος γάρ. ἀλλ' ὅσα μὲν οὐσιωδῶς τοῦ ὑποκειμένου κατηγο-
465 ροῦνται, ταῦτα, ἐὰν τὸ καθολικώτερον ἐν τῇ κατηγορίᾳ προτάξῃς, δύ-
νασαι καὶ χωρὶς καὶ ἅμα καὶ ἔμπαλιν καὶ ἅμα καὶ χωρίς. καὶ ταῦτα
μὲν περὶ τοῦ τρίτου τμήματος.

441–444 cf. Amm. in Int. 191,17–31 ‖ **441** Arist. Int. 20 b 1 ‖ **443–444** 20 b 1–2 ‖ **453–455** cf. Steph. in Int. 51,19–24 ‖ **456–463** cf. 52,3–20

435 *καὶ* **γp**^{20}**v**^{29}**a**^{14}: om. **Mm**^{11}**m**^{13}**a**^{7}: lac. **η** ‖ **446** *προσκατηγορουμένου* **a**^{14}: *-μένων* cett. ‖ **464** *κατηγορεῖται* **γ**, **m**^{11} ante corr.

Τμῆμα τέταρτον

Ἡ τοῦ τετάρτου τμήματος ὑφήγησις τῶν μετὰ τρόπου προτάσεων τὴν διδασκαλίαν περιέχει. ἔστι δὲ τρόπος φωνὴ σημαίνουσα πῶς ὑπάρ- 470 *χει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ· ὁ γὰρ προσδιορισμὸς οὐ δηλοῖ τὸ πῶς ὑπάρχει, ἀλλὰ ποσῶς ὑπάρχει. καθολικοὶ δὲ τρόποι εἰσὶ τέσσαρες, δυνατόν, ἀναγκαῖον, ἐνδεχόμενον, ἀδύνατον, ἄλλοι δὲ πλεῖστοι μερικοὶ εἰς τούτους ἀναγόμενοι. οἱ δὲ τρόποι, τοῦ δυνατοῦ φημι καὶ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου καὶ τοῦ ἀδυνάτου, συμπλεκόμενοι* 475 *μετὰ προτάσεων τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου ποιοῦσι μετὰ τρόπου προτάσεις, οἷον 'ἄνθρωπος ἐνδεχομένως περιπατεῖ', 'ἄνθρωπος ἀναγκαίως ἀναπνεῖ', 'ἄνθρωπος ἀδυνάτως ἵπταται', 'ἄνθρωπος δυνατῶς γράφει'. καὶ ἐπὶ πάντων τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων οἱ τέσσαρες τρόποι καὶ οἱ λοιποὶ συμπλεκόμενοι* 480 *ποιοῦσι τὰς λοιπὰς μετὰ τρόπου προτάσεις ἁπλᾶς καὶ ἐκ μεταθέσεως, οἷον, ὡς ἐπὶ παραδείγματος σαφηνείας ἕνεκεν εἰπεῖν, 'ἄνθρωπος ἐνδεχομένως δίκαιός ἐστιν, ἄνθρωπος οὐκ ἐνδεχομένως δίκαιός ἐστι'· καὶ καλεῖται αὕτη ἁπλῆ ἀντίφασις. καὶ πάλιν 'ἄνθρωπος ἐνδεχομένως οὐ δίκαιός ἐστιν, ἄνθρωπος οὐκ ἐνδεχομένως οὐ δίκαιός ἐστι'· καὶ καλεῖ-* 485 *ται αὕτη ἐκ μεταθέσεως ἀντίφασις. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως ἐστὶν εὑρεῖν. διαφέρει δὲ ἡ ὕλη τοῦ τρόπου τῶν προτάσεων, ὅτι ἡ μὲν ὕλη ἐπινοεῖται, ὁ δὲ τρόπος ἐκφωνεῖται. καὶ ἐνδέχεται μίαν πρότασιν ὕλην μὲν ἔχειν ἐνδεχομένην, τρόπον δὲ ἄλλον, οἷόν ἐστιν 'ἄνθρωπος ἀναγκαίως περιπατεῖ'· ἡ μὲν ὕλη ἐνδεχομένη τὸ περιπατεῖν, ὁ δὲ τρόπος* 490 *οὐκ ἐνδεχόμενος, ἀλλ' ἀναγκαῖος. ποιοῦσι δὲ καὶ αἱ μετὰ τρόπου προτάσεις τὰς οἰκείας ἀποφάσεις οὕτως· ὁ τρόπος ἔχει τὸ κῦρος καὶ τὸ 'οὐ' ἀρνητικὸν μόριον πῖπτον εἰς τὸν τρόπον ποιεῖ τὰς ἀποφάσεις, οἷον 'ἄνθρωπος ἐνδεχομένως περιπατεῖ', ἀπόφασις τούτου 'ἄνθρωπος οὐκ ἐνδεχομένως περιπατεῖ'· 'ἄνθρωπος ἐνδεχομένως δίκαιός ἐστιν', ἀπόφα-* 495 *σις τούτου 'ἄνθρωπος οὐκ ἐνδεχομένως δίκαιός ἐστιν' καὶ ἐπὶ τῶν λοιπῶν πάντων ὁμοίως.*

470–471 cf. Steph. in Int. 53,10–11; Amm. in Int. 214, 25–26 ‖ 471–474 Steph. in Int. 53,12–16 ‖ 492–493 cf. Steph. in Int. 56,10–11; Amm. in Int. 218,7–8

468 *τμῆμα τέταρτον* **M** (qui *σὺν θεῷ* ante *τέταρτον* add.), **p**[20]**v**[29]**m**[13]: om. **m**[11]**a**[7]**a**[14]: lac. **η**: *τοῦ αὐτοῦ ὑπερτίμου σύνοψις* **j**[1]: *παράφρασις τοῦ τετάρτου τμήματος* **v**[28]: *ἀρχὴ τοῦ δ' τμήματος* (207r) et *τοῦ ὑπερτίμου ψελλοῦ· σύνοψις εἰς τὸ τέταρτον τμῆμα* (212v) **b**[16] ‖ 474 *φησι* **γ** ‖ 487 *τοῦ τρόπου τῶν προτάσεων* **γa**[14]: *τῶν προτάσεων τοῦ τρόπου* **β**

Ἡ δὲ ἀκολούθησις τῶν μετὰ τρόπου προτάσεων κατὰ τὴν ἐξ ἴσου ἢ
καὶ ἐπὶ πλέον ἀκολούθησιν ἔχει ὧδε· κατὰ τὴν ἐσχάτην ἐπιδιόρθωσιν
500 *τῆς διαγραφῆς τοῦ Ἀριστοτέλους τῷ ἀναγκαῖον εἶναι τῇ ἁπλῇ καταφά-*
σει ἀκολουθεῖ τὸ οὐ δυνατὸν μὴ εἶναι καὶ οὐκ ἐνδεχόμενον μὴ εἶναι
καὶ ἀδύνατον μὴ εἶναι· τῇ δὲ ἁπλῇ ἀποφάσει τοῦ ἀναγκαίου τῇ λε-
γούσῃ οὐκ ἀναγκαῖον εἶναι ἀκολουθεῖ τὸ δυνατὸν μὴ εἶναι, ἐνδεχόμε-
νον μὴ εἶναι, οὐκ ἀδύνατον μὴ εἶναι· τῷ δὲ ἀνάγκῃ μὴ εἶναι τῇ ἐκ
505 *μεταθέσεως καταφάσει ἀκολουθεῖ τὸ οὐ δυνατὸν εἶναι καὶ οὐκ ἐνδεχό-*
μενον εἶναι καὶ ἀδύνατον εἶναι· τῇ δὲ ἐκ μεταθέσεως ἀποφάσει τῇ λε-
γούσῃ οὐκ ἀνάγκῃ μὴ εἶναι ἀκολουθεῖ τὸ δυνατὸν εἶναι, ἐνδεχόμενον
εἶναι, οὐκ ἀδύνατον εἶναι. καὶ ταῦτα μὲν περὶ τῆς σαφηνείας τοῦ Περὶ
ἑρμηνείας εἰρήσθω.

510 [De tribus figuris]

Κοινὰ τῶν τριῶν σχημάτων ταῦτα· τὸ μηδέποτε συλλογισμὸν
μηδένα ἐκ δύο ἀποφατικῶν προτάσεων λαμβάνεσθαι καὶ τὸ μηδέποτε
συλλογισμὸν ἐκ δύο μερικῶν προτάσεων συνίστασθαι καὶ τὸ ἐν παντὶ
σχήματι πλείονας εἶναι τὰς ἀσυλλογίστους συζυγίας τῶν συλλογιστικῶν
515 *καὶ τὸ ἐν παντὶ συλλογισμῷ τῇ χείρονι τῶν προτάσεων ἕπεσθαι τὸ*
συμπέρασμα. καὶ γὰρ ἐὰν εὑρεθῇ συλλογισμὸς ἀπὸ καταφατικῆς προ-
τάσεως συγκείμενος καὶ ἀποφατικῆς, ἀποφατικὸν συνάγεται συμπέ-
ρασμα τὸ πρὸς ἀναλογίαν τῆς χείρονος τῶν προτάσεων, φημὶ δὴ τῆς
ἀποφατικῆς· καὶ πάλιν ἐὰν εὑρεθῇ συλλογισμὸς ἀπὸ καθολικῆς προτά-
520 *σεως καὶ μερικῆς συντεθειμένος, μερικὸν καὶ τὸ συμπέρασμα γίνεται*
πρὸς ἀναλογίαν τῆς χείρονος τῶν προτάσεων, φημὶ δὴ τῆς μερικῆς.
Ἴδια δὲ πάλιν ἑκάστου τῶν τριῶν σχημάτων ταῦτα· τοῦ μὲν πρώτου
σχήματος τὸ ἔχειν τὴν μὲν μείζονα πρότασιν καθόλου εἴτε καταφα-
τικὴν εἴτε ἀποφατικήν, τὴν δὲ ἐλάττονα πάντως καταφατικὴν εἴτε

498–508 cf. Steph. in Int. 63, 27–34 ‖ **511–556** **M**, $\mathbf{p}^{20}$ (usque ad 529), $\mathbf{m}^{11}\mathbf{m}^{13}$, **η** ‖ **511–513** cf. Philop. in Anal. prior. 70, 1–3 ‖ **515–521** cf. 71, 12–16 ‖ **522–525** cf. 70, 7–9

500 *γραφῆς* **γ** | *τῶ* $\mathbf{a}^{14}$: *τὸ* cett. ‖ **501** *οὐ δυνατὸν* – **502** *εἶναι* **γ** (**501** *καὶ* om. $\mathbf{b}^{16}$) $\mathbf{a}^{14}$: **501** *οὐ δυνατὸν* – *εἶναι*² om. $\mathbf{M}\mathbf{p}^{20}\mathbf{v}^{29}$: **501** *καὶ οὐκ* – **502** *εἶναι* om. $\mathbf{m}^{11}\mathbf{m}^{13}\mathbf{a}^{7}$: **500** *κατα-φάσει* – **502** *ἁπλῇ* om. $\mathbf{v}^{23}\mathbf{b}^{7}\mathbf{c}^{3}\mathbf{v}^{24}$ ‖ **504** *τῷ*] *τῇ* codd.: correxi ‖ **505** *τὸ οὐ* $\mathbf{j}^{1}\mathbf{b}^{16}$: *ἤ οὐ* $\mathbf{v}^{28}$ $\mathbf{M}\mathbf{a}^{7}\mathbf{η}\mathbf{a}^{14}$: *κοὐ* ut vid. post corr. $\mathbf{p}^{20}$: *οὐ* $\mathbf{v}^{29}$: lac. $\mathbf{m}^{11}\mathbf{m}^{13}$ ‖ **507** ante *ἐνδεχόμενον* add. *καὶ* **γ** ‖ **511** *κοινὰ* – *ταῦτα* **M** (qui verba ut tit. distinguit), $\mathbf{p}^{20}\mathbf{m}^{13}$: *περὶ* (*περὶ δὲ* $\mathbf{b}^{7}\mathbf{c}^{3}$) *τῶν τριῶν σχημάτων ταῦτα* **η**: om. $\mathbf{m}^{11}$ ‖ **512** *ἐκ*] *ἀπὸ* **η** ‖ **515** *ἕπεσθαι*] *κεῖσθαι* **η** ‖ **518** *τὸ* **η** (*τὴν* $\mathbf{v}^{23}$) | *δὴ*] *δὲ* $\mathbf{M}\mathbf{p}^{20}$ ‖ **520** *συντεθειμένος* $\mathbf{m}^{11}\mathbf{m}^{13}\mathbf{m}^{25}$: *-ημένος* $\mathbf{v}^{24}$: *-ειμένης* $\mathbf{v}^{23}\mathbf{b}^{7}\mathbf{c}^{3}$: *συντιθέμενος* $\mathbf{M}\mathbf{p}^{20}$ ‖ **523** *μὲν* **Mη**: om. $\mathbf{p}^{20}\mathbf{m}^{11}\mathbf{m}^{13}$

καθόλου εἴτε μερικήν. τοῦ δὲ δευτέρου σχήματος πάλιν ἴδιον τὸ ἔχειν 525
τὴν μὲν μείζονα πρότασιν καθόλου, τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα
ταύτῃ, τουτέστιν εἰ μὲν τὴν μείζονα καταφατικήν, τὴν ἐλάττονα
πάντως ἀποφατικήν, καὶ τὸ ἀνάπαλιν ἐὰν τὴν μείζονα ἀποφατικήν,
τὴν ἐλάττονα πάντως καταφατικήν. τοῦ δὲ τρίτου σχήματος ἴδιον πά-
λιν τὸ ἔχειν τὴν ἐλάττονα πρότασιν ἀεὶ καταφατικήν, τὴν δὲ μείζονα 530
ὡς ἔτυχε. μείζων δὲ πρότασις ἤτοι ὅρος ἐστὶν ὁ ἐν τῷ συμπεράσματι
κατηγορούμενος, ἐλάττων δὲ πρότασις ἤτοι ὅρος ἐστὶν ὁ ἐν τῷ συμπε-
ράσματι ὑποκείμενος. ἰστέον δὲ ὅτι αἱ μὲν μείζονες προτάσεις τοῦ
πρώτου καὶ δευτέρου σχήματος ἀεὶ διὰ τοῦ ἐσχάτου σχήματος ἀναι-
ροῦνται, αἱ δὲ ἐλάττονες αὐτῶν ἡ μὲν τοῦ πρώτου διὰ τοῦ δευτέρου 535
ἀναιρεῖται, ἡ δὲ τοῦ δευτέρου διὰ τοῦ πρώτου. τοῦ δὲ τρίτου σχήμα-
τος ἡ μὲν μείζων πρότασις ἀεὶ διὰ τοῦ πρώτου ἀναιρεῖται, ἡ δὲ
ἐλάττων διὰ τοῦ δευτέρου.

Πρῶτον παρατήρημα τῶν σχημάτων κοινόν, τὸ μὴ ἐπιδέχεσθαι δύο
ἀποφατικὰς προτάσεις καὶ τὸ μὴ ἐπιδέχεσθαι δύο μερικὰς προτάσεις 540
καὶ τὸ τὴν μίαν πρότασιν ἐξ ἀνάγκης ἔχειν καθόλου.

Ἑκάστου δὲ πάλιν ἴδια παρατηρήματα ταῦτα· τοῦ μὲν πρώτου
σχήματος τὸ τὴν μείζονα ἀεὶ ἔχειν καθόλου καὶ τὸ τὴν ἐλάττονα ἀεὶ
καταφατικήν, τοῦ δὲ δευτέρου πάλιν τὸ ἐπιδέχεσθαι τὰς προτάσεις
ἀνομοιοσχήμονας ἀλλήλαις καὶ διὰ τοῦτο καὶ ἀποφαντικὸν ἀεὶ ἀποτε- 545
λεῖν τὸ συμπέρασμα καὶ τὸ τὴν μείζονα πρότασιν καθόλου ἔχειν ἀεί,
τοῦ δὲ τρίτου πάλιν τὸ ἀποτελεῖν ἀεὶ μερικὰ συμπεράσματα, κἂν ἀπὸ
δύο καθόλου προτάσεων σύγκειται, καὶ τὸ ἐπιδέχεσθαί ποτε τὴν μεί-
ζονα πρότασιν μερικήν.

Προσδιορισμοὶ δέ εἰσι τέσσαρες, οἱ μὲν δύο καθόλου, ἤγουν ὁ 'πᾶς' 550
καὶ ὁ 'οὐδείς', οἱ δὲ δύο μερικοί, ὁ 'τὶς' καὶ ὁ 'οὐ πᾶς'. οὗτοι δὲ καὶ
ἀντιστρέφουσι πρὸς ἀλλήλους οὕτως· ὁ μὲν 'πᾶς' ἀεὶ πρὸς τὸν 'τὶς', ὁ
δὲ 'οὐδεὶς' πρὸς ἑαυτὸν ἤγουν τὸν 'οὐδείς', ὁ 'τὶς' πάλιν ὡσαύτως πρὸς
ἑαυτὸν ἤγουν τὸν 'τὶς', ὁ δὲ 'οὐ πᾶς' καὶ πρὸς ἑαυτὸν ἀντιστρέφει καὶ
πρὸς τὸν 'οὐδεὶς' καὶ πρὸς τὸν 'τὶς' κατὰ τὴν τῶν ὑλῶν δηλονότι δια- 555
φοράν, πρὸς δὲ τὸν 'πᾶς' οὐδέποτε ἀντιστρέφει.

525–529 cf. 70, 11–15 ‖ **529–531** cf. 70, 17–22

529 ad *καταφατικήν* des. $\mathbf{p}^{20}$ ‖ **542** *ἑκάστου – ταῦτα* **M** (qui *πάλιν* om.), $\mathbf{m}^{13}\mathbf{v}^{23}\mathbf{b}^{7}\mathbf{c}^{3}$, $\mathbf{m}^{25}$ (qui *ἕτερα* pro *ἴδια* scr.): om. $\mathbf{m}^{11}\mathbf{v}^{24}$ ‖ **551** *καὶ*[3] $\mathbf{m}^{11}$**η**: om. **M**$\mathbf{m}^{13}$ ‖ **554** *ἀντιστρέφει* $\mathbf{v}^{24}\mathbf{m}^{25}$: *ἀναστρέφει* **M**$\mathbf{m}^{11}\mathbf{m}^{13}\mathbf{v}^{23}\mathbf{b}^{7}\mathbf{c}^{3}$ ‖ **556** *ἀντιστρέφει* **M**$\mathbf{m}^{11}\mathbf{m}^{13}$: om. **η**

53

Ἔφοδος σύντομος καὶ σαφὴς τῆς εὑρέσεως τῶν συλλογισμῶν τῶν τριῶν σχημάτων τῆς λογικῆς πραγματείας τοῦ Ἀριστοτέλους γεγονυῖα παρὰ τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ πατρικίου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ, πῶς ὀφείλει εὑρίσκειν ὁ ζητῶν ἕκαστον αὐτῶν ὡς ἔχει τά-
5 *ξεως, ἤτοι ἐν πρώτῳ ἢ ἐν δευτέρῳ ἢ ἐν τρίτῳ σχήματι*

Ἰστέον οὖν ὅτι τὸ μὲν ᾱ ἐν ἑκάστῳ στιχιδίῳ ἀντὶ τοῦ 'πᾶς' προσδιορισμοῦ λαμβάνεται, τὸ δὲ ε̄ ἀντὶ τοῦ 'οὐδείς', τὸ δὲ ἰῶτα ἀντὶ τοῦ 'τίς', τὸ δὲ ō ἀντὶ τοῦ 'οὐ πᾶς'· λαμβάνονται δὲ οἱ μὲν δύο προσδιορισμοὶ οἷοι εἰσὶν ἐπὶ τῶν προτάσεων, ὁ δὲ τρίτος ἐπὶ τοῦ συμπεράσματος:

10 ᾱον: συλλ.	ᾱος *πᾶς πᾶς πᾶς* γράμματα	β̄ος *οὐδ. πᾶς οὐδ.* ἔγραψε	γ̄ος *πᾶς τίς τίς* γραφίδι	δ̄ος *οὐδ. τίς οὐ πᾶς* τεχνικός	*τοῦ ᾱου σχήματος δ*
β̄ον: συλλ.	ᾱος *οὐδ. πᾶς οὐδ.* ἔγραψε	β̄ος *πᾶς οὐδ. οὐδ.* κάτεχε	γ̄ος *οὐδ. τίς οὐ πᾶς* μέτριον	δ̄ος *πᾶς οὐ πᾶς οὐ πᾶς* ἄχολον	*τοῦ δευτέρου δ*
γ̄ον: συλλ.	ᾱος *πᾶς πᾶς τίς* ἅπασι	β̄ος *οὐδ. πᾶς οὐ πᾶς* σθεναρὸς	γ̄ος *τίς πᾶς τίς* ἰσάκις	δ̄ος *πᾶς τίς τίς* ἀσπίδι	
	ε̄ος *οὐ πᾶς πᾶς οὐ πᾶς* ὁμαλὸς	ς̄ος *οὐδ. τίς οὐ πᾶς* φέριστος	*τοῦ τρίτου σχήματος ἕξ*		

54

Τοῦ αὐτοῦ περὶ τῆς καταλλαγῆς Ἡφαίστου

Ὁ Ἥφαιστος ὁ καταλλάσσων τῷ Διὶ τὴν Ἥραν τοιαύτην τινά, ὡς ἐν συντόμῳ εἰπεῖν, ὑποβάλλει ἔννοιαν. Ἥρα μὲν γὰρ ὁ ἀήρ, θερμὸς ὤν, φασί, καὶ ὑγρός, εἰ καὶ ἄλλως αὐτοῦ τὸ θερμὸν ἀντιλέγεται· αἰ-
5 *θὴρ δὲ ὁ Ζεύς, δραστικὸν τοῦτο στοιχεῖον ποιότητι συγκεκραμμένον τῇ τε ξηρᾷ καὶ θερμῇ. τὰ τοίνυν στοιχεῖα ταῦτα πῇ μὲν φιλίαν ἀλλήλοις ἔχει, καθ' ὃ ἄμφω θερμὰ εἶναι δοκεῖ, πῇ δὲ εἰς ἔχθραν διχάζον-*

53 p^{14} 15^{r} **v**^{32} 37^{v} **v**^{33} 211^{r} **v**^{34} 7^{v} **m**^{18} 10^{v}
54 m^{17} 223^{r}–224^{v} (**o**^{2}**m**^{24}**a**^{8}**a**^{9}**b**^{14}**v**^{31}) ‖ 2-104 Eust. in Il. 150,39–152,25

53 1 mg. *ἐπιγραφὴ νεοφύτου* **p**^{14} ‖ 1–9 post schema (10–13) trsp. **v**^{34} ‖ pro 1–9 habet (post schema) *μέθοδος σύντομος τῶν συλλογισμῶν τῶν τριῶν σχημάτων πῶς ὀφείλεις εὑρίσκειν ἕκαστον αὐτῶν. γίνωσκε γοῦν ὅτι τὸ μὲν ᾱ ἐν ἑκάστῳ στιχιδίῳ ἀντὶ τοῦ πᾶς προσδιορισμοῦ λαμβάνεται, τὸ δὲ ε̄ ἀντὶ τοῦ οὐδείς, τὸ δὲ ῑ ἀντὶ τοῦ τίς, τὸ δὲ ō ἀντὶ τοῦ οὐ πᾶς* **m**^{18}
54 5 *ποιότησι συγκεκροτημένον* Eust. | *συγκεκραμένον* **m**^{17}: corr. **m**^{24}

ται κατὰ τὴν τοῦ ὑγροῦ καὶ ξηροῦ ποιότητά τε καὶ ἐναντιότητα. ὁ τοίνυν μῦθος ἑνώσας αὐτὰ κατά τινα εἰκασίαν φαντασιώδη γάμου καὶ τὸν μὲν ἀέρα ἐκθηλύνας τῷ ὀνόματι καὶ εἰς Ἥραν μεταθέμενος, τῷ 10 *δὲ Διὶ ὡς δραστηριωτέρῳ φυλάξας τὸ ἀνδρῶδες τοῦ ἄρρενος ὄνομα, ὅμως καὶ μετὰ τὴν φιλίωσιν καὶ γαμικὴν ταύτην συζυγίαν φυλάττει ἐν αὐτοῖς ἐκεῖνα τὰ πρὶν ἰδιώματα, οὐ μόνον τὴν ἐν τῇ θερμότητι εὔνοιαν καὶ οἷον συνάφειαν, ἀλλὰ καὶ τὴν ἔριν καὶ διάστασιν τὴν κατὰ τὸ ξηρὸν καὶ ὑγρόν· καὶ διὰ τοῦτο ποιεῖ μὲν αὐτοὺς ἔστιν ὅτε ἀνθ-* 15 *ισταμένους ἐριστικῶς, αὖθις δὲ καταλλάσσεσθαι λέγει αὐτούς.*

Εἴ ποτε τοίνυν μεσίτην τινὰ τῇ αὐτῶν καταλλαγῇ θελήσει πλάσασθαι, ποιεῖ μὲν καὶ ἄλλα τινά, ὅσα δοκεῖ αὐτῷ, παράγει δέ που καὶ Ἥφαιστον αὐτοὺς καταλλάσσοντα, τουτέστιν ἁπλῶς τὴν θερμότητα· Ἥφαιστος γὰρ εἰς τὸ θερμὸν ἀλληγορικῶς ἐκλαμβάνεται, δαίμων λε- 20 *γόμενος ἐπιστατῶν τῇ θερμῇ οὐσίᾳ. οὕτω τοίνυν κἀνταῦθα ἔριδος παρεισπεσούσης τῇ Ἥρᾳ καὶ τῷ Διί, αὐτὸς μέσος ἐλθὼν καταλλαγὴν πραγματεύεται. οὐ γὰρ θέλει ὁ μῦθος παντελῶς λέγειν ἀπίθανα, ὅπερ ἔπαθεν ἄν, ἐὰν ἕτερόν τινα παρεισήγαγε μεσιτεύοντα εἰς τοιαύτην ὁμόνοιαν. οὔτε γὰρ Ἀθηνᾶ οὔτε Ἄρης οὔτε Ἄρτεμις οὔτ᾽ ἄλλος τις τῶν* 25 *τοιούτων κατὰ φυσικὴν ἔννοιαν λέγοιτ᾽ ἂν λύειν τὴν ἔριν τῇ Ἥρᾳ καὶ τῷ Διὶ καὶ ἐκ διαστάσεως ἄγειν εἰς ἕνωσιν οἰκειότερον ἤπερ ὁ Ἥφαιστος· θερμὴ γάρ τις αὕτη φύσις. Ποσειδῶνα δὲ εἴ τις εἶπε τοῦτο ποιεῖν, οὐδὲν τὸ παράπαν ἔλεγε· Ποσειδῶν μὲν γὰρ εἰς ὑγρότητα ἐκλαμβάνεται, ὑγρότης δὲ εἰρήνην καὶ σύμβασιν ἀέρι καὶ Διὶ οὐκ οἶδε* 30 *ποιεῖν, ἀλλὰ μάλιστα μάχην, ὡς ἡ φύσις τοῦ πράγματος καθιστᾷ· συγχέει γὰρ μᾶλλον τὸ περιέχον καὶ συγκροτεῖ τὴν ἔριν τῷ ἀέρι, τὴν τοῦ αἰθέρος ἀφανίζουσα ἱλαρότητα, καὶ ταῖς κάτωθεν ἀναθυμιάσεσιν 'ἄχος οὐράνιον' κατὰ τὴν τραγῳδίαν γίνεται. Ἥφαιστος μέντοι, τουτέστι τὸ θερμόν, ἐὰν κατισχύσῃ, τόν τε ἀέρα γαληνιᾶν ποιεῖ καὶ νηνεμίαν αὐτῷ* 35 *ἐμποιεῖ, ὡς καὶ τῷ αἰθέρι οὕτω σπένδεσθαι, καὶ εἰς εἰρηνικὰς ἄγει καταστάσεις τὸ πᾶν, ὁποία ἥ τε ἐαρινὴ καὶ ἡ μετ᾽ αὐτὴν καὶ εἴ τις ἄλλη παρεμπέσοι τῷ ἐνιαυτῷ. οὐκ ἔστι γὰρ τὴν Ἥραν ἀποθέσθαι τὸ σκυθρωπὸν οὐδὲ βοῶπιν φανῆναι καὶ λευκώλενον μὴ μεσολαβοῦντος Ἡφαίστου, τῆς ἁπλῶς δηλονότι θερμότητος. πιθανῶς ἄρα ὁ μῦθος τὸν* 40 *Ἥφαιστον παράγει λύοντα τὴν ἔριν τῇ τε Ἥρᾳ καὶ τῷ Διί.*

33-34 Aesch. Pers. 573

8 *ποιότητά τε καὶ* om. ed. Eust. || **11** *δραστηριωτέρῳ* Eust.: *δραστηρικωτέρῳ* **m**[17] || **31** *παριστᾷ* Eust. || **33** *ἀφανίζων* (male?) Eust. || **40** *πιθανῶς* Eust., **v**[31]: *-ὸς* **m**[17]

Δεῖ δὲ εἰδέναι ὅτι οὐ πάντοτε ὁ Ἥφαιστος εἰς τὴν ἁπλῶς θερμότητα ἐκλαμβάνεται, ἀλλὰ τοῦτο μὲν σπανίως. διὸ καὶ οὐράνιος νοεῖται καὶ Διός, ἤτοι αἰθέρος, υἱός, καὶ τοῖς θεοῖς ἄνω, ἤτοι τοῖς
45 *ἄστροις, οἷς ἡ φύσις διὰ τὸ φωσφόρον ἐκ πυρὸς εἶναι δοκεῖ, αὐτὸς οἴκους τεκτήνασθαι λέγεται. ὡς ἐπὶ πλεῖστον δὲ Ἥφαιστον ἡ ἀλληγορία τὸ πῦρ αὐτὸ νοεῖ, τουτέστι τὴν καυστικὴν θερμότητα, καὶ τοῦτο ἢ τὸ διακονικὸν καὶ περὶ γῆν ἢ τὸ ἐκ πάθους ἐν τοῖς μετεώροις γινόμενον, οἷον τὸ ἐν κεραυνοῖς καὶ ἀστραπαῖς καὶ τοῖς τοιούτοις, ἅπερ οὐχ*
50 *ἁπλῶς θερμότης ἐστίν, ἀλλὰ καυστικὴ καὶ οἷα αἴθειν τὴν ἀφήν, ὡς ἡ ἐτυμολογία τοῦ Ἡφαίστου δηλοῖ. ὃς Ἥφαιστος καὶ χωλὸς λέγεται, οἷον σκάζων, ἐὰν μή τινα ὕλην τὴν ὑπανέχουσαν ἔχῃ, καὶ ἀμφοτέρους τοὺς πόδας γυὸς ἤγουν χωλός – τοῦτο γὰρ ὁ ἀμφιγυήεις δηλοῖ –· ἀμφοτέρωθεν γὰρ σκάζει μὴ ἔχων ὕλην τὴν ὑπερείδουσαν, οἷον κάτω μὲν*
55 *ξύλα καὶ εἴ τι ἄλλο ἐξάπτεται γήινον, ἄνω δὲ τὴν ξηρὰν καὶ καπνώδη ἐκ γῆς ἀναθυμίασιν.*

Οὐ τοίνυν ὁ τοιοῦτος Ἥφαιστος, ἡ ὑπερβολὴ τῆς θερμότητος, ὁ καυστικός, ὁ φθαρτικὸς τοῦ παραπίπτοντος, μεσολαβεῖ τὰ εἰς φιλίαν τῇ Ἥρᾳ καὶ τῷ Διί, ἀλλ' ἐκεῖνος ὁ εὔκρατος, ἡ ζωογόνος δηλαδὴ
60 *στοιχειακὴ θερμότης, ὁ τῷ Διὶ σύστοιχός τε καὶ φίλιος. ὁ γὰρ λοιπὸς οὐράνιος Ἥφαιστος, ὁ χωλός, ὁ φλογώδης, οὐ πάνυ φιλητὸς τῷ Διί. διὸ οὐδὲ πολυωρεῖ ἐν τοῖς ἄνω, ἀλλὰ κάτω ῥίπτεται 'ἀπὸ βηλοῦ θεσπεσίοιο', ὥς φησι μετ' ὀλίγα ὁ ποιητής. οὐ γὰρ φίλος ἐκεῖνος τῷ Διί, ἀλλὰ μᾶλλον τῇ μητρὶ Ἥρᾳ. πάθος γὰρ Ἥρας ὁ τοιοῦτος Ἥφαιστος*
65 *ἤτοι ἀέρος σύμπτωμα, ὅτε ⟨μὴ⟩ φιλίως ἔχει πρὸς τὸν αἰθέρα μηδὲ κατὰ φύσιν, ἀλλὰ ταῖς γῆθεν ἀναθυμιάσεσιν ὥσπερ φραγνυμένη πρὸς τὸν Δία ἐκπεπολέμωται. τότε γὰρ οἱ κεραυνοὶ καὶ οἱ σκηπτοὶ γίνονται καὶ εἴ τι ἄλλο τοιοῦτο τῷ αἰθέρι ἐπιπροσθοῦν. διὸ καλῶς ἂν καὶ μήτηρ τοῦ τοιούτου οὐρανίου Ἡφαίστου τοῦ, ὡς ἐρρέθη, χωλοῦ ἡ*
70 *Ἥρα κατὰ μόνας λέγοιτο καὶ μόνη τεκεῖν αὐτόν, καθά τινες τῶν μυθογράφων φασίν, ὡς αὐτὴ αἰτία οὖσα τῆς τῶν τοιούτων ἐν μετεώρῳ παθῶν γενέσεως. ἀστεῖοι δ' ὁμοίως καὶ οἱ μὴ τῆς Ἥρας μόνης υἱὸν αὐτὸν ποιοῦντες, ἀλλ' ὁμοῦ Ἥρας καὶ Διός, πλὴν ἀπὸ κλεψιγαμίας, ὅτε 'φίλους λήθοντε τοκῆας' εἰς εὐνὴν ἐφοίτων· κλέπτουσι γὰρ τὰ*
75 *τοιαῦτά πως πάθη τὸ γίνεσθαι καὶ οὐ παρρησιάζονται τὴν φυσικὴν ἀεὶ γένεσιν.*

46 *λέγεται*] Il. 1,607–608 ‖ **53** *ἀμφιγυήεις*] Il. 1,607 ‖ **62** sq. Il. 1,591 ‖ **70** *τινες*] e.g. Hes. Th. 927–928; Apoll. Bibl. I 3,5; Luc. Sacr. 6 ‖ **74** Il. 14,296

51 *ἐτυμότης* Eust. ‖ **52** *οἷα* **m**[17]: corr. **m**[24] ‖ **65** *μὴ* Eust. ‖ **75** *πως* post *γὰρ* trsp. Eust.

Ἐπεὶ δὲ χωλὸς καὶ ὁ λοιπὸς τῆς ἀλληγορίας Ἥφαιστος, τὸ περὶ γῆν δηλονότι, ὡς ἐρρέθη, πῦρ, ἀστείως ἂν καὶ τούτου μήτηρ ἡ αὐτὴ ὁμοίως Ἥρα λέγοιτο. ἐξ ἀέρος γὰρ ἀληθῶς καὶ ὁ τοιοῦτος Ἥφαιστος, οὐ μόνον ὅτι ἡ φλὸξ ἀήρ ἐστιν ἐξαφθείς, ἀλλὰ καὶ ὅτι τὴν ἀρχὴν ἔοι- 80 *κεν εἰς τὴν γῆν ἄνωθέν ποθεν ἐλθεῖν, ἢ κεραυνοῦ ὡς εἰκὸς κατενεχθέντος καὶ ξύλῳ ἐνσκήψαντος καὶ οὕτως ἀρχήν τινα καὶ σπέρμα πυρὸς ἐνδόντος ἀνθρώποις, ἢ καὶ διά τινος μηχανῆς πυρὸς ἐξ ἀέρος κατενεχθέντος, ὁποῖα καὶ τὰ διὰ λίθων, κρυστάλλων καὶ ὑέλων ἐξαπτόμενα· καὶ τὰ πυρεῖα δὲ τῇ τοῦ μεταξὺ ἀέρος ἐκπυρώσει ἐκφαί-* 85 *νουσι πῦρ καὶ ξύλον δὲ σιδήρῳ συχνὰ προστριβόμενον, ἢ καὶ ξύλον ξύλῳ ἐξεπύρωσε τὸ μεσολαβοῦν τοῦ ἀέρος καὶ πῦρ ἄφαντον ἔφηνε.*

Καὶ οὕτως Ἥρας υἱὸς ὁ χωλὸς Ἥφαιστος ὅ τε οὐράνιος ἄνω καὶ κάτω ὁ περὶ γῆν, εἰ δὲ βούλει, σὺν τῇ Ἥρᾳ καὶ Διὸς διὰ τὴν ἄνωθεν ἐκ μετεώρου κατένεξιν, ὡς εἶναι διὰ ταῦτα τὸν μὲν ὑπερβολικὸν 90 *Ἥφαιστον φίλον Ἥρᾳ μᾶλλον ἤπερ Διί, τὸν δὲ εὔκρατον τὸν στοιχειακὸν Διὶ μᾶλλον ἤπερ τῇ Ἥρᾳ πεφιλιῶσθαι. ὅλως δέ, ἵνα τὰ μακρὰ τῆς ἀλληγορίας ἐπιτμηθῇ τῆς ἤδη διὰ πλειόνων ἐκτεθείσης, Ἥφαιστος μέν ἐστιν ἡ ἁπλῶς θερμότης ἢ ἡ καθ' ὑπερβολὴν καὶ καυστική. τούτων δὲ ἡ μὲν ἁπλῶς θερμότης φιλίαν τε μεσιτεύει τῷ Διὶ* 95 *καὶ τῇ Ἥρᾳ καὶ θεοῖς οἰνοχοεῖ καὶ τῶν ἄνω οὐκ ἀπολείπεται, ἡ δὲ καθ' ὑπερβολὴν καὶ καυστική, ἀλλ' αὕτη χωλή τέ ἐστιν ἀεί, ὡς προείρηται, καὶ ἄνωθεν κάτω ῥίπτεται· διὸ οὔτε μόνον οὐρανία ἐστὶν οὔτε μόνον χθονία, ἀλλὰ καὶ περὶ γῆν διὰ τὴν ἐξ ἀνθρώπων χρῆσιν αὐτῆς καὶ διὰ τὰς πολλαχοῦ ἀναδόσεις τῶν αὐτομάτων θερμοτήτων, καὶ οὐ-* 100 *ρανία δὲ διὰ τὰς τῶν ἀστραπῶν γενέσεις καὶ τῶν κεραυνῶν καὶ τῶν τοιούτων μετεώρων παθῶν. ἔστι δ' ὅτε ἡ αὐτὴ καὶ ἄμφω τὰ κατ' αὐτόν, ἄνω μὲν γενομένη, κάτω δὲ ἐνεχθεῖσα, καὶ τῷ ἀξιολόγῳ τῆς ὕλης ἐξαρκέσασα καὶ ἕως γῆς. τὸ ἐκ ποδὸς δὲ ῥιφῆναι τὸν Ἥφαιστον 'ἀπὸ βηλοῦ θεσπεσίοιο' ὑπὸ Διὸς οὐδὲν ἄλλο δηλοῖ, καθὰ καὶ προείρηται, ἢ* 105 *ὅτι πολλάκις αἱ ἄνω ἐκπυρωθεῖσαι ἀναθυμιάσεις ἐν τοῖς μετεώροις κάτω ῥιπτοῦνται, ὥσπερ οἱ κεραυνοὶ καὶ εἴ τι ἄλλο τοιοῦτο, καὶ οὐκ ἔστιν ἐπὶ πολὺ παραμεῖναι τοῖς ἄνω τόποις τοιοῦτον Ἥφαιστον, ἀλλ' ἢ ὅλως ἀφανιζόμενος λύεται καὶ σκεδάζεται ἢ κάτω βάλλεται.*

78 *ὡς ἐρρέθη*] supra 46–47 ‖ **97** *ὡς προείρηται*] supra 57 sqq. ‖ **104** sq. Il. 1, 591 ‖ **105** *προείρηται*] cf. supra 60 sqq.

92 *φιλιῶσθαι* **m**[17]: corr. **m**[24] ‖ **93** *ἐπιτμηθῇ* Eust.: *ἐκτμηθῇ* **m**[17] ‖ **94** *ἡ*[1]] *ἢ ἡ* Eust. ‖ **99** *αὐτοῦ* Eust. ‖ **102** *τὰ κατ' αὐτόν*] *κατὰ ταὐτὸν* Eust. ‖ **104** *καὶ ἕως γῆς*] *ἕως καὶ εἰς γῆν* Eust. | *τὸ ἐκ* – **109** *βάλλεται* non praebet ed. Eust.

55

Συλλογαὶ διάφοροι καὶ ἀναγκαῖαι (441v)

Τῶν ἐν γάλακτι τρεφομένων ἀλεκτ⟨ρ⟩υόνων οἱ ὄρχεις εὐμεγέθεις 1
καὶ εὔπεπτοι, ὅτι πλέον ἕλκουσιν ἐκ τοῦ γάλακτος τοῦ βρώματος διὰ
τὴν ὁμοιότητα καὶ ὅτι τὸν θορὸν δαψιλέστερον ποιοῦσιν. ὁ θορὸς πα-
5 *χύτερος οὔρου, λεπτότερος αἵματος. ὅθεν ἕως ἡ φύσις δεῖται τροφῆς*
ὡς ἐπὶ τῶν παίδων, καὶ τὸν θορὸν ἀναλίσκει, ὅταν δὲ οὐ χρείαν ἔχῃ,
περὶ τοὺς ὄρχεις συνάγει τῶν τε θηλειῶν καὶ τῶν ἀρρένων, κἀντεῦθεν
ὄρχεις εὐρύνονται καὶ τρίχας φύουσι. πάλιν μετὰ τὴν σύλληψιν ἡ φύ-
σις δεομένη αἵματος πρὸς γάλακτος γένεσιν διὰ τὸ βρέφος τὸν θορὸν
10 *ἀπὸ τῶν ὄρχεων λαμβάνουσα ἀναμίγνυσι τῷ αἵματι καὶ ποιεῖ γάλα.*
Τὸ μέλι οὐκ ἔστι δριμὺ ἀφ' ἑαυτοῦ ἀλλ' εὔκρατον, δριμύτερον δὲ 2
ποιεῖ αὐτὸ ἡ γλῶσσα τῇ οἰκείᾳ θερμότητι. ἔστι μέλι τὸ λεγόμενον
χαλβανόριον τῶν μελισσῶν βοσκομένων χαλβάνιον, ἕτερον Αἰγύπτιον,
τὸ δὲ ἄριστον τὸ νησιωτικὸν καὶ τὸ Ὑμήττιον.
15 *Τὸ γάλα ψυχρὸν ὂν θερμαίνει, ὅτι αἷμά ἐστι λελευκωμένον ὑπ'* 3
ἀδένων λευκῶν καὶ ἀναίμων καὶ ἧττον θερμὸν ὂν τοῖς μαστοῖς μετα-
βαλλόμενον. οὐ δεῖ δὲ αὐτὸ πιτύᾳ πηγνύειν – κακοστόμαχον γάρ –,
ἀλλὰ μᾶλλον ὀπῷ συκῆς ἢ ἐχίνῳ ὄρνιθος πλύνειν.
Τὰ ἐν πνεύμονι ἕλκη ἀνίατα, ὅτι ὁ πνεύμων ἀεικίνητος – ἄλλοτε 4
20 *καὶ ὁ βὴξ σπαράσσει τὸ ἕλκος – ἢ ὅτι ὑγρὸς καὶ θερμός ἐστι καὶ*
εὔσηπτος.
Οἱ φρενιτικοὶ μετὰ τὴν ἀπαλλαγὴν ἀσθενέστεροι, ὅτι ἀπαλλαγέντες 5
τῆς ξηρᾶς δυσκρασίας τῆς κρατούσης τὸν ἐγκέφαλον καὶ ἀτονούσης
τὰ νεῦρα αἰσθάνονται τοῦ κόπου, τῆς διακριτικῆς δυνάμεως
25 *καθαριευούσης, καὶ ὅτι ἐνυγρανθέντα τὰ νεῦρα ἀσθενῆ γίνεται.*
Οἱ πετραῖοι ἰχθύες εὔπεπτοι, ὅτι οὐχ ἡσυχάζουσιν, ἀλλ' ἀεὶ κινοῦν- 6
ται, τὸ δὲ κινούμενον λεπτότερον γίνεται καὶ εὐπεπτότερον ὡς αἱ πτέ-
ρυγες.
Τοὺς συνεχέσι πυρετοῖς κάμνοντας οὐ λούομεν ἐν ταῖς παρακμαῖς, 7
30 *ὅτι οἱ παρὰ φύσιν χυμοὶ ἄπεπτοί εἰσιν ἀντεχόμενοι τῶν σωμάτων, οἱ*
κατὰ φύσιν λεπτοί. τὸ θερμὸν οὖν τοὺς λεπτοτέρους ἕλκει καὶ οὐ τοὺς
παρὰ φύσιν.

55 **O** 441v–446v || **2–109** Al. Probl. III 1–22

55 **3** *τοῦ βρωθέντος* Al. || **6** *παιδίων* Al. || **16** *θερμὸν … μεταβ.*] aliter Al. || **19** *ἄλλοτε*] *ἄλλως τε* Al. || **22** *φρενιτικοὶ* Al.: *φρενητικοὶ* **O** || **25** *καθαριευούσης*] aliter Al. || **29** *ταῖς* Al.: *τοῖς* **O** || **31** *οὐ τοὺς* Wk.: *αὐτοὺς* **O**

8 *Τοῖς ἐκτικοῖς ὕδωρ δίδοται πρὸ τροφῆς, ὅπως τὰ στερεὰ μόρια ὑγρανθέντα ἐπιτήδεια γίνηται πρὸς δοχὴν τροφῆς, ἐπεὶ καὶ οἱ κονιαταὶ πρότερον ῥαίνουσι τὸν τοῖχον ὕδατι, εἶτα χρίουσιν.* 35

9 *Τὸ ἧπαρ αὔξεται τοῖς γλυκέσι διὰ τὴν ὁμοιότητα· θερμὰ γὰρ ἀμφότερα. ὁ σπλήν, ὡς ἕλκων τὸ τρυγῶδες τοῦ αἵματος, πλεῖον εὑρίσκων αὐξάνει.*

10 *Οἱ τὸν κρόταφον πληγέντες ἀπόλλυνται, ὅτι ὁ μῦς οὗτος ἐκ τοῦ ἐγκεφάλου ἐκπέφυκε. συναπολαύων οὖν τῆς πληγῆς συστέλλεται σὺν* 40 *αὐτῷ καὶ τὸ ψυχικὸν πνεῦμα καὶ οὕτως ἡ ψυχὴ ἀποροῦσα ἐπιτηδείου ὀργάνου ἀφίπταται.*

11 *Οἱ ἐμβρόντητοι ἢ ἀπόλλυνται ἢ ἀνόητοι γίνονται, ὅτι ὁ ἄμετρος κτύπος εἰσιὼν πρὸς τὸν ἐγκέφαλον παχύνει καὶ συστέλλει τὸ ψυχικὸν πνεῦμα καὶ ἀνόμοιον τῇ ψυχῇ ποιεῖ πρὸς ἐνέργειαν. εἰ δ' ἀμέτρως* 45 *παχυνθείη, καὶ χωρισμόν.*

12 *Τοῦ ᾠοῦ τὸ λεκιθῶδες εὔπεπτον ὡς θερμόν, τὸ δὲ λευκὸν ⟨δύσπεπτον⟩ ὡς ψυχρόν. ἰστέον ὡς τὸ ὀστρακῶδες τοῦ ᾠοῦ ἔοικε τῇ γῇ, τὸ πνεῦμα τῷ ἀέρι, τὸ ὑγρὸν τῷ ὕδατι, ἡ λέκιθος τῷ πυρί· ἔστι καὶ σφαιροειδὲς μετέχον καὶ δυνάμεως ζωτικῆς καὶ μιμεῖται τὸν κόσμον.* 50

13 *Τῶν κωλικῶν ἡ κόπρος βολβιθώδης, ὅτι ἐκ φλέγματός ἐστι τὸ πάθος καὶ σηπόμενον πνεύματα τίκτει, ἃ τὴν κόπρον ὑπενδυόμενα ὡς τὴν τῶν βοῶν ποιεῖ. τῶν δὲ βοῶν τοιαύτη διὰ τὸ πολλῇ τροφῇ κεχρῆσθαι ἀχυρώδει πνευμάτων ποιητικῇ.*

14 *Ἐπὶ τῶν τὴν μήνιγγα τοῦ ἐγκεφάλου τὴν παχεῖαν τετρωμένων* 55 *ἐξίασι μύκητες, ὅτι τοῦ ἐγκεφάλου ἀτμοὺς διαφοροῦντος διὰ τῶν ῥαφῶν, ἐπειδὴ διαίρεσις τῆς τομῆς γίνεται, ἐξίασιν οἱ ἀτμοὶ ἀθρόως καὶ ψυχρῷ τῷ ὀστέῳ ὁμιλοῦντες πήγνυνται καὶ ἐξαπλοῦνται ὡς μύκητες. οὕτω γὰρ καὶ καπνὸς ῥᾶον ἐξέρχεται διὰ τῆς θυρίδος ἢ διὰ τῶν ὀπῶν.* 60

15 *Τὸ φλέγμα ὡς παχὺ κατωφερὲς ὂν πῶς ἀνέρχεται ἐπὶ κεφαλήν; οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ τὴν ἀποκριτικὴν δύναμιν, ἥτις διώκει αὐτὸ ἀπὸ μορίου εἰς μόριον. περι[.....] τοίνυν δύναται διωκόμενον· εἰς τὸ ἀσθενὲς φθάσαν μένει.*

16 *Ἐν λοιμικῇ πολλοὶ ἀπόλλυνται καὶ κατὰ τὴν αὐτὴν ἡλικίαν, ὅτι* 65 *ὅσοι ἐκληρώθησαν ὑπὸ τῆς ἀθρόας κινήσεως κατὰ τὴν αὐτὴν ἀπότεξιν ὀλιγοχρόνιοι, οὗτοι καὶ θᾶττον ἁλίσκονται ὑπὸ τοῦ λοιμοῦ κινούμενοι.*

34 *οἱ κονιαταὶ* Al.: *οἰκονιαταὶ* **O** || 47 *λεκιθῶδες* Al.: *λεκυθῶδες* **O** | *δύσπεπτον* Al. || 49 *ὁ λέκυθος* **O**: correxi || 50 *μετέχον* Al.: *-ων* **O** || 51 *οἱ κόπροι βολβυθώδεις* **O**: sec. Al. correxi || 63 post corr. non leg. **O** (an *περιπολεῖν*?) || 66 *ἀθρόας*] *ἀστρῴας* Al.

Φασί τινες ἐπὶ τῶν κραιπαλῶν οἴνῳ διαλύεσθαι τὴν ἐξ αὐτοῦ εὐ- 17
κρασίαν, ὅτι τὴν ἀπὸ τῆς τοῦ οἴνου θερμότητος ἔκλυσιν τῶν μορίων
70 *ἕτερος εἰσιὼν ἀποδιώκει καὶ ῥώννυσι καὶ ἀποκρούει τὰ συναχθέντα*
πνεύματα τὰ βαροῦντα τὴν κεφαλήν. ὀλίγος οἶνος πινόμενος ὑγείαν
ποιεῖ, σύμμετρος εὐφρασίαν, | ἄμετρος μέθην. Βάκχη ἕπεται τῷ Διο- 442r
νύσῳ διὰ τὴν τοῦ οἴνου χορείαν, Σάτυροι διὰ τὴν εὐκινησίαν, πάρδοι
διὰ τὴν ποικίλην φαντασίαν τῶν οἰνωμένων. Βάκχη ἡ φονεύσασα τὴν
75 *Ἀγαύην μητέρα τοῦ Πενθέως, ὅτι πολλοὶ ὑπερμεθυσθέντες ἐτράπησαν*
εἰς φόνον. γυμνὸς ὁ Διόνυσος διὰ τὴν φανέρωσιν τοῦ τῶν πινόντων λο-
γισμοῦ. ποθεῖ τὴν Ἀφροδίτην ὅτι οἱ οἰνωθέντες σφόδρα ἐρῶσι. φαλα-
κρὸς ὅτι τὸν ἐγκέφαλον ἐρημοῖ καὶ μαραίνει, ὅθεν καὶ Μάρων καλεῖ-
ται. ἔχει καὶ τὸν Πᾶνα ὅτι τὸ πᾶν τοῦ οἴνου τῇ δυνάμει ἢ διὰ τὴν
80 *διάφορον χροιὰν τοῦ οἴνου. ὑπὸ πυρὸς κεραυνωθεὶς πυρὶ βέβληται ὅτι*
πολλάκις οἶνος ἡλιαζόμενος τελειοῦται. δ' γυναῖκας ἔχει ἀδελφὰς διὰ
τὸ δ' μεταβολὰς ἔχειν τὸν οἶνον. Πάν ἐστιν ὁ κόσμος, δύο κέρατα ἔχει
ὅτι διπλοῦς ἡ φύσις, ἄρρην καὶ θήλεια, ὥσπερ καὶ ἥλιος καὶ σελήνη·
ὁ μὲν γάρ ἐστι προετικὸς ἀντὶ σπέρματος τῶν οἰκείων φώτων, ἡ δὲ
85 *δεκτικὴ ὡς θῆλυ. τὸ ἄνω ἀνθρωποειδὴς ὅτι τοῦ παντὸς τὸ ἄνω τὰ λο-*
γικὰ περιέχει, τὸ κάτω προβατοειδὴς ὅτι τὰ κάτω ἄλογα. φιλεῖ τὴν
Ἠχὼ διὰ τὴν ἐναρμόνιον κίνησιν τῆς οὐρανίας σφαίρας. τὸ αἷμα τε-
τραμερὲς ὡς ὁ οἶνος· ἔχει γὰρ τὸ ὑδατῶδες τὸ ἑλκόμενον παρὰ τῶν
νεφρῶν, τὸ ἀνάλογον τῷ ἄνθει ὅπερ ἕλκει ἡ χοληδόχος κύστις, τὸ
90 *παχὺ καὶ τρυγῶδες ὅπερ ὁ σπλὴν ἕλκει, τὸ οἰνῶδες καὶ καθαρὸν τοῦ*
αἵματος ὅπερ ὡς οἶνος ἀναδίδοται ὅλῳ τῷ σώματι.

Βάλανος τρωθεῖσα οὐ κολλᾶται, ὅτι τὰ ἐκ σπέρματος παλιγγενεσίαν 18
οὐχ ὑπομένει, ὡς νεῦρον, φλὲψ καὶ τὰ ὅμοια, τὰ δὲ ἐξ αἵματος
ὑπο[μένει]· πανταχοῦ γὰρ τὸ αἷμα, οὐ μὴν καὶ τὸ σπέρμα.

95 *Τὰ γίγαρτα καὶ αἱ κεγχραμίδες ὠμὰ καταπινόμενα τὰ αὐτὰ ἐκκρίνε-* 19
ται, ἢ διὰ τὴν σμικρότητα καὶ ξηρότητα ἢ διότι σφαιροειδῆ· τὸ δὲ
σχῆμα τοῦτο τελειότατον παρὰ τῷ θεῷ καὶ διὰ τοῦτο μόνιμον.

Ἐπὶ τῆς ἐμφράξεως τῶν κυρτῶν τοῦ ἥπατος ἡ κατακλεὶς κατασπᾶ- 20
ται, ὅτι ἡ τούτων στελεχιαία φλὲψ ἀνιοῦσα πρὸς τὴν κατάκλεισιν καὶ
100 *ἀπὸ ἐμφράξεως καὶ πληρώσεως εὐρυνομένη τὸ μῆκος μειοῖ καὶ σπᾷ*
ἐπὶ τὸ κάτω, ὥσπερ καὶ ἔντερον πληρωθὲν σαρκός.

68 *εὐκρασίαν*] immo *ἀκρασίαν* (nisi euphemismo utitur): *κεφαλαλγίαν* Al. || **78** *Μάρων* sec. Al. scripsi: praeter *μαρ* non pro certo leg. **O** || **79** *Πᾶνα* Al.: *πάνα* **O** || **80** *πυρὶ*] *ἐν μηρῷ* Al. || **84** *παρεκτικὸς* Al. || **86** *τὸ* Al.: *τὰ* **O** || **94** partem evan. sec. Al. supplevi || **99** *κατακλεῖν* Al.

21 *Ἡ μήτρα κοτυληδόνας ἔχει ἵνα συνέχῃ τὸ σπέρμα εὐόλισθον ὄν, καθὼς καὶ οἱ κονιῶντες κολάπτουσι τοὺς τοίχους, ἔπειτα χρίουσι.*

22 *Τινὲς αἰδεσθέντες οὐρῆσαι ἰσχουρίασαν, ὅτι ὀγκωθεῖσα ἡ κύστις τὴν φυσικὴν ὑγρότητα εἰς ξηρότητα μετερρύθμισε, καθάπερ καὶ βύρσα ξηρανθεῖσα οὐκ ἐκτείνεται εἰ μὴ δι' ὑδρελαίου. στραγγουρία ἢ μυὸς παραλύσει γίνεται τοῦ κλείοντος τὸν τράχηλον τῆς κύστεως ἢ λίθῳ περιπεσόντι. ἡ δυσουρία κοινόν ἐστιν ὄνομα ὡς δυσπεψία καὶ δυσηκοΐα.* 105

1 *Οἱ τὴν κάτω κοιλίαν ῥευματιζόμενοι διψῶσιν, ὅτι τῶν ὑγρῶν κάτω φερομένων ἀναξηραίνεται τὰ πρὸς τῷ στομάχῳ καὶ γεννᾶται δίψα.* 110

2 *Δακρύουσιν οἱ λυπούμενοι· πνεύματος γὰρ πάθος ἡ λύπη ἀνατρέχον ἐπὶ τὸν μήνιγγα καὶ ἐκθλῖβον τὸ παρακείμενον ὑγρόν. τοῦτο καὶ τοῖς χαίρουσιν.*

4 *Οἱ σπάδωνες οὐ γενειῶσι τῇ στερήσει τοῦ θερμοῦ.* 115

5 *Οἱ εὐνοῦχοι ὀξύφωνοι, ὅτι στενοὺς ἔχοντες τοὺς πόρους ἐκτέμνονται, οἱ δὲ εὐρυτέρους ἀποκόπτονται.*

6 *Μετὰ τὴν τροφὴν ἐρευγόμεθα, ὅτι τῆς τροφῆς κάτω χωρούσης τὸ πνεῦμα ὡς λεπτὸν ἐπὶ τὰ ἄνω κουφίζεται.*

7 *Οἱ θερμότεροι τῶν ἄλλων πλέον συν⟨ουσ⟩ιάζουσιν.* 120

8 *Οἱ ἀπὸ φωτὸς εὐθὺς εἰς σκότος εἰσελθόντες οὐχ ὁρῶσι διὰ τὴν παχύτητα τοῦ σκότους.*

9 *Γυναῖκες ὑστέρας παθοῦσαι παρακόπτουσιν, ὅτι νευρώδης ἡ οὐσία αὐτῆς καὶ ἀπὸ στομάχου καὶ μηνίγγων ἄρχεται.*

10 *Ἔμμηνα ταῖς θηλείαις γίνεται, ὅτι ἀργαῖς οὔσαις τὸ περιττὸν τοῦ αἵματος ἐκκρίνεται κουφισμοῦ χάριν.* 125

11 *Ἐπὶ τοῖς λοιμοῖς ὀφθαλμίαι γίνονται, ὅτι τροπῆς περὶ τὸ πνεῦμα γινομένης, οὗ πῆσις ὁ λοιμός, ἡ ὅρασις ταράττεται.*

12 *Οἱ τρομικοὶ πίνοντες περιφέρονται, ὅτι ὁ οἶνος ταράσσει τὸ ἐν τοῖς νευρώδεσι πνεῦμα.* 130

13 *Τὰ ἄλογα ἅμα τῷ τεχθῆναι περιπατοῦσιν, ὅτι ἶσον πανταχοῦ ἔχουσι τὸ θερμόν, οἱ δὲ ἄνθρωποι τῇ κεφαλῇ πλεῖον· ὅταν οὖν ὁμαλισθῇ, ἀνίστανται.*

14 *Οἱ σπώμενοι πυρέξαντες ἰῶνται, ὅτι ὁ μὲν σπασμὸς ἐκ ψύξεως γίνεται τοῦ ἐν τοῖς νεύροις πνεύματος καὶ ὑπὸ θερμασίας λύεται.* 135

110–571 Al. Probl. IV 1–160

114–115 probl. (3) om. **O** || **120** sec. Al. supplevi

Οἱ μέλαιναν χολὴν ἐμέσαντες κινδυνώδεις, ὅτι μηκέτι τῆς χολώδους 15
ὑποστάσεως οὔσης τὸ αἷμα ἀπὸ τοῦ ἥπατος ἕλκεται.

Ἀπουρήσαντες ἀναπνέομεν, ὅτι πληρωθεῖσα ἡ κύστις τὸ ἀπηνθυσμέ- 16
νον ἔντερον θλίβει· ἀνεθείσης οὖν αὐτῆς τὸ ἐπισχεθὲν πνεῦμα ὀλισθαί-
140 *νει.*

Χασμησάμενοι ἢ οὐρήσαντες ὑποφρίττομεν, ὅτι τοῦ θερμοῦ πνεύμα- 17
τος μέρος τι συνεκτρέχει.

Ἐπὶ τῶν λευκῶν ἢ ἀλφῶν αἷμα οὐχ ὑπεκρέει κεντούμενον, ὅτι ἐκ 18
τῆς ἐπιφανείας πόρρω τὸ θερμόν.

145 *Οἱ τεταρταῖοι χρονιώτεροι, ὅτι περὶ τὸ γεῶδες τοῦ σώματος τὸ σύγ-* 20
κριμα γίνεται, βαρὺ δὲ τὸ γεῶδες.

Τῶν ἄρθρων τὰ ἕλκη οὐ κατουλοῦται, ὅτι τῶν ἄρθρων τὸ πέρας 21
χόνδρος ἐστίν.

Τὸ ὄμβριον ὕδωρ ἐλαφρὸν ὡς γυμναζόμενον ὑπὸ τοῦ πνεύματος καὶ 22
150 *λεπτυνόμενον ὑπὸ τοῦ ἀέρος.*

Τὸ ψυχρὸν πολέμιον ὀστέοις, ὀδοῦσι καὶ νεύροις ὡς γεωδεστέροις 23
καὶ ψυχροτέροις.

Ἡ χιὼν ψυχρὰ οὖσα καίει διὰ τὴν πυκνότητα τὴν πολλήν, αἱ δὲ 24
ἀκρότητες ἰσότητες, θερμή τε καὶ ψυχρά.

155 *Οἱ φρενιτικοὶ σμικρόσφυκτοι, ὅτι ἀραιοῦται τούτοις τὸ ἐν τοῖς* 25
μήνιγξι πνεῦμα. μεγαλόσφυγμοι οἱ ληθαργικοί, ὅτι παχύνεται τούτοις
τὸ πνεῦμα καὶ βαρύνεται.

Τῷ χειμῶνι πειναλέοι γινόμεθα, ὅτι τὸ θερμὸν ἐντὸς κλειόμενον 27
πέττει τὴν τροφήν.

160 *Τὸ μέλι τοῖς ἕλκεσι δριμύ, ὅτι ἐμπίπτει τούτοις ἡ λεπτότης αὐτὴ ἡ* 29
δριμεῖα, τῇ γεύσει γλυκύ, ὅτι ὑγρὰ οὖσα αὕτη τῆς ἐν τῷ μέλιτι λει-
ότητος ἀντιλαμβάνεται.

Τὰ νεῦρα νυσσόμενα φλεγμαίνει, κοπτόμενα δὲ οὔ, ὅτι τὸ πνεῦμα 30
διὰ τῶν στενῶν πόρων τῇ νύξει πιλοῦται εἰς ἑαυτό, ἐπὶ δὲ τῆς τελείας
165 *διακοπῆς διαπνεῖ.*

Οἱ πρὸ τῆς σημασίας ἱδρῶτες χαλεποί, ὅτι οἱ μετὰ τῆς ἐπισημασίας 31
κατὰ ἄνεσιν, οἱ δὲ πρὸ τούτων κατὰ ἔκθλιψιν.

Οἱ νήστεις δυσώδεις τὸ στόμα, ὅτι ἡ ἐν τῷ στόματι δριμύτης μὴ 32
συγκιρναμένη νέᾳ τροφῇ ἀναθυμιᾷ.

138 *ἀναπνέομεν* Al.: *ἀναπέρομεν* **O** || **139** *ἀνεθείσης* Al.: *ἀνεχθείσης* **O** || **142** *μέρος* Al.: *μέρους* **O** || **143** *ὑπεκρέει*] *ὑπακούει* Al. | *ἐκ* – **144** *πόρρω*] aliter Al. || **144–145** probl. (19) om. **O** || **154** *ψυχρά* Al.: *ψυχρή* ut vid. **O** || **155** *φρενιτικοὶ* Al.: *φρενητικοὶ* **O** || **156** *μήνιγξι* Al.: *μήνιξι* **O** | *μεγαλόσφυκτοι* Al. || **157–158** probl. (26) om. **O** || **159–160** probl. (28) om. **O** || **161** *τῆς … λειότητος* Al.: *τὰ … λειότ( )τ( )* **O** || **168** *ἡ* Al.: *οἱ* **O**

33 *Ἐν ταῖς καρδίαις οὐ γίνεται πάθος, ὅτι διὰ τὴν κυριότητα φθάνει τοῦ πάθους τὸν κίνδυνον.* 170

34 *Ἐν τοῖς αἰγιαλοῖς εὑρίσκεται ὕδωρ γλυκύ, ὅτι τὸ λεπτομερὲς τοῦ θαλαττίου ὕδατος διὰ τῆς γῆς παρεισδύνει· τὸ λεπτὸν δὲ γλυκὺ ὡς τὸ παχὺ ἁλμυρόν.*

35 *Τὰ πυρίκαυστα δυσκατούλωτα, ὅτι πάντες ἀφανίζονται οἱ πόροι καὶ δυσέκλυτος ἡ ἀποκεκλεισμένη κατ' αὐτὰ ὕλη.* 175

36 *Οἱ πρεσβῦται φίλοινοι ὡς χρείαν ἔχοντες θερμοῦ.*

37 *Τὰ δεξιὰ εὐσαρκότερα, ὅτι μᾶλλον κινουμένων αὐτῶν αἱ ὕλαι συνεπιδίδονται.*

38 *Ἐπὶ τοῖς ἀριστεροῖς τὰ φορτία φέρομεν, ὅτι ἐν τοῖς ἀριστεροῖς πλείων ἡ ἐπιμονὴ τῆς ὕλης, ἐν δὲ τοῖς δεξιοῖς ὡς εὐκινητοτέροις ἐλάττων.* 180

442v | *Κοινὰ συμπτώματά εἰσιν ὅσα πάσαις συμβαίνει ταῖς ἡλικίαις ὡς ἴλιγγες, πταρμοί, λυγμοὶ καὶ τὰ λοιπά.*

39 *Κάτω βλέποντες ἀφ' ὑψηλοῦ ⟨ἰ⟩λιγγιῶμεν, ἄνω δ' οὔ, ὅτι ὁ ἴλιγγος κινουμένου τοῦ ἄκρου τῆς ὄψεως γίνεται. ὅταν οὖν κάτω βλέπωμεν, ἐὰν ἀπὸ βραχέος, οὐκ ἰλιγγιῶμεν διὰ τὸ {ἡδραιῶσθαι} ἐπηρεῖσθαι τὴν ὄψιν· ἐὰν δὲ ὑψόθεν, πρὶν ἂν ἐπηρείσασθαι κινῆται, καὶ τὸ ἄκρον κινεῖται· ἄνω δὲ ποῦ †οἰσῶσα† φέρεται.* 185

40 *Ὁ πταρμὸς νυκτὸς οὐ γίνεται, ὅτι ὑπὸ θερμοῦ γίνεταί τινος κινήσαντος τὸν τόπον ἀφ' οὗ γίνεται· διὸ καὶ ἀνακύπτομεν πρὸς ἥλιον ὅταν βουλώμεθα πταρῆναι.* 190

41 *Τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τοῦ πταρμοῦ, ὅτι τὸ ἔλαττον θερμὸν τοῦ πταρμοῦ φθείρεται ὑπὸ τοῦ πλείονος τοῦ ἐν τῷ ὀφθαλμῷ· τὸ αὐτὸ τοῦτο καὶ ῥῖνα.* 195

42 *Οἱ εἰς ταὐτὸ βλέποντες ἰλιγγιῶσιν, ὅτι συνηθροισμένα εἰς ταὐτὸ τὰ βαρέα βαρύνεσθαι ποιεῖ τὸν ἴλιγγον. καὶ ἡ δί⟨ν⟩ησις δέ, ὅτι τὰ βαρέα καὶ τὰ κοῦφα διίστησι, τὰ μὲν εἰς τὸ μέσον, τὰ δὲ εἰς τὸ ἔσχατον. διὰ τοῦτο καὶ τὸ κύπτειν ἰλίγγους ποιεῖ.*

43 *Διὰ ἔνδειαν ἰλιγγιῶσί τινες, ὅτι σύμπηξις γίνεται εἰς τὰ κενά· διὰ πλήρωσιν, διὰ τὴν ὑπερβολὴν τοῦ περιττώματος εἰς πλήρεις τόπους.* 200

44 *Τὸ σκορδινᾶσθαι ἡδύ, ὅτι ἐξ ὕπνου πνεῦμα τῇ διατάσει καὶ τῇ*

171 *τὸν κίνδυνον* ut codd. quidam Al.: *ὁ κίνδυνος* Al. ‖ **181** *πλείων* Al.: *πλεῖον* **O** ‖ **184** *λυγμοὶ* Al.: *λιγμοὶ* **O** ‖ **185** sec. Al. supplevi ‖ **187** *ἡδραιῶσθαι* seclusi ‖ **188** *κινῆται* Al.: *κινεῖται* **O** ‖ **189** *οἰσῶσα*] loc. iam in Al. corruptus ‖ **190** *νυκτὸς* bis scr. **O** ‖ **192** *βουλώμεθα* Al.: *-όμ-* **O** ‖ **195** utrum *ῥινὸς* an *ῥῖνα* incertum **O**: *ἡ ῥίς* Al. ‖ **197** *βαρύνεσθαι*] immo *βαρύνει καὶ* (ut Al.) | *δίνησις* Al.: *δίησις* **O** ‖ **200** *σύντηξις* Al.

κινήσει ὁμαλῶς διὰ τῶν ἄρθρων κινούμενον ἡδονὴν ποιεῖ. ὅτι δὲ πνεῦμα, δῆλον· χάσμην γὰρ ποιεῖ.

205 Ἐν χειμῶνι ἀναπνέομεν ἐλαττονάκις, ὅτι ἐν τῷ θέρει ὁ ἀὴρ διὰ τὴν 48 ἀλέαν οὐχ ἱκανῶς καταψύχει καὶ πάλιν δεῖται τοῦ καταψύχοντος. ἐν δὲ τῷ χειμῶνι τοὐναντίον· ἡ γὰρ ὥρα συγκαταψύχει.

Ἀνισταμένοις ἴλιγγος γίνεται μᾶλλον ἢ καθίζουσιν, ὅτι ἠρεμ[οῦσι] τὸ 49 ὑγρὸν συνίσταται ἐν τῇ κεφαλῇ, κινουμένοις δὲ γίγνεται δῆλον καὶ 210 ποιεῖ ἴλιγγον εἰς ἓν μόριον ἀποκλῖναν.

Διὰ τί τῶν ἄλλων πνευμάτων, φύσης καὶ ἐρυγῆς ⟨***⟩, ἱερὸς ὁ 50 πταρμός; ὅτι ἡ φῦσα τῆς κάτω κοιλίας, ἐρευγμὸς δὲ τῆς ἄνω, πταρμὸς δὲ τῆς κεφαλῆς, ἣ θειότατόν ἐστι· καθὸ καὶ τὸ πνεῦμα ὡς ἱερὸν προσκυνοῦσιν. ἢ ὅτι, ὅταν κρατήσῃ ἡ ἐν τῇ κεφαλῇ θερμότης τὴν 215 ὑγρότητα, τότε τὸ πνεῦμα γίνεται πταρμός· διὸ καὶ τοὺς ἔξω θνήσκοντας κρίνουσι πταρμικῷ. ὡς ἂν οὖν μὴ τοῦτο πάθωσι, σώους εἶναι εὔχονται.

Ὁ ἄνθρωπος μᾶλλον πτάρνυται, ὅτι τοὺς πόρους εὐρεῖς ἔχει δι' ὧν 51 τὸ πνεῦμα εἰσέρχεται· οἷς πληρουμένοις πνεύματος πτάρνυται. ὅτι δὲ 220 εὐρεῖς, δῆλον· ⟨ἥκιστα⟩ ὀσφραντικὸν γὰρ τῶν ἄλλων ζῴων ὁ ἄνθρωπος.

Οἱ πρεσβῦται χαλεπῶς πτάρνυνται, ὅτι οἱ πόροι συμπεπτώκασι καθ' 52 οὓς τὸ πνεῦμα ἐκκρίνεται, ἢ τῷ ἀδυνατεῖν ἄνω βλέπειν ῥᾳδίως βίᾳ ἀφιᾶσι κάτω.

225 Ἐν τῷ ἀποπνευματίζειν ἡ λὺγξ παύεται, ὅτι ἡ λὺγξ ὑπὸ καταψύ- 53 ξεως· διὸ καὶ οἱ φοβούμενοι καὶ οἱ ῥιγοῦντες λύζουσι· κατεχόμενον δὲ τὸ πνεῦμα θερμαίνει τὸν ἐκτὸς τόπον.

Αἱ ἐν τῷ πώγωνι τρίχες βραδύτερον πολλάκις φύουσαι θᾶττον φθεί- 55 ρονται, ὅτι αἱ ἐν τῷ πώγωνι τρίχες πυρρότεραι τῶν τῆς κεφαλῆς καὶ 230 εὐκόλως νεύουσι πρὸς λευκότητα ἢ αἱ μέλαιναι· ἢ ὅτι τὰ ἐκ τῆς κεφαλῆς ῥεύματα εἰς τὸ στόμα πλέον φέρεται καὶ εἰς τὸν πώγωνα. διὸ καὶ ἀσθενεστέρα ἡ θρὶξ γίνεται καὶ δι' αὐτὸ πολιοῦται.

Ὕστερον πολιοῦται ὁ πώγων τῆς κεφαλῆς, ὅτι ἡ πολιὰ δι' ἀσθέ- 56 νειαν γίνεται ποτοῦ καὶ τροφῆς. ὁ τόπος οὖν οὗτος τοιοῦτος καὶ διὰ 235 τοῦτο πλέον πολιοῦται. σημεῖον δὲ καὶ τὸ θῆλυ, ἐνταῦθα μόνον τρίχας μὴ ἔχον.

205 probl. (45) et (46) infra post (73) locavit, (47) om. **O** || 208 sec. Al. supplevi || 209 *κινουμένοις* Al.: *κεν-* **O** || 211 exciderunt fere *αἱ διέξοδοι οὐχ ἱεραί* (cf. Al.) || 216 *πταρμικῷ* Al.: *πταρτικῷ* **O** || 220 *ἥκιστα* Al.: om. **O** || 222 *πτάρνυνται* Al.: *ἐπτάρνυνται* **O** || 227–228 probl. (54) om. **O** || 233 *Ὕστερον*] aliter Al. || 234 *ποτοῦ* ut codd. quidam Al. (immo *τόπου*)

57 *Αἱ ἐν τῇ ἥβῃ τρίχες ἐν ὑγροτέρῳ τόπῳ οὖσαι ἧττον αὔξουσι τῶν τοῦ πώγωνος, πρότερον γιγνόμεναι, ὅτι ὁ τόπος τῆς ἥβης ἀραιότερος καὶ ὑγρότερος καὶ ἀεὶ ἔχων τροφὴν ἢ ὁ τοῦ πώγωνος· δῆλον δὲ ἐκ τοῦ ὄγκου τῶν αἰδοίων.* 240

58 *Ἐν τοῖς ποδίοις ὄνυξι τὰ λευκὰ σημεῖα, ἃ καλοῦσί τινες ἐραστὰς ἢ ψεύδη, οὐκ ἐγγίνεται ὡς ἐπὶ τῶν χειρῶν, ἢ ὅτι βραδέως αὐξάνεται πρὶν κινηθῆναι καὶ αὐξηθῆναι.*

59 *Τῶν γερόντων οἱ ὄνυχες σκληρότεροι, ὅτι καὶ πάντα τὰ γεώδη αὐτῶν σκληρότερα διὰ τὸ ἐξανηλῶσθαι τὸ ὑγρόν. αὐξάνεται δὲ θᾶττον, ὅτι πολὺ ἔχει τὸ περίττωμα ἐξ οὗ τρέφονται τρίχες καὶ ὄνυχες.* 245

60 *Οἱ τοῦ ἀνθρώπου ὄνυχες μαλακώτατοι, ὅτι καὶ τὸ δέρμα αὐτῶν τοιοῦτον, ἢ ὅτι τοῖς ἔχουσι σκληροὺς ὄνυχας οἱ τοιοῦτοι χρήσιμοι.*

61 *Οἱ ἐκ γενετῆς τυφλοὶ οὐ φαλακροί, ὅτι μεθέστηκεν ἡ θερμότης πηρωθέντων τῶν ὀμμάτων εἰς τὸν πλησίον τόπον καὶ ὃς οὐ καταψύχεται, ἀλλ' ἀεὶ ἔχει τροφήν· ἡ δὲ φαλακρότης ἐκ ψύξεως. ἢ διότι ὁ τόπος ἔχει θερμότητα ἀναλίσκειν τὸ περίττωμα.* 250

62 *Ὁ πώγων γίνεται πυρρὸς ἄνευ τῆς κεφαλῆς, οὐ μὴν δὲ τὸ ἀνάπαλιν, ὅτι αἱ πυρραὶ δι' ἀσθένειαν γίνονται· ὁ πώγων δὲ ἀσθενέστερος τῆς κεφαλῆς. εἰ οὖν ἐν τῷ στερεωτέρῳ γίνεται, ἀνάγκη καὶ ἐν τῷ ἀσθενεῖ, οὐ μὴν τὸ ἀνάπαλιν.* 255

63 *Αἱ μακραὶ τρίχες ῥέουσιν, ὅτι μοχλὸς ἡ θρίξ, ὑπομόχλιον δὲ τὸ δέρμα, εὐκίνητα δὲ τὰ πλέον ἀπέχοντα τοῦ ὑπομοχλίου, ὡς δῆλον ἐν τοῖς Μηχανικοῖς.*

64 *Αἱ βλεφαρίδες οὐ πολιοῦνται, ὅτι πίων ἡ ἐκεῖσε σὰρξ καὶ διὰ τοῦτο οὐκ ἐπὶ ⟨πο⟩λὺ αὔξεται ἡ θρὶξ οὔτε πολιοῦται· φθορᾷ γάρ τινι καὶ φαυλότητι τῆς τροφῆς πολιοῦσθαι συμβαίνει.* 260

65 *Οἱ ἐπὶ τῶν χειρῶν ὄνυχες μᾶλλον αὔξουσιν ἢ τῶν ποδῶν, ὅτι ἡ αὔξησις ἐπὶ τὰ ἄνω χωρεῖ, ὡς αἱ τρίχες πώγωνος καὶ ἥβης· ἢ ὅτι ἐν ἀλέᾳ, ὡς χεῖρες, οἱ δὲ ἐν ψύξει.* 265

66 *Αἱ τρίχες οὖλαι γίνονται, ὅτι δύο φορὰς φέρονται κρατουμένης τῆς ἔσωθεν φορᾶς τῇ ἐν τῷ περιέχοντι θερμότητι· διὸ καὶ οἱ Αἰθίοπες τοιοῦτοι.*

67 *Ἐν τοῖς πυρικαύστοις οὐ φύεται θρίξ, ὅτι πυκνοῦνται οἱ πόροι σφόδρα.* 270

237 *οὖσαι* Al.: *οὖσα* **O** ‖ **242** *ψεύδη* Al.: *ψεύδους* **O** | *ἢ ὅτι* – **243** *αὐξηθῆναι* bis scr. **O** ‖ **245** *αὐτῶν* scripsi: p.c. non pro certo leg. **O** ‖ **250** *πηρωθέντων* Al.: *πληρωθέντων* **O** | *πλησίον* Al.: *πλούσιον* **O** ‖ **252** ante *ἀναλίσκειν* sc. *ὥστε* (quod habet Al.) ‖ **261** *ἐπὶ πολὺ* Al.: *ἐπιλὺ* **O** ‖ **265** *ἀλέᾳ* Al.: *ἠλέα* **O** ‖ **266** *οὖλαι* Al.: *οὐλαὶ* **O**

Αἱ παχεῖαι τρίχες οὐ γίνονται μακραί, ὅτι ἡ εἰς αὔξησιν δύναμις 68
ἀναλίσκεται εἰς τὸ πάχος, ἢ ὅτι ὡς παχεῖαι σκληραὶ καὶ διὰ τοῦτο
δυσκίνητοι εἰς αὔξησιν.

Πυκνότεραι αἱ παχεῖαι κατὰ φαντασίαν ἢ ⟨διὰ⟩ τὸ βραδέως εἰς 69
275 *μῆκος αὔξεσθαι κατὰ πλείους τόπους ἡ τροφὴ ἀνατέλλει ἐπιβιαζομένη*
ἐντός, οὐ ταχὺ ὑπεξ[αγ]ούσης τῆς ἕξεως εἰς τὸ ἄνω.

Ἐν τοῖς ὀστώδεσι παχύτεραι αἱ τρίχες, ὅτι καὶ παχὺ τὸ δέρμα. 71

Αἱ πυρραὶ τρίχες μελάντεραι γίνονται, διότι πέττεται μᾶλλον ἐν 72
ὀλίγῳ τὸ ὑγρὸν γινόμενον ὑπὸ τῆς ἐνούσης ἐν τῇ ἀρχῇ θερμότητος. ἐκ
280 *νοσούσης τροφῆς πυρρὰ θρίξ, ἐξ ὑγιοῦς μέλαινα.*

Οἱ Αἰθίοπες οὐλότριχες, ὅτι ξηραινομένη ἡ θρὶξ ὑπὸ τοῦ ἡλίου συγ- 73
κάμπτεται. οἱ Σκύθαι δ' οὐ τοιοῦτοι ὡς ἐν ψυχρῷ τόπῳ οἰκοῦντες, ὅτι
τὸ ὑγρὸν τὸ ἐν ταῖς θριξὶν οὐκ ἐξατμίζει ὁ ἥλιος, καὶ διὰ τοῦτο εὐ-
θεῖαι.

285 *Ὁ πταρμὸς λυγμὸν παύει, οὐ μὴν καὶ ἐρυγήν, ὅτι διάφοροι οἱ τού-* 45
των τόποι· ἡ γὰρ ἐρυγὴ κοιλίας, ὁ λυγμὸς πνεύμονος ἐξ ἀπεψίας
πνεύματος καὶ ὑγροῦ· κοινωνοῦσι δὲ οἱ περὶ τὸν ἐγκέφαλον τόποι τῷ
πνεύμονι. ἰστέον δὲ ὡς ὄξος παύει λυγμόν· ἐκθερμαίνων δὲ καὶ ἀνα-
πνευστισμὸς τὸ πνεῦμα τὸ κατεχόμενον παύει καὶ αὐτός.

290 *Χασμησαμένου τινὸς ἀντιχασμῶνται διὰ τὴν μνήμην· | ὅταν γὰρ* 443r 46
μνησθῇ, κινεῖται τοῦτο τὸ μέρος. τοῖς οὖν ἀνθρώποις ὡς εὐαισθητο-
τέροις εὐθὺς ἰδοῦσι συμβαίνει ἀναμιμνήσκεσθαι, τοῖς δὲ ὑποζυγίοις
οὐκ αὔταρκες, ἀλλὰ προσδέονται καὶ ἑτέρας αἰσθήσεως. ὅθεν καὶ
ὀσφραίνοντα τῶν οὐρησάντων οὐροῦσι καὶ αὐτὰ εἰς τὸν αὐτὸν τόπον.

295 *Τοῖς ἀσθενοῦσι καὶ γέρουσιν ὄνυχες καὶ τρίχες αὔξουσι, τὸ δὲ* 74
λοιπὸν σῶμα φθίνει, ὅτι ἐν τοῖς ὑγιέσιν ἡ τροφὴ εἰς σάρκας καὶ νεῦρα
διαδίδοται τὰ δεόμενα στερεώσεως, ἐν δὲ τοῖς ἀσθενέσιν εἰς τὰ μὴ
δεόμενα οἷον ὄνυχας, τρίχας. λέγουσι καὶ τοὺς Ἰλλυριοὺς ξυρᾶσθαι ἐν
μάχαις, καὶ μετὰ θάνατον αὔξειν τρίχας, ὡς φθίνοντες τὰ σώματα εἰς
300 *ταῦτα τὴν τροφὴν δέδωκεν.*

Αἱ τῶν ποδῶν τρίχες μόλις πολιοῦνται, ὅτι τὸ θερμὸν ὑπονοστεῖ 75
κατὰ τὸ γῆρας ἐν τοῖς τοιούτοις τόποις. δῆλον δὴ ὅτι τοῖς τῶν γερόν-
των ποσὶν αἱμορροΐδες γίνονται. ὅταν δὲ καὶ ἐκ τῶν ποδῶν ἐξικμασθῇ
ἡ τοιαύτη θερμότης, λευκαίνονται καὶ αἱ τούτων τρίχες.

274 *διὰ* Al. || 276 sec. Al. scripsi: *ὑπερ ούσης* spatio 2 litt. relicto **O** || 276–277 probl. (70) om. **O** || 278 *μελάντεραι* Al.: *-οι* **O** || 280 *ἐξ ὑγιοῦς* Al.: *ἐκνοσούσης* **O** || 291 *μνησθῇ* Al.: non pro certo leg. **O** | *κινεῖται* Al.: *κινῆται* **O** || 294 *ὀσφραίνοντα* Al.: *-ται* **O** || 299 immo *φθίνοντα*

76 *Τὰ ἔρια δι' ἐλαίου λευκότερα γίνεται, αἱ δὲ τρίχες μελάντεραι, ὅτι* 305 *ἐκεῖνα μὲν ὡς ῥυπαρὰ ξανθότερα, αἱ δὲ τρίχες ξηρότεραι οὖσαι λευκαίνονται· τὸ οὖν ἔλαιον κωλύει.*

77 *Τιλλόμεναι αἱ τρίχες τῶν προβάτων ἀναφύουσι μαλακώτεραι, τῶν δ' ἀνθρώπων σκληρότεραι, ὅτι αἱ μὲν παχύνονται ὅσῳ ἂν μακρότεραι γίνωνται· ἀποψύχει γὰρ δι' ἀσθένειαν τοῦ θερμοῦ τοῦ ἐν αὐταῖς ἀὴρ ὁ* 310 *κύκλῳ καὶ μᾶλλον ὅσον ἂν πορρωτέρω τοῦ θερμοῦ γίνηται. αὐξανόμεναι δὲ διὰ μὲν παχύτητα πλέον ἔχουσι τὸ θερμόν, διὰ τὸ ἀποξηραίνεσθαι ῥέοντα.*

78 *Τοὺς κροτάφους πολιοῦνται τάχιστα, φαλακροὶ δὲ ἥκιστα γίνονται, ὅτι ἡ πολιὰ γίνεται τῷ ποιάν τινα εἶναι τὴν τροφὴν τὴν εἰς τρίχας* 315 *διδομένην, ἡ δὲ φαλακρότης τῷ ποσήν· ὅταν γὰρ ψυχθῇ ἡ τροφή, οὐκ αὔξεται, ὥσπερ τὰ δένδρα χειμῶνος φυλλορροεῖ, ψυχρᾶς γινομένης τῆς τροφῆς. καὶ ἡ πολιὰ δὲ ἐκ σαπρᾶς τροφῆς ἐστιν. οἱ δὲ κρόταφοι ἐπὶ φλεβῶν εἰσι πυκνῶν καὶ ἔχουσι θερμότητα. ὁ κωμῳδοποιός· 'εὔρω τὸ γῆρας τὰς τρίχας βεβαμμένας'.* 320

80 *Τῆς κεφαλῆς τὸ ἔμπροσθεν φαλακρόν, ὅτι τὰ ὄπισθεν ξηρότερα, τὸ δὲ ἔμπροσθεν πλῆρες περιττωμάτων διὰ τὸν ἐγκέφαλον.*

81 *Αἱ τῆς κεφαλῆς τρίχες μᾶλλον τῶν ἄλλων αὔξονται διὰ τὴν γειτνίασιν τῆς τροφῆς τῆς ἐκ τῆς κεφαλῆς.*

82 *Ζῷα πέφυκε γίνεσθαι οὗ ἂν περίττωμα εἴη ὑγρότητος καὶ θερμό-* 325 *τητος. ἐν γοῦν τῇ κεφαλῇ τοῦ νέου φθεῖρες ὡς θερμοτέρᾳ καὶ εὐρυπορωτέρᾳ, ὅθεν καὶ αἱ τρίχες παχύταται.*

83 *Ἐκ τῶν ποτῶν καὶ τῶν ἐμέτων ἐν τοῖς ψύχεσι φθέγγονται βαρύτερον διὰ τὴν ἔκφριξιν τοῦ λάρυγγος ὑπὸ τοῦ φλέγματος· ἐπικατασπᾷ γὰρ ῥευμάτιον καὶ γίνεται βαρυτέρα ἡ φωνή.* 330

84 *Ἐγγύθεν τῆς βαρυτέρας φωνῆς ⟨μᾶλλον⟩ ἀκούομεν ὡς πλείω ἀέρα κινούσης, πόρρωθεν δὲ ἧττον, ὅτι καὶ ἐλάττονα ἀέρα κινεῖ.*

85 *Ἐν τῷ χειμῶνι ὀξύτερον φθέγγονται, ὅτι στενοῦται ἡ τραχεῖα ἀρτηρία καὶ συμπιλεῖται, ἐν τῷ θέρει βαρύτερον, ὅτι αἱ ἀλέαι διαλύουσι τὰ σώματα.* 335

86 *Τὰ ἐννεάμηνα οὐ φθέγγεται ἀλλὰ τὰ δεκάμηνα, ὅτι ὀψιαίτατα τελειοῦται ἡ φωνὴ τοῖς ἀνθρώποις. καὶ διὰ τοῦτο τοῖς ἀτελέσιν οὐχ οἷον ὑπάρχει ὡς ἐπὶ τὸ πολύ. τὰ δὲ ἑπτάμηνα ἧττονα διὰ τὴν αὐτὴν αἰτίαν.*

319 sq. *εὔρω – βεβαμμένας* ut plerique codd. Al. (cf. Comica adespota ed. Kock 53 D) ‖ **320–321** probl. (79) om. **O** ‖ **321** *τὸ*[1] Al.: *τὰ* **O** ‖ **327** *παχύταται* Al.: *-οι* **O** ‖ **331** *μᾶλλον* Al.

340 *Ὀψιαίτερον τελειοῦται ἡ τῶν ἀνθρώπων φωνὴ ἢ τῶν ἄλλων ζῴων, ὅτι πλείστας ἔχει διαφορὰς καὶ εἴδη καὶ διὰ τοῦτ' ἀνάγκη ἐν πλείστῳ χρόνῳ διατελεῖσθαι.* 87

Ἐν τῇ αὐτῇ φωνῇ πάντες διαλέγονται, ὅτι ἀπὸ τῆς μιμήσεως τῶν ἀλόγων αἱ φωναὶ εὑρέθησαν, οἷον τὰ παιδία βοῦν ἀπὸ τοῦ μυκᾶσθαι 345 *καὶ κύνα ἀπὸ τοῦ ὑλακτεῖν.* 88

Οἱ ἀγωνιῶντες βαρὺ φθέγγονται, ὅτι ἄνω φέρεται τούτοις τὸ θερμόν, ὡς καὶ τοῖς αἰσχυνομένοις, διὸ καὶ ἐξέρυθροι γίνονται. τοῖς δὲ φοβουμένοις καταψύχεται περὶ τὴν καρδίαν ὁρμῶντος τοῦ θερμοῦ. 89

Ἡ φωνὴ ῥύσις τίς ἐστι καὶ φύσιν ἔχει ἄνω φέρεσθαι. πῶς οὖν εὐ- 350 *ήκοα μᾶλλον τὰ ἄνωθεν κάτω; ὅτι ἡ φωνὴ ἀήρ ἐστι μεθ' ὑγροῦ καὶ βαρὺς ὢν φέρεται κάτω. ἡ φωνὴ ἀνωφερὴς οὖσα προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι βιάζεσθαι μὲν οὐ δύναται βαρύτερον ὄντα, ἀνακλασθεὶς δὲ ὁ κινηθεὶς ἀὴρ ἠνέχθη κάτω. τοιοῦτόν τι καὶ τὸ περὶ τὴν ἠχώ, ἥτις ἐστὶν ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον.* 90

355 *Οἱ μεθύοντες ἀπορρήγνυνται τὰς φωνάς, ὅτι πληρέστεροι ὄντες ἀπορρήγνυνται αὐτάς.* 91

Ἡ σῦριγξ καὶ ἡ ὀξεῖα φωνὴ ποιεῖ φαίνεσθαι ὥσπερ ἐρημίαν ὡς μακρὰν βαδίζουσαν καὶ οὐκ ἐπὶ πολὺ διαχεομένην. 92

Τοῖς μακρότερον ἱσταμένοις ἡ φωνὴ ὀξυτέρα φαίνεται. πῶς; ἐπεὶ τὸ 360 *μακρότερον βραδύτερον κινεῖται, ἡ ὀξύτης οὐκ ἔστιν ἐν ταχείᾳ κινήσει, ἀλλὰ καὶ ἐν τῷ ἐλάττονι ψόφῳ. τοῖς γοῦν μακρότερον ἱσταμένοις ἐλάττων ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος.* 93

Ἠχὼ γίνεται πληγείσης τῆς φωνῆς πρός τι στερεὸν καὶ μὴ διαλυθείσης. 94

365 *Χειμῶνι αἱ φωναὶ βαρύτεραι, ὅτι ὁ ἀὴρ παχύτερος καὶ βραδυτέρα ἡ κίνησις καὶ ἡ φωνή· ἢ ὅτι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττονται τὰ περὶ τὸν φάρυγγα τῷ ψύχει καὶ τῷ φλέγματι.* 95

Μεγαλόφωνοι οἱ θερμοί, ὅτι καὶ ἀέρα ἀνάγκη πολὺ ψυχρὸν ἔχουσιν· ἡ γὰρ μεγάλη φωνὴ ἐν τῷ πάλιν ἀέρα κινεῖν. 96

370 *Ἀκούουσι μᾶλλον οἱ κατέχοντες τὸ πνεῦμα ἢ οἱ ἐκπνέοντες, ὅτι τὸ αἰσθητικὸν ἄνω φέρεται τῶν φλεβῶν ἀραιουμένων, καθευδόντων δὲ κάτω, διὸ καὶ μᾶλλον ἐκπνέουσιν, ὥστε κενοῦται τὰ ἄνω, ἀκούουσι δὲ τῷ κενῷ. ἢ ὅτι ἀτμὸς ψόφος· οὗτος οὖν ἐν τῷ πνεῖν γενόμενος κωλύει ἀκούειν.* 97

340 *ὀψιαίτερον* scripsi: *ὀψιαιτ(')τ( )* ut vid. **O** ‖ **343** *μιμήσεως* Al.: *μίσεως* ut vid. **O** ‖ **362** *ἐλάττων ἡ φωνὴ* Al.: *ἐλάττονι φωνῇ* **O** ‖ **365** *βαρύτεραι* Al.: *-οι* **O** | *βραδυτέρα* Al.: *βραδύτερος* **O** ‖ **369** *πάλιν*] *πολὺν* Al.

98 *Οἱ τοῦ γράσου ὄζοντες δυσωδέστεροί εἰσι μύρῳ ἀλειψάμενοι, ὅτι* 375
τοῦτο θερμαντικόν ἐστι καὶ ἱδρῶτας παρασκευάζει, οὗτοι δὲ ποιοῦσιν
ἀποφοράν.

99 *Ἡ μασχάλη δυσωδίαν ἔχει διὰ τὴν σῆψιν τῆς ὑγρότητος καὶ τὸ*
ἀπνούστατον καὶ ἀγύμναστον.

100 *Τὰ δυσώδη ἧττον δοκεῖ τοῖς ἐδηδοκόσι διὰ τὸ συντετρῆσθαι τὴν* 380
ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανόν· πλήρης οὖν ἡ αἴσθησις γίνε-
ται καὶ τῆς τε δυσωδίας οὐκέτι {δυσωδίας} ὁμοίως αἰσθάνεται· τὸ γὰρ
πρῶτον αἰσθάνονται πάντες, ὅταν δὲ ἄψηται, οὐκέτι, ὥσπερ συμφύ-
ουσα καὶ ἡ ἔξωθεν ὁμοία ἀφανίζεται ὑπὸ τῆς ἔσω.

101 *Ἧττον ὀσφραινόμεθα τῷ χειμῶνι, ὅτι τότε ὁ ἀὴρ ἀκινητότερος.* 385

102 *Διὰ τί αἱ κύνες οὐκ ὀσφραίνονται τῶν ἰχνῶν τῶν τεθνεώτων; διὰ τὸ*
ἄλλην ὀσμὴν γίνεσθαι τούτοις καὶ χρῶμα καὶ χυμόν· ἢ ὅτι τῶν τε-
θνηκότων πέπαυται ὀσμὴ ῥέουσα.

103 *Αἱ ὀδμαὶ ἐγγύθεν ἧττον εὐώδεις, ὅτι ἡ ὀδμὴ θερμότης ἐστί, τὸ*
θερμὸν κοῦφον καὶ πόρρω φερόμενον. ὅθεν καὶ τὰ ἄνθη συντριβόμενα 390
καὶ θερμαινόμενα πλείονα ἀποφορὰν ἀφιᾶσιν.

104 *Τὰ ὄζοντα κινούμενα μᾶλλον ὄζει, ὅτι ἀναπίμπλησι τὸν ἀέρα καὶ*
ἀναφέρεται πρὸς τὴν αἴσθησιν.

105 *Ὁ ναυτιασμὸς πλήρωσις· πῶς γοῦν μετ' αὐτὸν πεῖνα; ὅτι ὥσπερ ἐπὶ*
ἀφόδου κενοὶ γίνονται οἱ τόποι, πρὸ δὲ τοῦ ναυτιασμοῦ πλήρεις εἰσίν. 395

106 *Ἐν τοῖς πλοίοις ἡ ναυτία χολώδης, ἄλλοις δὲ φλεγματώδης, ὅτι ἐν*
τοῖς ἄλλοις ἔμπονος, ἐνταῦθα δὲ μετὰ φόβου, ὃς συγκινητικὸς τῶν
συμφύτων, σύμφυτον δὲ ἡ χολή, τὸ δὲ πνεῦμα ἐπιπολάζον.

108 *Ὑπέρινοι γίνονται οἱ μάλα καθαρθέντες, ὅτι εὐρωστέρα ἐστὶν ἡ*
κάτω κάθαρσις καὶ κατὰ φύσιν, ἡ δ' ἄνω παρὰ φύσιν, ὅτι καὶ τὰ πε- 400
ριττώματα κάτω ῥέπουσιν.

443ᵛ 109 | *Οἱ μέλανες καὶ λεῖοι ἢ οἱ λευκοὶ καὶ δασεῖς [γίνονται ὑπ]έρινοι,*
ὅτι ὑγρότεροι οἱ λεῖοι τῶν δασέων, ὡς καὶ γυναῖκες, καὶ οἱ μέλανες
τῶν λευκῶν ψυχρότεροι. γίνονται οὖν ὑπέρινοι μὴ μόνον ἀφαιρουμένου
τοῦ περιττώματος, ἀλλὰ συντηκομένου τοῦ σώματος. 405

110 *Μέλαιναν χολὴν καθαιρόμενοι καὶ φλέγμα πολὺ οὐ γίνονται ὑπέ-*
ρινοι, ὀλίγην δὲ ξανθήν, ὅτι ἡ μέλαινα καθαίρεται ῥᾳδίως, ἀλλ' οὐχ ἡ
τρυγώδης. τὸ δὲ φλέγμα περίττωμά ἐστιν ὃ οὐδεμίαν ἀφῄρηται ἰσχύν.

382 *δυσωδίας*² secl. Wk. ‖ **385** *ἧττον* Al.: *ἥττων* **O** ‖ **395** *πρὸ* in lin., *ος* sscr., **O** (*πρὶν δὲ ναυτιάσαι* Al.) | *πλήρεις* Al.: *-ης* **O** ‖ **396** *ἄλλως* Al. ‖ **398** *πνεῦμα*] *φλέγμα* Al. ‖ **398–399** probl. (107) om. **O** ‖ **399** *μάλα*] immo *μᾶλλον κάτω* ut Al. ‖ **402** partem evanidam ex Al. supplevi ‖ **407** *οὐχ ἡ* scripsi: *οὐχὶ* **O** ‖ **408** *ἃ* **O**: correxi (nisi *ᾧ οὐδεμία ἀφ. ἰσχύς* legendum; cf. Al.)

ἡ δὲ ξανθὴ ἐκ συστήματος τῆς κακῶς ᾠκοδομημένης σαρκός, ὥστε
410 *οὐδὲν διαφέρει πολλὴν ἀφελεῖν χολὴν καὶ σάρκας καὶ αἷμα.*

Λυγμὸς συμβαίνει καὶ ὑπερκαθαιρομένης καὶ πληρουμένης, ὅτι ἡ 111
ὑπερκάθαρσις ἀφελοῦσα τὸ ὑπέκκαυμα ψύχει, καὶ ἐὰν πλείων εἰσέλθῃ
τροφή, μαραίνει τὴν οἰκείαν θερμότητα. ὁ δὲ λυγμός ἐστιν, ὅταν
πνεῦμα ἐναπολαμβάνηται διὰ τὸ ψυχρὸν τὸ ὑγρὸν ἐν τῷ πνευματικῷ
415 *τόπῳ.*

Τὰ παιδία καὶ οἱ γέροντες ἐν ἐναντίαις τροφαῖς διάρροιαν πάσ- 112
χουσι, τὰ παιδία ὅτι ὑγρὰ τὰ σώματα αὐτῶν καὶ πυκνὰ καὶ πε-
ριττωματικά, οἱ δὲ ὅτι ψυχροί.

Καὶ τὸ πολὺ ποτὸν καὶ ὀλίγον τὰς διαρροίας ἴσχει, τὸ μὲν διὰ τὸ 113
420 *καταξηραίνειν ἅτε μικρόν, τὸ δὲ διὰ τὸ πλῆθος εἰς τὴν οὐρήθραν χω-*
ροῦν συνεπισπᾶται καὶ τὸ ἐκ τῆς κοιλίας ὑγρόν· αἷμα γὰρ κατ' ἄμφω
οὐκ εἴωθεν ὑποχωρεῖν, ἀλλ' ἐὰν ἡ κοιλία ὑποχωρῇ, ἡ οὐρήθρα ἀποξη-
ραίνεται καὶ ἀνάπαλιν.

Οἱ πίνοντες εὐτραφεῖς ὄντες ὑγρὰς τὰς κοιλίας ἔχουσιν ἢ σκληράς, 114
425 *διὸ διαρροίαις ἀποθνῄσκουσι μᾶλλον τῶν τεθραμμένων· ἔδει δ' εὐτρό-*
φους ὄντας ἐκλαμβάνειν μᾶλλον τὸ τρόφιμον, τούτου δὲ γινομένου
ξηραίνεσθαι τὰς κοιλίας αὐτῶν· ἢ ὅτι τὸ εὐτραφές ἐστιν οὐκ ἐν τῷ
πολὺ λαμβάνειν, σκληρύνεται δὲ ἡ περίττωσις, ὅταν μόλις τὰ βρώσιμα
καταβαίνωσιν εἰς τὴν κοιλίαν διὰ τὸ μὴ ταχὺ ἀπολαύειν τὸ σῶμα καὶ
430 *μὴ ἐκκρίνεσθαι τὸ χρήσιμον ἐξ αὐτῶν.*

Οἱ γλυκεῖς καὶ ἁλμυροὶ τῶν χυμῶν διαχωρητικώτεροι, ὅτι βαρεῖς 115
καὶ κατωφερεῖς τῷ μὴ κρατεῖσθαι ὑπὸ τῆς ἐν ἡμῖν θερμότητος, ἢ ὅτι
οἱ μὲν ἄλλοι ἔξω τοῦ ἐλαίου εὐδιάφοροι καὶ εὔληπτοι· τοῦτο γὰρ διὰ
κουφότητα ἄνω ἐπιπολάζει καὶ οὐ διαχωρητικόν ἐστιν.

435 *Ἅλμη καὶ ὀρὸς τὴν κοιλίαν λύουσιν, οὐ μὴν καὶ οἶνος πολύς, ὅτι* 116
τῶν μὲν ἡ ὑπόστασις εἰς κοιλίαν ἔρχεται· οὐ γὰρ εὔπεπτα ὡς ὁ οἶνος
ὃς ταχὺ πεφθεὶς διουρεῖται. τοῦ οἴνου οὖν ἡ ὑπερβολία ταὐτὸν ποιεῖ
εἰς τὴν κύστιν ὅπερ ἐκεῖνα εἰς τὴν κοιλίαν, ἀλλ' οὐκ ἄγει ὑπόστασιν
εἰς κύστιν· οὐ γὰρ ἔχει· τὰ δὲ μετὰ περιττωμάτων ἐξερχόμενα ἑπο-
440 *μένης καὶ τῆς παχείας ὑποστάσεως αὐτῆς ποιεῖ διάρροιαν.*

Ἐν τῇ κάτω καθάρσει ἢ ἐν τῇ ἄνω ὑπέρινοι γίνονται, ὅτι ἐν τῇ 117
κάτω ἐξ ἅπαντος σώματος συρρεῖ τὰ ὑποστήματα, εἰς δὲ τὴν ἄνω ἀπὸ
[τῶν] πλησίον χωρῶν καὶ τὸ ἐπιπολάζον τούτοις.

419 *τὸ*[3] Al.: *ὁ* **O** ‖ **420** *χωροῦν* Al.: *-ᾶν* **O** ‖ **422** *ὑποχωρῇ* Al.: *-εῖ* **O** ‖ **430** *μὴ* Al.: *δὴ* **O** ‖ **433** *εὔληπτοι*] *εὔσηπτοι* Al. ‖ **440** *αὐτῶν* Al. ‖ **442** *συρρεῖ*] *εὐρρεῖ* **O** ‖ **443** *τῶν* Al.: spat. vac. 3 litt. **O**

118 *Τοῖς ὑγιεινοῖς καὶ γέρουσιν αἱ κάτω καθάρσεις οὐ συμφέρουσιν, ὅτι ὑπέρινοι γίνονται, ὅτι τοῖς νοσεροῖς περίττωμά ἐστι τὰ ὑπιόντα, τοῖς* 445 *δὲ ὑγιεινοῖς [αὐτῶν τῶν εὖ] ᾠκοδομημένων γίνεται ἡ ἀφαίρεσις.*

119 *Τοῦ θέρους αἱ διάρροιαι ἢ παρὸ χειμῶνος τοῦ ὄντος ψυχροῦ, ὅτι πρὸς τὸ ἔξω ἐναντίως ἔχει τὸ ἐντός. ἐν γοῦν τῷ χειμῶνι θερμοτέρα οὖσα ἡ κοιλία πέττει ἱκανῶς, ἐν δὲ τῷ θέρει ψυχροτέρα οὖσα οὐ πέττει, ἡ δὲ διάρροια ἀπεψία ἐστίν.* 450

120 *Ἐν δὲ τῇ νυκτὶ ἀπ' ἐλάττονος καθαίρει τὰ φάρμακα ἢ ἐν τῇ ἡμέρᾳ· ἡ γὰρ σκαμωνία καθαίρει ἀπὸ ὀγδοημορίου, ἐλατήριον δὲ ἀπὸ τεταρτημορίου, διὰ τρία ταῦτα, ὑγρότητα, θερμότητα καὶ πολὺν χρόνον. ὅτι τε οἱ ὑγρότεροι μᾶλλον καθαίρονται· ὑγρὰ γὰρ ἡ κάθαρσις· τὸ γὰρ περίττωμα ἐν πλείονι χρόνῳ μᾶλλον καθαίρει. ἐν δὲ ταῖς νυξὶ* 455 *πλεῖον, διότι πέττει ὁ ὕπνος, ὥστε θᾶττον καὶ μᾶλλον αἰσθάνεται τὸ σῶμα τοῦ φαρμάκου.*

121 *Ἡ κάθαρσις φλέγμα καὶ χολὴν ἐκ τῶν φλεβῶν ἄγει εἰς τὴν κοιλίαν, αἷμα δ' οὔ, ὅτι τὸ ἀλλότριον ἄγει ἤγουν τὸ περίττωμα, τὸ αἷμα δ' οὔ, ὅτι παχύτερον, ὅταν ψυχθῇ καὶ παγῇ.* 460

122 *Μετὰ τὰ γυμνάσια καὶ φάρμακα οὐ προσφέρομεν παραυτίκα τροφήν, ὅτι ἡ μεταβολὴ ἡ ἀθρόα ἀσύμφορον, ἤγουν μετὰ κένωσιν πλήρωσις.*

124 *Τοῦ θέρους γίνεται μᾶλλον χολὴ τῶν περιττωμάτων ἐλαττόνων ὄντων, ὅτι τὸ θερμὸν σηπτικόν, ἡ δὲ χολὴ ἐκ σήψεως.* 465

125 *Οἱ χυλοὶ διαφορητικώτεροι ἢ μετὰ τῶν φύλλων καὶ ῥιζῶν καὶ καρπῶν, ὅτι ἐξῆκται δι' αὐτῶν τὸ θερμὸν εἰς τὸ ὑγρόν· διὸ οἱ μὲν ἰσχυροὶ καθαίρουσι τὰς κοιλίας, οἱ δ' ἀσθενεῖς λύουσι, καὶ οἱ ὀποὶ τῶν φαρμάκων μᾶλλον καθαίρουσι τῶν ῥιζῶν καὶ καρπῶν.*

126 *Ὁ λευκὸς καὶ μέλας ἐλλέβορος καθαίρει ἐναντίως, ὅτι θερμὰ τὰ* 470 *καθαίροντα. βαρὺς οὖν καὶ πυκνὸς ὁ μέλας καὶ καθαίρει κάτω, ὁ δὲ λευκὸς τοὐναντίον καὶ καθαίρει ἄνω.*

127 *Τῶν τετραπόδων οὐδὲν ἀπὸ ὑστέρας πνίγεται ζωοτοκοῦντα, ὅτι μεγάλων ὄντων τῶν ἄνω πρὸς τοῖς αἰδοίοις ἡ ὑστέρα ἐστὶ πᾶσι· διὰ δὲ τὸ πολὺ ἀπέχειν οὐκ ἀναβαίνουσιν ἄνω καὶ διὰ τοῦτο οὐκ ἀπολαμβά-* 475 *νουσι πνεῦμα.*

128 *Τὰ πιαινόμενα τῶν αἱρῶν ὠμῇ λύσει μᾶλλον πιαίνεται διὰ τὸ τὴν*

445 *ὑπιόντα* Al.: *ὑπιέντα* **O** || **446** *αὐτῶν τῶν εὖ* Al.: spat. 7–8 litt. reliquit **O** || **447** *ἡ* redundat || **466** *ἢ* Al.: *ὁ* **O** || **467** *δι'*] aliter Al. || **471** *οὖν*] an *ὢν* legendum? || **477** *αἱρῶν* Hansen: *ἀέρων* **O**

μίξιν ἔχειν τινὰ λόγον, ἢ διότι αἱ αἶραι βαρὺ ἔδεσμα καρωτικὸν καὶ ὑπνοποιόν, ὁ δὲ ὕπνος πιαίνει μάλιστα.

480 *Τῶν βοῶν ἡ κόπρος ἥκιστα δυσώδης ὡς μὴ χρονίζουσα τῇ κοιλίᾳ, ὅτι πέττει βοῦς μάλιστα ὡς μάλιστα μηρυκάζων ἢ ὅτι ἁπλῆ ἡ τροφή, ἄχυρα γάρ.* 129

Τὰ Λιβυκὰ θηρία θέρους οὐ πίνει, ὅτι οὐκ ἔχει ὕδωρ, τοῦ δὲ χειμῶνος ἔχει· ὃ οὖν εἴθισται καὶ ποιεῖ. 130

485 *Τὰ ἄγρια θηρία μονόχροα ὡς ἁπλοδίαιτα· αἱ γὰρ ταραχώδεις διαθέσεις χρωματίζουσι τὰ σώματα.* 132

Τοῖς τετράποσιν οἱ πυροὶ δυσδιαχωρητότεροι τῶν κριθῶν διὰ τοὺς ἐχίνους· ταχὺ γὰρ λεπτυνόμενον τὸ ἄχυρον αὐτῶν ἔχεται ἐν τοῖς ἐχίνοις διὰ τὴν τραχύτητα αὐτῶν, τῶν δὲ κριθῶν ἅμα συμπέττεται διὰ τὸ 490 *χρονίζειν.* 133

Τὰ μονόνυχα γηράσκοντα αὔξει τοὺς ὀδόντας διὰ τὸ μὴ ἔχειν κέρατα καὶ ὅτι ἡ χρῆσις ὀλίγη ὑφ' ἧς τρέφονται καὶ παραλλάσσουσι τὰς σιαγόνας. 134

Τὰ δὲ τοιαῦτα οὔτε δασυπώγωνα οὔτε δασυβλέφαρα, ὅτι ὑγρότης 495 *καταναλίσκεται τῇ χαίτῃ.* 135

Τὰ μονόνυχα οὐκ αὐξάνονται τὸ ἀπὸ τῆς ὁπλῆς ἄνωθεν, ἀλλὰ μένει ἕως τοῦ γόνατος τοῦ ὀπισθίου καὶ τοῦ ἐμπροσθίου σκέλους. οἱ δ' ἄνθρωποι τοὐναντίον ἐπὶ τὰ κάτω αὐξάνονται, ὅτι τοῖς μὲν δι' ὀρθοῦ πορευομένοις τὰ κάτω αὐξάνειν ἀνάγκη· τὰ δὲ τετράποδα τοὐναντίον 500 *ὄντα ἄνω αὐξάνεσθαι ἀνάγκη.* 136

Τὰ μονόνυχα τὸ ῥέον ὕδωρ πίνει ὡς τὸ γλυκὺ ἀγαπῶντα, τὰ δὲ δίχηλα, ὡς οἱ βόες, τὰ ὑφιστάμενα ὡς χαίροντα τοῖς ἁλμυροῖς. 137

Ὕες πιαινόμενοι δυσριγότεροι, ὅτι καὶ οἱ ἄνθρωποι ⟨***⟩ *πόρρω γινόμενοι τοῦ οἰκείου θερμοῦ, τὰ δὲ εὔψυκτα ταχὺ αἰσθάνονται τοῦ ψύ-* 505 *χους.* 138

Ὁ χαλάζησις τοῖς χοίροις, τοῦτο ἴονθοι τοῖς ἀνθρώποις, τοῖς μὲν ἀνθρώποις διὰ τὴν λεπτότητα τοῦ αἵματος, τοῖς δὲ ὑσὶ διὰ τὴν εὐτροφίαν. χαλαζώδεις δέ εἰσι οἱ ὑγρόσαρκοι. χαλάζωσις δὲ οὔτε παιδίοις οὐδὲ γέρουσιν, ἀλλὰ νέοις· τὸ αὐτὸ καὶ ἐπὶ τοῖς χοίροις. 139

510 *Οἱ ὕες μᾶλλον ἀφρίζουσιν, ὅτι στενοί εἰσι τὸν βρόγχον – δῆλον ἐκ τῆς φωνῆς – καὶ πίονες, καὶ πυκνὸν οὖν τὸ πνεῦμα ὂν καὶ πολὺ δι'* 140

483 sq. *τὸν δὲ χειμῶνα* **O**: correxi ‖ **484–485** probl. (131) om. **O** ‖ **487** *πυροὶ* Al.: *πυρροὶ* **O** ‖ **492** *τρέφονται* Al.: *στρέφονται* **O** ‖ **498** *πορευόμενοι* **O**: correxi ‖ **499** *τὰ … ἀνάγκη* Al.: *αἱ … ἀνάγκαι* **O** ‖ **503** ante *πόρρω* exciderunt aliqua, cf. Al. ‖ **506** *ἴονθοι* Al.: *οἱ ὄνθοι* ut vid. p. c. **O** ‖ **507** *αἵματος*] *δέρματος* Al.

ὀλίγου ἐρχόμενον ὡς ὑγρῷ σιάλῳ θερμαινόμενον διὰ τὸ στενόπορον ἀσθμαίνει. ἀφρὸς δέ ἐστι πνεύματος πυκνοῦ ἄνοδος ἐν ὑγρῷ, καὶ ἐν τοῖς ἐπιληπτικοῖς κατεχόμενον τὸ πνεῦμα ἐν τῷ πνεύμονι πνιγόμενον ἀνάγει βίᾳ τὸ ὑγρόν, ὅθεν τὸ πνεῦμα γίνεται πυκνόν, τὸ πάχος διὰ 515 *τὴν στενότητα ποιεῖ πνιγμόν, οὗτος ἀφρόν.*

141 *Ἐάν τις προχέῃ ὄξος εἰς τὰ αἰδοῖα τῶν ὑηνῶν, λήγουσι μικρὸν τῆς κάπρης, ὅτι ὁ δάκνων πόνος ἐκκόπτει τὴν ἐπιθυμίαν ἢ τὴν θερμότητα· ψυχρὸν γὰρ ὂν τὸ ὄξος κόπτει καὶ σβέννυσι.*

142 *Τὰ ἄλλα τετράποδα ἐκβάλλουσιν ὀδόντας καὶ ἄνθρωπος περὶ ἑπ-* 520 *τάμηνον, ὗς δὲ οὔ, ὅτι πλατὺ ῥύγχος ἔχει καὶ ἰσχυρόν, τοὺς ἐμπροσθίους δὲ ὀδόντας οὐ πονεῖ, ὅτι τῷ ῥύγχει ἐργάζεται.*

143 *Ἡ ὗς ὀχευθεῖσα ἀφρίζει, ὅτι στενὸν τὸν φάρυγγα καὶ τὰς σύριγγας ἔχει, διὸ καὶ ὥσπερ πνιγομένης αὐτῆς ἡ φωνή ἐστιν. ἐν γοῦν τῇ ὀχείᾳ διὰ στενῶν ἐπανίῃσι τῶν πόρων καὶ μεθ' ὑγρότητος ἀφρὸς γίνεται.* 525

144 *Αἱ ἄγριαι ὕες ἔλαττον τίκτουσι τῶν ἡμέρων, ἤγουν ἐκεῖναι μὲν ἑπτά, αἱ δὲ τρισκαίδεκα διὰ τὴν εὐπορίαν τῆς τροφῆς αἱ ἥμεροι καὶ τὴν ἀλέαν τῶν τόπων.*

145 *Ἄρρενες ὕες ἄγριοι πολλοί, κάπροι δ' ὀλίγοι, ὅτι κνησμὸς νέοις οὖσιν ἐμπίπτει εἰς τοὺς ὄρχεις διὰ μέγεθος· ξυόμενοι γοῦν πρὸς τὰ δέν-* 530 *δρα ἐκφεύγουσι καὶ γίνονται οὓς καλοῦσι χλούνας.*

146 *Αἱ ὕες πιαινόμεναι λειποτριχοῦσιν, ὅτι σαρκοῦνται καὶ πέττουσι πλέον καὶ ἔλαττον ἔχουσι περίττωμα κἀντεῦθεν λειποτριχοῦσιν.*

147 *Οἱ ἄγριοι πάντως ὕες μέλανες ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ἐν τοῖς ἕλεσιν εἶναι καὶ ὑπὸ τοῦ βορβόρου μελαίνεσθαι· ὅτι δὲ βάπτει ὁ βόρ-* 535 *βορος, δῆλον· καὶ γὰρ καὶ βακτηρίαι λευκαὶ οὖσαι κατορυττόμεναι εἰς αὐτὸν μελαίνονται.*

444r 148 | *Αἱ ὕες ἐὰν μὴ φθέγγωνται θηλαζόμεναι οὐ προΐενται γάλα, ὅτι ἀποβιάζονται τῷ πνεύματι πάντα καὶ φθέγγεται κατέχοντα τὸ πνεῦμα· τὸ δὲ τῆς ὑὸς γάλα οὐ ῥᾳδίως ἐκκρίνεται· ὀλίγον γὰρ ὂν εἰς πολλοὺς* 540 *διέσπασται μαστούς, καὶ κατὰ τὴν ἔξοδον δεῖται βίας.*

149 *Τῆς ὑὸς οἱ πρῶτοι μαστοὶ εὔκρατοι καὶ ὁ γεννηθεὶς εἰς τὸν πρῶτον ὁρμᾷ, ὅτι θερμότατος ὁ τόπος περὶ τὰ στήθη καὶ ἕλκεται πλείστην τροφὴν καὶ πλεῖον γεννᾷ γάλα, ἢ ὅτι οὗτος ὁ τόπος καθαρώτερον αἷμα ἔχει· ἐνταῦθα γὰρ αὐτοῦ ἡ ἀρχή, ὅθεν καὶ τὸ γάλα ἄριστον.* 545

517 *προχέει* **O**: sec. Al. (*προσχέῃ*) scripsi ‖ 517 sq. *τῆς κάπρης* Al.: *τοῖς κάπροις* (?) **O** ‖ 520 *ἑπτάμηνον* Al.: *ἑπτὰ μηνῶν* **O** ‖ 523 *ὀχευθεῖσα* Al.: *ὀχουθεῖσα* **O** ‖ 526 *ἐκεῖνα* **O**: correxi ‖ 530 *ὄρχεις* Al.: *νέους* **O** ‖ 538 *Αἱ* Al.: *οἱ* **O** | *φθέγγωνται* Al.: *-ονται* **O** | *προΐενται* Al.: *προίονται* **O** ‖ 542 *οἱ* Al.: *ἡ* **O**

Ἡ ὗς χαίρει τοῖς δυσώδεσι διὰ τὸ πλατύρυγχον καὶ οὐκ αἰσθητικὸν 150
τῆς ὀσφρήσεως· τοῦτο δὲ πάσχουσι καὶ σκυτοδέψαι καὶ κοπρολόγοι.
Αἱ θήλειαι τῶν ἀρρένων δειλότεροι ἐκτὸς ἄρκτου καὶ παρδάλεως. 151
Χαλαζωθεῖσαι ὕες οὐ παχύνονται, ὅτι περίττωμα γίνεται αὐταῖς 152
550 *πολύ· αἱ γὰρ χάλαζαι ἐκ περιττωμάτων, πιαίνεται δὲ τὸ ἀπολαῦον*
μᾶλλον τροφῆς.
Αἱ ὕες ὕπτιαι φερόμεναι σιγῶσιν, ὅτι οὐκ ἰσχύουσιν οὕτω φερόμεναι 153
φθέγγεσθαι μετ' ἰσχύος· φύσει δέ τινες τούτων καὶ ἄφωνοι.
Αἱ ὕες ἀφοδεύουσι πρότερον, εἶτα οὐροῦσιν, ὅτι πεπτικαὶ αἱ κοιλίαι 154
555 *αὐτῶν· τοῦτο καὶ ἐπὶ ἀνθρώπων.*
Αἱ ἄγριαι ὕες ἅπαξ τίκτουσιν, αἱ δὲ ἥμεραι δὶς διὰ τὴν καλὴν δίαι- 155
ταν· διὰ τοῦτο πλεονάκις καὶ τὰ πρόβατα τίκτουσιν.
Οἱ ἄτμητοι τῶν τομιῶν μείζους ἔχουσι τοὺς χαυλιόδοντας, ὅτι μετα- 157
βάλλουσιν εἰς τὸ θῆλυ τὴν φύσιν οἱ τομίαι.
560 *Τοῖς ὑσὶν οἱ χαυλιόδοντες γίνονται μεγάλοι, ὅτι οὐ τριβόμενοι αὐξά-* 158
νονται ἢ ὅτι ὡς τοῖς ἄλλοις κέρας, ἑτέροις δ' ὄνυχας, τούτοις ἡ φύσις
ὀδόντας δέδωκε. σημεῖον δ' ὅτι οἱ χαυλιόδοντες ἀντὶ κεράτων εἰσί· καὶ
γὰρ οἱ τῶν ἐλεφάντων λεγόμενοι ὀδόντες οὔκ εἰσιν ὀδόντες, ἀλλὰ κέ-
ρατα.
565 *Φρίττουσί ποτε ὕες ὅταν θηρῶνται, ὅτι τῶν ἀγωνιώντων τὸ σῶμα* 159
συστέλλεται βοηθεῖν αὕται.
Τῶν προβάτων τὰ λεπτότερα λεπτοτριχώτερα, τῶν δὲ ὑῶν ⟨αἱ⟩ λεπτό- 160
τεραι τοὐναντίον, ὅτι διὰ τὸ φύσει εἶναι παχὺ ἐμπίπλαται τοὺς πόρους
δι' ὧν ἐκπίπτουσιν αἱ τρίχες· τὰ δὲ πρόβατα διὰ ⟨τὸ⟩ πλείονα τροφὴν
570 *ἔχειν, ὅταν ᾖ παχέα, καὶ πλείονα τρίχα ἔχουσι καὶ παχυτέραν, ὅταν*
λεπτά, λεπτάς· ἡ γὰρ θρὶξ περίττωμά ἐστι.

Τὸ μέλι τοῖς ἰκτεριῶσι πικρὸν διὰ τὴν πλεονάζουσαν αὐτοῖς χολὴν 101
ἐν παντὶ τῷ σώματι καὶ ἐν τῇ γλώττῃ. τὸ οὖν μέλι ἐσθιόμενον τὸν
ἡσυχάζοντα χυμὸν κινεῖ, οὗ ἡ γεῦσις ἀντιλαμβανομένη φαντασίαν
575 *ποιεῖ τοῦ νομίζεσθαι τὸ μέλι πικρόν.*
Ἐπὶ τῶν ὀργιζομένων πολλάκις οἱ ὀφθαλμοὶ πυρροὶ διὰ τὴν κίνησιν 102

572–802 Al. Probl. I 101–152

552 *σιγῶσιν* Al.: *γιγῶσι* **O** ‖ 566 *αὗται*] aliter codd. Al. ‖ 567 *αἱ λεπτότεραι* sec. Al. scripsi: *λεπτότερ( )* **O** ‖ 569 *τὸ* Al.: om. **O** ‖ 570 *τρίχα* Al.: *τριχῶν* **O** ‖ 576 *πυροὶ* **O**: correxi (nisi *πυροῦσι* legendum est)

τοῦ αἵματος ⟨τοῦ⟩ λεπτομεροῦς καὶ θερμοῦ πνεύματος, ἃ ἀνώφορα γίνονται καὶ πυροῦσιν ὀφθαλμούς τε καὶ πρόσωπα.

103 *Τὸ ὕδωρ ἐπιρραινόμενον τοῖς ὄφεσιν ἐκδιώκει αὐτούς, ὅτι νευρώδεις εἰσὶ καὶ ψυχροὶ καὶ φεύγου[σι τὸ] πολὺ ψῦχος. ὅθεν κατὰ μὲν τὸν χει-* 580 *μῶνα τὰ βάθη τῆς γῆς ζητοῦσιν ὡς θερμότερα, τῷ δὲ θέρει τοῦ τῆς γῆς βάθους ψυχροῦ γενομένου μετιέναι τοὺς θερμοὺς τόπους.*

104 *Τὰ ᾠὰ ὀπτώμενα ῥήγνυνται διὰ τὴν ἄκραν ἔκκαυσιν, ἥτις ἐξατμίζει τὴν τοῦ ᾠοῦ ὑγρότητα σπεύδουσαν πρὸς διέξοδον κἀντεῦθεν τὸ ᾠὸν ῥηγνύουσαν, ἢ διὰ τὴν ὑπερόπτησιν, ὥσπερ δὴ συμβαίνει καὶ εἰς τοὺς* 585 *ὑπεροπτωμένους κεράμους. τὰ ᾠὰ ἐκζεννύμενα οὐ ῥήγνυνται, διότι τὸ θερμὸν ὕδωρ κατ' ὀλίγον διαφορεῖ τὰ ὑγρά.*

105 *Ἐν τῇ συναφῇ τινες μύουσι τοὺς ὀφθαλμούς, ὅτι νικῶνται ὑπὸ τοῦ πάθους καὶ πλείονα ἀντίληψιν τούτου ἐργάζονται τῶν ὀφθαλμῶν μὴ μετεωριζομένων ἔξω.* 590

106 *Ἔνια τῶν μονοειδῶν ἔχει τὰ ἐναντία, ὡς ὄξος θερμαίνει καὶ ψύχει καὶ ἡ μαστίχη ῥύπτει καὶ διαφορεῖ καὶ τονοῖ. τὰ ἄτομα τῆς μαστίχης κατὰ παράθεσιν καὶ οὐ κρᾶσιν, ὡς ψάμμος πολλὴ οὖσα τῷ ὕδατι οἷον ἓν γίνεται. οὐ ξένον οὖν, ἐὰν ἄλλοις καὶ ἄλλοις μέρεσι τὰ ἐναντία κρύπτεται καὶ οὐ κεραννύονται πρὸς ἑαυτάς, τῆς φύσεως ἐπὶ τούτων* 595 *τῶν σωμάτων τοιοῦτον νόμον ὑποθεμένης.*

107 *Ἰστέον ὡς ἡ φύσις προνοουμένη τοῦ σώματος εἴωθε προστρέχειν τοῖς ὀδυνωμένοις μορίοις, συνεργῷ χρωμένη τῷ αἵματι. ἐὰν γοῦν προσπαίσῃ ὁ δάκτυλος τοῦ ποδός, βουβὼν τούτῳ ἀνίσταται τῇ συνδρομῇ τοῦ αἵματος.* 600

108 *Τὰ ὄρνεα οὐκ οὐροῦσιν οὐδὲ νεφροὺς ἔχουσιν, ὅτι τὸ ὑγρὸν ἀναλίσκουσι τῇ τε πτήσει καὶ τῇ τῶν πτερῶν ἐκφύσει· ἔκτοτε καὶ ἡ κόπρος σὺν ὑγρότητι ἐξέρχεται.*

109 *Τὰ παιδία ἐν τῇ οὐρηδόχῳ κύστει τίκτει τοὺς λίθους ὡς μικροὺς ἔχοντα τοὺς νεφροὺς καὶ μὴ δυναμένους δέξασθαι τὸν γεώδη λιθο-* 605 *ποιὸν χυμόν, ἐπὶ δὲ τῶν γερόντων ἀραιόποροι ὄντες οἱ νεφροὶ παρέχουσι χώραν καὶ τῷ οὔρῳ πρὸς ἔξοδον καὶ τῷ γεώδει χυμῷ πρὸς ὑφίζησιν τῆς πήξεως τοῦ λίθου.*

110 *Ὁ λίθος ἐν μὲν τοῖς παιδίοις γεννᾶται διὰ θερμότητα, ἐν δὲ τοῖς γέρουσι διὰ ψυχρότητα· τῇ ἄγαν ἐκκαύσει καιόμενος ὁ λίθος συν-* 610

577 *τοῦ λεπτομεροῦς καὶ* temptavi: *καὶ λεπτομερῶς* **O** | *ἀνωφόρους* **O**: correxi || **580** litteras evan. supplevi || **581** *θερμότεροι* **O**: correxi || **592** *ῥύπτει* Al.: *ῥίπτει* **O** | *τονοῖ* Al.: *-εῖ* **O** | *μαστίχους* **O**: correxi || **594** post *ἐὰν* fort. excidit *ἐν* || **599** exspectaveris *προσπταίσῃ*, ut Al. || **610** *καιόμενοι* **O**: correxi

τριβόμενος εἰς ψαμμία ἀποτελεῖται, ὡς ἐπὶ τῶν κεράμων ὧν τῇ ἐκκαύσει ἀπογεννᾶται ψαμμία. ἔστιν ὅτε ψυχροῦ πόσει ὁ λίθος εὐχερῶς ἐξουρεῖται τῶν νεφρῶν τονωθέντων τῇ ἄγαν ῥώσει.

Τὰ ἐν νεφροῖς καὶ κύστει ἕλκη δυσίατα, διότι τὸ οὖρον δριμὺ ὂν 111
615 *ἀναξαίνει τὴν ἀπὸ τῶν βοηθημάτων ἀπούλωσιν γινομένην. καὶ μᾶλλον τὰ ἐν κύστει ἀνίατα διὰ τὸ καὶ παραμένειν αὐτόθι τὸ οὖρον, ἐν δὲ τοῖς νεφροῖς διαβαίνειν.*

*⟨***⟩ πάντα τὰ ἐν γενέσει ποιοῦντα καὶ πάσχει ⟨***⟩.* 112

Εἰ πᾶν τὸ κινούμενον θερμότερον ἑαυτοῦ γίνεται, ὁ ἀὴρ τῷ θέρει 113
620 *κινούμενος διὰ ῥιπίδος πῶς ψύχεται; ὁ ἀὴρ τῷ θέρει θερμαίνων ἡμᾶς πλειόνως ἀντιθερμαίνεται, ὡς τὰ λινᾶ ἱμάτια καὶ λεπτὰ θερμαινόμενα ἀντιθερμαίνουσι. δῆλον τοίνυν ὡς ἐν τῇ ῥιπίσει μετακινούμενος ὁ ὑφ' ἡμῶν θερμανθεὶς ἀὴρ ψυχρὸς φαίνεται.*

Τὰ γινόμενα ἐν τῇ κόρῃ τοῦ ὀφθαλμοῦ καὶ ἀπουλούμενα ἕλκη 114
625 *λευκὰ φαίνονται, τὰ δὲ ἐκτὸς ἐν τῷ μέλανι οὐκέτι, ὅτι διὰ τῆς κόρης μόνης ἔξεισι τὸ ὀπτικὸν πνεῦμα διαυγέστατον ὂν καὶ φωτοειδές. ἐν οὖν τοῖς λευκώμασι τῆς οὐλῆς πυκνωσάσης τοὺς πόρους τοῦ κερατοειδοῦς χιτῶνος οὐκέτι τὸ ὀπτικὸν πνεῦμα διέξεισι καὶ λοιπὸν συναγόμενον τῷ πλήθει καὶ καταλάμπον τὴν οὐλὴν λευκὴν ἀποδείκνυσι.*
630 *τῷ δὲ μὴ ἐξιέναι κατὰ τὴν πύκνωσιν τῆς ὄψεως τὸ πνεῦμα οὐδὲ ὁρῶσι.*

Τὰ ἄχυρα καὶ θερμὸν ὕδωρ φυλάττουσι καὶ χιόνα, διότι ἡ φύσις 115
τῶν ἀχύρων ἄποιός ἐστι καὶ συμμεταβάλλεται οἷς ἂν ὁμιλήσῃ. θερμανθέντα τοίνυν ὑπὸ τοῦ θερμοῦ ἀντιθερμαίνουσιν αὐτὸ καὶ ψυγέντα ἀν-
635 *τιψύχουσιν, ὥσπερ καὶ ὁ κηρὸς καὶ τὸ ἔλαιον ἄποια τυγχάνοντα συμμεταβάλλεται τῇ ποιότητι τῶν σὺν αὐτοῖς μιγνυμένων.*

Ἐν χειμῶνι τοῦ ὑετοῦ παυσαμένου τὰ ἄστρα ἡμῖν φαιδρότερα φαί- 116
νονται, ὅτι ὁ περιέχων ἡμᾶς ἀὴρ ἀπὸ τῆς κινήσεως λεπτυνόμενος καὶ σμηχόμενος καθαρωτέραν ἀντίληψιν τῶν ἀστρῴων σωμάτων ἡμῖν
640 *δίδωσιν, ὅτι καὶ ἐν διαυγέσιν ὕδασι φαιδρότερα ἡμῖν φαίνεται τὰ ὑποκείμενα σώματα ἢ ἐν παχέσιν.*

Ἐν τῷ οὐρεῖν φρίκη γίνεται πολλάκις, ὅτι χολὴ δριμεῖα συρρέουσα 117
δάκνει τὴν οὐρηδόχον κύστιν καὶ πᾶν τὸ σῶμα διεγείρει πρὸς συμπάθειαν τοῦ μορίου. τοῦτο δὲ πάσχουσι παῖδες ὡς διὰ τὴν ἀδηφαγίαν
645 *περιττωματικώτεροι.*

611 *κεράμων* Al.: *κεράτων* **O** || **612** *ψαμμίων* **O**: correxi || **615** *ἀπούλωσιν* Al.: *ἀπόγνωσιν* **O** || **618** pleraque perierunt vel omissa sunt || **623** *ἡμῶν* Al.: *ἡμῖν* **O** || **626** *ὂν* Al.: *ἂν* **O** || **627** *τῆς οὐλῆς* Al.: *τοῖς ὅλης* **O** || **630** *ἐξιέναι* Al.: *ἐξεῖναι* **O**

118 *Διὰ τοῦτο ἐν νυκτὶ αἱ ὀδύναι σφοδρύνονται, ὅτι ἡ ψυχὴ πνοῇ καὶ λογισμῷ μόνῳ σχολάζει κατὰ τὴν νύκτα, ταῖς δ' ἄλλαις ἀργεῖ. ὅθεν καὶ μὴ ἔχουσα ἔξωθέν τι μᾶλλον παρακινεῖται πρὸς τὰς τοῦ σώματος ὀδύνας. δῆλον δὲ τοῦτο ὅτι καὶ φίλων παραστάσει ᾗ ἀσχολεῖται ψυχὴ ὀδύνη ἀναπαύεται, ὡσαύτως καὶ ἐπὶ διηγήσει καὶ ἄλλῃ ὁμιλίᾳ. ἰστέον* 650 *ὡς ἡ φύσις τὰς ἐνεργείας αὐτῆς ἐλάττους ποιεῖ κατὰ τὴν ἡμέραν, ἤγουν πέψιν, ἐξαιμάτωσιν, θρέψιν, ὁμοίωσιν, ἡ δὲ ψυχὴ τὰς ε' αἰσθήσεις καὶ κινήσεις καὶ φαντασίαν καὶ λογισμὸν καὶ μνήμην μείζονας, ἐν δὲ τῇ νυκτὶ τοὐναντίον.*

120 *Τὰ βρέφη πίπτοντα κατὰ γῆς οὐ κλᾶται διὰ τὸ εἴ[κ]ειν τῷ ἐδάφει* 655 *τῆς γῆς, ἐπεὶ καὶ σπόγγος οὐ ῥήγνυται, ἀλλ' ὄστρακον, καὶ κάλαμος ἀνέμου βίᾳ οὐ πίπτει, ἀλλὰ δρῦς.*

121 *Τὰ βρέφη μέλους ἀκούοντα κλαυθμυρίζοντα ἡσυχάζει, εἶτα καὶ καθεύδει. συνουσίωται καὶ ἡ μουσικὴ ὡς καὶ πᾶσα τέχνη καὶ ἐπιστήμη τῇ ψυχῇ, ἐπειδὴ καὶ Πλάτων τὰς ἐπιστήμας ἀναμνήσεις εἶπε ψυχῆς. ἀκού-* 660 *⟨σα⟩σα τοίνυν ἡ ψυχὴ τοῦ μέλους, ἀμόλυντος οὖσα καὶ τὰς ἐπιστήμας εἰλικρινεῖς ἔχουσα, δέχεται τοῦτο, μολυνθεῖσα δὲ ἐν τῷ σώματι εἰς λήθην τούτων ἔρχεται.*

122 *Τὰ βρέφη περὶ τῶν τροφῶν κινούμενα ὑπνοῖ τῶν χυμῶν χεομένων ἐπὶ τὸν ἐγκέφαλον. τέλειοι τοῦτο οὐκ ἀνέχονται.* 665

123 *Τινὲς τῶν μεθυόντων διπλᾶ βλέπουσιν· οἱ μύες ⟨τῶν⟩ ὀφθαλμῶν ὑπὸ τῆς πολλῆς ὑγρότητος πληρούμενοι καὶ χαλαροὶ γινόμενοι διαστρέφουσι τοὺς ὀφθαλμούς, τὸν μὲν ἄνω, τὸν δὲ κάτω· καὶ οὕτως αἱ ἀκτῖνες αὐτῶν οὐ τῷ αὐτῷ τόπῳ βάλλουσι, ἀλλ' ἐν διαφόροις σώμασι, διὸ καὶ διπλῆν ὄψιν ἀπεργάζεται. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν τῷ δα-* 670 *κτύλῳ τὸν ἕτερον τῶν ὀφθαλμῶν θλιβόντων καὶ ὠθούντων ἐπὶ τὰ ἄνω καὶ διπλᾶ αὐτῶν ἀναγκαζόντων ὁρᾶν.*

124 *Οἱ ἐκ φύσεως στραβοὶ οὐχ ὁρῶσι διττῶς, ὅτι οὐκ ἔχουσι παρατροπὴν ἄνω καὶ κάτω, ἀλλ' ἢ δεξιὰ ἢ ἀριστερὰ καὶ ἐπ' εὐθείᾳ θέσει, καὶ οὕτως αἱ δύο ἀκτῖνες εἰς μίαν σώματος ἀντίληψιν πίπτουσι.* 675

125 *Τὰ ἡβάσκοντα παιδία τραγᾷ περὶ τεσσαρεσκαιδέκατον ἔτος – τραγᾶν δέ ἐστι τὸ τραχέως φωνεῖν ὡς οἱ τράγοι –, ὅτι ἐς τὴν τοιαύτην*

660 Pl. Phaed. 72 e 5–6

646 *ὀδύναι* Al.: *ὀδύνες* **O** || **651** *ταῖς ἐνεργείαις αὐτῆς ἔλαττον* **O**: corr. Wk. || **654–655** probl. (119) om. **O** || **655** *εἴκειν* sec. Al. supplevi: spat. vac. 1 litt. **O** || **661** *ἀκούσασα* Al.: *ἀκοῦσα* **O** || **662** *εἰλικρινεῖς* Al.: *εἰλικνινεῖς* **O** || **664** *ὑπνεῖ* **O**: correxi || **666** *τῶν ὀφθαλμῶν* Al.: *ὀφθαλμοῖς* **O**

ἡλικίαν ἀθρόα γίνεται αὔξησις τῆς ἡλ⟨ικ⟩ίας τῶν ἀνθρώπων· γυναιξὶ μὲν μαστοὶ πρὸς ὑποδοχὴν γάλακτος, ἰσχία δι' ὑποδοχὴν παιδός, τοῖς
680 *ἀνδράσιν στῆθος καὶ ὦμοι διὰ τὰ βάρη καὶ ἐντεῦθεν καὶ τραχείας ἀρτηρίας | εὐρύτης, κἀκ ταύτης τὸ τραγᾶν. οἱ ῥευματισθέντες τὴν φωνὴν* 444ᵛ
ἀνώμαλον ἔχουσι διὰ τὴν ῥεύσασαν ὑγρότητα τῷ λείῳ ὑμένι τῆς ἀρτηρίας καὶ πληρώσασαν αὐτόν.

Τὸ ἔλαιον ἔμετον πινόμενον κινεῖ καὶ μᾶλλον τοῖς ξανθοχολικοῖς ὡς 126
685 *ἀνωφερὲς καὶ μετεωρίζον τὰς τροφὰς ἐπὶ τὸν στόμαχον· ὃς βαρυνόμενος ἐπεγείρει τὴν ἀποκριτικὴν δύναμιν εἰς ἔμετον, μάλιστα δὲ τῇ ξανθῇ χολῇ ὡς λεπτομερεῖ καὶ ἐπὶ τὰ ἄνω νευούσῃ.*

Τὸ ἔλαιον οὐ μίγνυταί τισιν ὡς ἡνωμένον καὶ μὴ δυνάμενον τέμνε- 127
σθαι εἰς ἄτομα, ὅθεν οὐδὲ χεομένου θᾶττον εἰσδῦναι τῇ γῇ.

690 *Τὸ ἔλαιον ἄποιον ὂν καὶ μάλα εὔκρατον ταχέως ψύχεται καὶ οὕτως* 128
ὡς καὶ ψύχεσθαι τῇ ἄκρᾳ ψύξει, τὸ ὕδωρ ὡς αὐτόθεν ψυχρόν, ὁ γάρος δὲ οὐχὶ ὡς λεπτομερὴς καὶ θερμὸς καὶ ὁ οἶνος, τὸ δὲ ὄξος ὡς λεπτομερέστερον οὐχ ὑπομένει ψῦξιν.

Πῶς τὰ ἐναντία τὸ αὐτὸ δρῶσι; ψύχει γὰρ καὶ ψυχρότης καὶ 129
695 *θέρμη, ἀλλὰ κατὰ ἄλλο καὶ ἄλλο· τὸ γὰρ θερμὸν ὡς ἐπὶ τῶν λίθων κύστιδος τῷ δαπανᾶν {πᾶν} τὴν πολλὴν ὑγρότητα, ⟨***⟩ τῷ τῇ πυκνότητι πιλοῦν καὶ ἐκθλίβειν τὴν αὐχμώδη ὑγρότητα, ὡς σπόγγος θλιβόμενος τὸ ἐν τοῖς σπόγγοις ὕδωρ ἀποβάλλει.*

Διὰ τί πολλάκις ῥῖγος ἐπαύσατο κ⟨τ⟩ύπου γινομένου; διότι πολλάκις 130
700 *τῶν χυμῶν χρόνῳ πεφθέντων καὶ λεπτυνθέντων ἡ φυσικὴ θερμότης ἀθρόως διὰ τὸν κτύπον ἐς βάθος φεύγουσα τὸν νοσώδη χυμὸν ἀναλίσκει· τοῦτο ποιεῖ καὶ θηριακὴ καὶ ἄλλα θερμὰ εὐκαίρως καὶ μετὰ πέψιν διδόμενα.*

Τὰ ὑέλινα κάτοπτρα σφόδρα λάμπουσιν, ὅτι ἔνδοθεν αὐτὰ χρίουσι 132
705 *κασσιτέρῳ, ᾧ ὁ ὕελος πλέον διαυγάζεται· ὁ κασσίτερος γὰρ τὰς ἰδίας ἀκτῖνας διὰ τῶν πόρων τῆς ὑέλου παραπέμπουσα διπλασιάζει τὸ ἐπιπολῆς.*

Ὁρῶμεν ἑαυτοὺς ἐν τοῖς κατόπτροις καὶ διαφανέσιν, ὅτι ἡ τῆς 133
ὄψεως ποιότης ἀπιοῦσα πρὸς τὰ λαμπρὰ σώματα πάλιν ⟨κατ'⟩ ἀντ-
710 *ανάκλασιν ἔρχεται διὰ τῶν ἀκτίνων τῶν ὀφθαλμῶν πρὸς τὴν αὐτῆς*

678 *ἡλικίας* Al.: *ἡλίας* **O** ‖ **679** *δι'* scripsi: *δ'* **O** ‖ **682** ante *τῷ* fort. excidit *ἐν* ‖ **685** *ὃς* sec. Al. (*οὗτος*) scripsi: *οὗς* **O** ‖ **686** *τῇ* – **687** *νευούσῃ*] accusat. exspectaveris ‖ **689** immo *χεόμενον* ‖ **691** *ὁ* Al.: *τὸ* **O** ‖ **692** *λεπτομερές, ὴς* sscr., **O** ‖ **696** *πᾶν* delevi | supplendum est *τὸ δὲ ψυχρὸν* ‖ **698** *σπόγγοις*] immo *πόροις*, ut Al. ‖ **699** *κτύπου* Al.: *κύπου* **O** ‖ **709** *κατ'* addidi (cf. 715): *ἀντ' ἀνάκλασιν* **O**: *κατ' ἀνάκλασιν* Al. ‖ **710** *ἔρχεται* Al.: *ἔρχονται* **O**

θέαν· ὅτι δὲ ποιότη⟨τε⟩ς ἀπιᾶσι τοῦ προσώπου, δῆλον ἐκ τοῦ τοὺς παραμένοντας δένδρεσιν ὠχρὰν ὄψιν ἔχειν τῷ τὴν ὠχρὰν ὄψιν τῶν φύλλων ἀπ[ιέ]ναι πρὸς τὸ πρόσωπον· ὁμοίως καὶ⟨πρὸς⟩τὸ ῥέον ὕδωρ ἀπιοῦσα χλωρὸν αὐτὸ δείκνυσιν.

134 *Ἠχὼ γίνεται κατὰ ἀντανάκλασιν τῆς πληγῆς· ἡ γὰρ φωνὴ πλήττει* 715 *τὸν ἀέρα, ὁ ἀὴρ τὸν τόπον, καὶ κατὰ τὴν πληγὴν γίνεται καὶ ἡ ἠχώ, οὐκ ἐν διύγροις δὲ τόποις – οὗτοι ὑπείκουσι σχεδὸν καὶ ἐκδιδόασι πρὸς τὴν φωνήν –, ἀλλ' ἐν ξηροῖς καὶ ὑπάντροις δυναμένοις ποιεῖν ἀντανάκλασιν. ὁ δὲ μῦθος ὁ περὶ Ἠχὼ οὕτω λύεται· Πάν τις σοφὸς ἐζήτει τὴν αἰτίαν τῆς ἠχοῦς, †ὀφείλει† τὴν εὕρεσιν μὴ εὑρίσκων ἐδυσ-* 720 *χέραινεν, εὑρὼν ἐχάρη, ὡς καὶ Ἐνδυμίων φιλόσοφος ζητῶν τῆς σελήνης τὴν κίνησιν ἡμέρας ἐκάθευδεν, νύκτας δ' οὔ. ποιμὴν ἐμυθεύθη ὅτι τὰ ὑψηλότερα τῶν ὀρέων ἐζήτει, πηκτίδα ἐκράτει διὰ τὴν ἁρμονίαν, ὡς καὶ Προμηθεὺς ἐζήτει περὶ τοῦ ἀστρῴου ἀετοῦ· μὴ δυνάμενος εὑρεῖν τοῦτο ἐδαπανᾶτο φροντίσι· φιλόσοφός τις ἔλυσε τὸ ζητούμενον* 725 *καὶ Προμηθεῖ θεραπείαν δέδωκε.*

135 *Διὰ τί τὸ ἱστάμενον ὕδωρ λίθου ῥιπτομένου κύκλους ποιεῖ; ὁ λίθος τῇ τάσει τῆς βολῆς ἀποδιώκει τὸ ὕδωρ πόρρωθεν διὰ τὸ ἰσοδύναμον εἶναι τὴν τάσιν ⟨καὶ⟩ γίνεται κύκλος. καταβαίνων δὲ ἄχρι τῆς γῆς καὶ διασπῶν τὰ σώματα τοῦ εἴδους πολλοὺς ἐργάζεται κύκλους· πρῶτον* 730 *γὰρ τὸ ἐπιπολῆς κινεῖ, εἶτα τὸ βάθος. ὁ δὲ μεταγενέστερος κύκλος τοῦ πρὸ αὐτοῦ μικρότερος διὰ τὸ καὶ ὑπὸ τοῦ λίθου μὴ ὁμοίως διίστασθαι κατὰ τὴν πληγὴν τὸ ὕδωρ.*

136 *Τὸν σπλῆνά τινές φασιν αἴτιον τοῦ γέλωτος καὶ διὰ τοῦτο ἐπὶ τῶν σκιρρουμένων σπληνῶν τοὺς πάσχοντας μὴ γελᾶν, ἀλλὰ μᾶλλον κατη-* 735 *φεῖς εἶναι. κατὰ συμβεβηκὸς ὁ σπλὴν αἴτιον τοῦ γέλωτος· ἀπὸ γὰρ τοῦ ἥπατος τὸν τρυγώδη καὶ μελαγχολικὸν χυμὸν ἐρρωμένως ἔχων καθαίρει καὶ διάχυσις ἐντεῦθεν γέλωτος γίνεται. εἰ δὲ νοσερῶς ἔχει τοῦτο, οὐ ποιεῖ, καὶ διὰ τοῦτο δοκεῖ εἶναι αἴτιον τοῦ πράγματος.*

137 *Αἱ ἡμίονοι οὐ τίκτουσιν, ὅτι ἐκ διαφόρων συνεστήκασι ζῴων, τὰ δὲ* 740 *ἐκ διαφόρων ἄλλο τι ποιεῖ, ὡς ἐπὶ λευκοῦ καὶ μέλανος τὸ φαιόν. ἡ γεννητικὴ τοίνυν κρᾶσις ἠφάνισται καὶ τῶν εἰδῶν ἡ ἐπιτηδειότης.*

138 *Οἱ ἐκ γενετῆς κωφοὶ ἄλαλοι, ὅτι ἃ οὐκ ἤκουσαν οὐ δύνανται λαλεῖν*

711 *ποιότητες* Al.: *ποιότης* **O** ‖ **711** sq. *τοὺς παραμένοντας* sec. Al. scripsi: *τῆς παραμένουσι* **O** ‖ **712** *τῷ* Al.: *τὸ* **O** ‖ **713** *ἀπιέναι* Al.: spat. vac. 2–3 litt. **O** | *πρὸς* Al. ‖ **718** *φωνήν*] an *πληγήν*? ‖ **720** *ἠχοῦς* Al.: *ἠχώ* **O** | *ὀφείλει*] an *ἐφίλει*? ‖ **721** *Ἐνδυμίων* Al.: *ἐνδημίω* **O** ‖ **723** *πυκτίδα* **O**: corr. Wk. ‖ **725** *φροντίς* **O**: correxi (potest et *φροντίδι*) ‖ **726** *προμηθεὺς* **O**: correxi ‖ **729** *καὶ* Al. ‖ **730** *εἴδους*] *ὕδατος* Al. ‖ **737** fort. *ἐρρώμεθα* habet **O**

ἤ, ὡς οἱ ἰατροὶ λέγουσιν, ὅτι μία συζυγία νεύρων ἐστὶ γλώττης καὶ
745 ὤτων καὶ συμπάσχουσιν ἄμφω. οἱ μέντοι ἐκ πάθους κωφοὶ οὐκ
ἄλαλοι, ὅτι τοπικὴ γίνεται τότε ἡ πῆσις.

Νηστεύσαντες πολλοὶ μετὰ τροφὴν ῥιγοῦσιν, ὅτι τῇ βραδυτῆτι ἐκ- 139
χολούμενοι δριμὺν γεννῶσι χυμόν· μετὰ τὴν τροφὴν οὖν τῶν μορίων
τῆς χολῆς ἀποδιωκομένης εἰς τὸ δέρμα γίνεται τὸ ῥῖγος.

750 Αἱ ὕες ἄνω βλέπουσαι βασταζόμεναι σιγῶσιν, ὅτι πρὸς τὴν γῆν 140
μᾶλλον τῶν ἄλλων νεύουσι τῆς δυσωδίας ἀντεχόμενα· τῇ οὖν ἀθρόᾳ
μεταβολῇ ξενιζόμενα τοῦ φωτὸς σιγῶσιν.

Τέρπονται τῇ κόπ⟨ρ⟩ῳ κατὰ μὲν ἰατροὺς φυσικῶς ὡς μέγιστον 141
ἧπαρ ἔχουσαι, κατὰ δὲ Ἀριστοτέλην ὡς παχύρρυγχοι καὶ δυσωδίας μὴ
755 αἰσθανόμεναι.

Διὰ τί τῶν ἑλκῶν ὑγιαζομένων κνησμοὶ γίνονται; ὅτι τῶν μορίων 142
ὑγιασθέντων ἀποδιώκεται τὸ λείψανον τοῦ παρὰ φύσιν χυμοῦ τοῦ
ποιήσαντος τὸ ἕλκος, ὃ καὶ εἰς τὸ δέρμα διαφορούμενον ποιεῖ τὸν
κνησμόν.

760 Αἱ μονοπάθειαι τῶν ὀφθαλμῶν χείρους γίνονται, ὅτι τὸ μεριζόμενον 143
πάθος ἀσθενέστερον γίνεται, τὸ δὲ μονομερὲς ἰσχυρόν· ἢ ὅτι θάτερος
κινούμενος παρακινεῖ καὶ τὸν ἕτερον καὶ ἐντεῦθεν ὁ πάσχων πλεῖον
πάσχει, παντὸς δὲ πάσχοντος μέρους μέγα ἴαμα ἡ ἀκινησία.

Ὁ ἄνθρωπος πλεῖον παρὰ τὰ ἄλλα ζῷα πτάρνυται, ὅτι πλείονι τοῦ 144
765 κόρου κέχρηται καὶ τροφῇ καὶ πόσει, ὧν μὴ πεττομένων πολὺ συνάγε-
ται πνεῦμα, ὃ καὶ ὡς λεπτομερὲς πρὸς τὸν ἐγκέφαλον ἀνιὸν ἀναγκάζει
αὐτὸν πρὸς ἀπόκρισιν καὶ ποιεῖ τὸν πταρμόν. ψόφος δὲ γίνεται διὰ τὸ
στενόπορον τῆς ῥινός, ὡς καὶ ἀποπάρδησις δι' ἕδρας καὶ ἐρυγὴ διὰ
στομάχου καὶ φωνὴ καὶ ἦχος.

770 Αἱ τρίχες καὶ οἱ ὄνυχες τῶν τεθνηκότων οὐκ αὔξονται, ὥς τινες λέ- 145
γουσιν, ἀλλὰ φαντασίαν ποιοῦσι τῆς περικαλυπτούσης αὐτοὺς σαρκὸς
μαραινομένης. ἄλλοι λέγουσιν ὡς ἀληθῶς· περιττωματικοὶ γὰρ οἱ νε-
κροὶ διὰ τὴν σῆψιν, καὶ ταῦτα δὲ ἐκ περιττώματος.

Αἱ λεγόμεναι λεῦκαι γίνονται ἐν παισὶ μᾶλλον ὡς ἀδηφάγοις καὶ 146
775 ἀργοτέροις ἢ ἐν τοῖς γέρουσιν, ἐν δὲ τοῖς τῶν ποδῶν ὄνυξιν, ὅτι πόδες
τῷ περιπάτῳ διαφοροῦσι τὰ περιττώματα.

Ἐν τοῖς ποσὶν αἱ τρίχες πολιοῦνται διὰ τὴν αὐτὴν αἰτίαν, ἐν τῇ ἥβῃ 147
βραδέως, ὅτι θερμοτέρα καὶ τῇ συνουσίᾳ διαφοροῦσα τὸ φλέγμα.

748 δριμὺ O: correxi || 751 ἀντεχόμενα] sc. ζῷα || 753 τέρπονται Al.: τέρπεται O | κόπρῳ Al.: κόπῳ O | φυσικῶς Al.: -οὺς O || 754 ἔχουσαι scripsi: -σα O || 755 αἰσθανόμεναι scripsi: -α O || 774 λεῦκαι Al.: λευκαὶ O || 777 post ποσὶν habet οὐ ταχέως Al. || 778 utrum θερμοτέρα ... διαφοροῦσα an θερμότεροι ... διαφοροῦσι incertum O

148 *Τοῖς ἀνθρώποις ἡ φωνὴ βραδέως τελειοῦται ἢ τοῖς ἀλόγοις ὡς ποικιλωτέρα καὶ τεχνικωτέρα καὶ διδαχῆς δεομένη.* 780

149 *Τὰ πλεῖστα τῶν ζῴων τὰς οὐρὰς κινεῖ διὰ τοὺς συνήθεις ὡς ἔχοντα τὸν νωτιαῖον μυελὸν μέχρι αὐτῆς· τῆς οὖν ψυχῆς αἰσθανομένης τὸν συνήθη ὅσα καὶ χεῖρα κινεῖ τὴν οὐράν. λέων δὲ καὶ ταῦρος ἐν θυμῷ πλήττουσι δι' αὐτῶν τὰς πλευράς, ὅτι θυμῷ κινουμένη ἡ ψυχὴ καὶ μὴ ἔχουσα δρᾶσαί τι πρὸς τὸν λυποῦντα ἑτέρῳ τρόπῳ σοφίζονται τὴν* 785 *παραμυθίαν, ὡς καὶ ἄνθρωποι λυπούμενοι τρίβουσι τοὺς ὀδόντας.*

150 *Αἱ κεκαυμέναι κριθαὶ ξηραὶ ἐπιπασσόμεναι τοῖς ἕλκεσι τῶν ἵππων οὐ λευκὰς τρίχας φύουσιν, ὅτι ῥυπτικῆς οὔσης φύσεως ἀποσμήχουσι τὸ φλεγματῶδες περίττωμα.*

151 *Διὰ τί οὐ καὶ ἐπὶ τῶν ἀνθρώπων ὡς τῶν ἀλόγων αἱ οὐλαὶ τρίχας* 790 *φύουσιν; ὅτι τὸ δέρμα τοῦ ἀνθρώπου πυκνότερον καὶ ἡ οὐλὴ γοῦν τοὺς πόρους ἀποτυφλώττει, τῶν δὲ ἀλόγων ἀραιοπορώτερον.*

152 *Ἐπὶ τῶν ὑπὸ διψάδος δηχθέντων καὶ δίψει συνεχομένων ἡ θηριακὴ ξηρὰ καὶ θερμὴ οὖσα παύει αὐτό. λύσις· οὐ λόγῳ κράσεως, ἀλλ' ἀντιπαθείᾳ καὶ φυσικῷ λόγῳ. ἡ ἀντίδοτος ἐκ πολλῶν σύγκειται βοτανῶν* 795 *ἐχουσῶν τινα συμπάθειαν πρὸς ἕκαστον μέρος· οἷον τὸ δίκταμνον ῥώννυσι καρδίαν, ἡπατόριον ἧπαρ, σκολοπένδριον σπλῆνα, τὸ πετροσέλινον στόμα τῆς κοιλίας, ἑλένιον νεφρούς, τὸ πήγανον τὸ κόλον, γεντιανὴ ἐγκέφαλον, σέσελι κύστιν. αἱ οὖν τῶν ἔχεων σάρκες ἀναμιγνύμεναι καὶ προσπάθειαν ἔχουσαι πρὸς ἕκαστον ἰοβόλον ἐν ἅπασι μορίοις* 800 *κατακερματιζόμεναι τὸ φθορὰν ἀπειλοῦν πάθος οὐκ ἐῶσιν ἐνεργεῖν τὰ ἀντιμαχόμενα.*

162 *Αἱ ἵπποι δυσουριῶσιν, ὅτι οἱ τὴν ξηρὰν ὑπόστασιν εὐχερῶς προϊέμενοι τὴν ὑγρὰν χαλεπῶς καὶ ἀνάπαλιν· ὁ δὲ κύων ἄμφω χαλεπῶς.*

163 *Τὰς ἵππους ἐν τοῖς ἱπποφορβίοις ἀποκείρουσι πρὸς τὴν χαίτην, ἵνα* 805 *ταπεινωθεῖσαι ὑπομείνωσι τὴν ⟨ὀχείαν τῶν⟩ ὄνων· κομῶσαι γὰρ οὐ θέλουσι· τότε δὲ ὡς ὅμοιαι οὐκ ἀτιμάζουσιν.*

{Ὅπερ ἡ ψυχὴ ἀφῆκε διὰ τὴν νόσον, τοῦτο πληροῖ ἡ καρδία.}

1 *Οἱ νεφριτικοὶ μεγάλην ἔχουσι τὴν ἀναπνοήν. ὅτι μὲν ψυχῆς ἐνέργεια διὰ μέσων νεύρων καὶ μυῶν δῆλον· κινεῖται οὖν ὁ θώραξ διὰ τῶν* 810

803–807 Al. Probl. IV 162–163 || **809–1245** Al. Probl. II 1–76

794 *αὐτοὺς* **O**: correxi || **797** *εὐπατόριον* Al. || **798** *κόλον* scripsi: *κολὸν* **O**: *κῶλον* Al. || **804** *ἀνάπασιν* **O**: correxi || **805** *πρὸς τὴν χαίτην*] aliter Al. || **806** ex Al. supplevi || **808** seclusi (v. 813–814) || **809** *ψυχῆς ἐνέργεια* Al.: *ψυχὴν ἐνεργεία* ut vid. **O**

προρρηθέντων. ἀραιὰ δὲ γίνεται ἡ πνοὴ βλαβείσης δυνάμεως ψυχικῆς, μεγάλη δὲ διὰ τῶν ῥιπισμῶν τῆς καρδίας· ἐξαναστᾶσα γὰρ ἡ ζωτικὴ δύναμις νύττει τὴν ψυχήν, ἀπειλοῦσαν αὐτῇ τὴν ἀπώλειαν. ὅπερ οὖν ἡ ψυχὴ ἀφῆκε διὰ τὴν νόσον, τοῦτο ἀναπληροῖ τῷ μεγέθει ἡ καρδία |
815 *διὰ τὴν ἰδίαν χρείαν.* 445ʳ

2 *Οἱ περιπνευμονικοὶ κωματώδεις, ὅτι ὑγρότητα ἔχον τὸ μόριον δέχεται τῇ ἀεικινησίᾳ ἐπίκτητον θερμότητα· κἀντεῦθεν γεννῶνται ἀτμοὶ καὶ ἀνέρχονται εἰς τὸ κρανίον, πήγνυνται ὡς ἐπὶ λεβήτων σκεπομένων, ἀπολύουσι τὴν θερμότητα καὶ γίνονται ψυχροί, καὶ διπλασιασθὲν τὸ*
820 *ψυχρὸν διὰ τὸ κρανίον ναρκοῖ τὸ ἡγεμονικὸν καὶ ποιεῖ πάθος.*

3 *Οἱ ἀποτμηθέντες τὴν κιονίδα ἤγουν τὸν γαργαρεῶνα φθισικοί, ὅτι αὕτη ἐστὶν ὡς πῶμα τῷ ἀέρι, ἧς καὶ ἀποτμηθείσης εἰσενεχθεὶς ὁ ἀὴρ ἀμετάβλητος καὶ ὁμιλεῖ τῷ πνεύμονι καὶ ψύχει τὸ ἐν τοῖς ἀγγείοις αἷμα καὶ δυσκίνητον ποιεῖ· βιαζομένου δὲ πρὸς κίνησιν πάσχει τὰ ἀγ-*
825 *γεῖα, καὶ ἔστι τὸ πάθος ἡ κιονίς· ὅταν φλεγμάνῃ ὡς ῥώξ, καλεῖται ἢ σταφυλὴ ἢ χοάνη ὥσπερ χωνεῖον.*

4 *Τῶν περιπνευμονικῶν τὰ μῆλα ἐρυθρά, ὅτι τὸ αἷμα ὀπτώμενον ⟨ἐν⟩ τῷ πνεύμονι ἀτμὸν γεννᾷ· ἀεὶ γὰρ ὁμοιοῦται τῷ ποιοῦντι τὸ γιγνόμενον· ὃς ἀναγόμενος εἰς τὰ μῆλα διὰ τὴν κουφότητα ἐκεῖ ἵσταται*
830 *καὶ ὡς δι' ὑέλου φαίνει τὸ ἄνθος.*

5 *Πῶς τῷ χειμῶνι θερμοτέρων ἡμῶν ὄντων γεννᾶται φλέγμα; διὰ τὰς πολλὰς τροφὰς ἃς οὐ δύναται πέψαι ὁ στόμαχος, δι' ἃς τοῦ ἐμφύτου θερμοῦ σβεσθέντος ψῦξις τὸ φλέγμα γεννᾷ, καὶ ἡμιτελὲς αἷμα ὤφθη τὸ φλέγμα.*

835 6 *Ἐν Αἰγύπτῳ θερμοτάτῃ οὔσῃ ψυχρὸς οἶνος γίνεται, ὅτι ἀραιοῦται ἡ γῆ τῇ καύσει τοῦ ἡλίου καὶ ἐξέρχεται τὸ θερμὸν καὶ ἀπομένει ἡ φυσικὴ ψυχρότης. ἐν δὲ Σκυθίᾳ ψυχρᾷ οὔσῃ οἶνος θερμός, ὅτι οὐκ ἀραιοῦται ἡ γῆ· διὰ τοῦτο καὶ ἀνδρειότεροι Σκύθαι Αἰγυπτίων.*

7 *Ἐν τῷ θέρει ψυχρά, ἐν δὲ τῷ χειμῶνι θερμὰ τὰ λάχανα, ὅτι ἡ τοῦ*
840 *ἡλίου φορὰ πολεύουσα τὸν κύκλον ἐναλλάττει τὰς θέσεις· ἐν γὰρ τῷ θέρει τὴν ἄνω ζώνην κατείληφεν, ὡς τὸ μῆκος δηλοῖ τῆς ἡμέρας· θάλπονται οὖν τὰ ὑπὲρ γῆν καὶ ψύχονται τὰ φυτά. ἐν δὲ τῷ χειμῶνι τὸ ὑπὸ τὸ ἡμισφαίριον ὁ ἥλιος διατρέχων, τῆς γῆς τὰ βάθη θάλπων, θερμότερα ποιεῖ τὰ φυτά.*

812 *μεγάλη* Al.: *μεγάλους* **O** | immo *τὸν ῥιπισμόν*, ut Al. || **820** *ναρκοῖ* Al.: *-εῖ* **O** || **822** *εἰσενεχθεὶς*] non pro certo leg. **O** (an *εἰσενήνεκται* scribendum?) || **827** *τῶν περιπνευμονικῶν* Al.: *τοῖς περιπνευμόνων* **O** | *ἐν* Al. || **838** utrum *ἀνδρειότεροι* an *-ότατοι* incertum **O**

8 *Διὰ τί ἐκ καύσου περιπνευμονίαι, οὐ μὴν καὶ ἀνάπαλιν; ὁ καῦσος* 845
ἐκ ξανθῆς χολῆς ἢ ἐξ ὅλων τῶν ἀγγείων φέρεται πρὸς ⟨τὸ⟩ κύτος τῆς
γαστρὸς καὶ ἐπάγει τὸ σύμπτωμα. ἡ οὖν φύσις πειρᾶται ἐκμοχλεύειν
τὸν χυμόν· ἂν γοῦν ἡ δύναμις ᾖ ἰσχυρὰ καὶ ὁ καιρὸς θερμός, δι' ἱδρώ-
των ἀπάγεται ἡ νοσοποιὸς αἰτία, ἂν δὲ τοὐναντίον, διὰ γαστρὸς κατ-
άγεται. ὁ οὖν χυμὸς εἰς τὰ βρόγχια ἐνεχθεὶς τοῦ πνεύμονος καὶ πλη- 850
ρώσας αὐτὸν γεννᾷ τὸ πάθος. ἐκ δὲ περιπνευμονίας καῦσος οὐκέτι·
φθάνει γὰρ ἐκτεφρωθῆναι ὁ χυμὸς πρὶν γεννῆσαι τὴν διάθεσιν.

9 *Διὰ τί ἐπὶ τῇ ἀκμῇ τῶν πυρετῶν Ἱπποκράτης φεύγει τὴν τροφήν,*
οὐ μὴν καὶ ἐπὶ τῶν πλευ⟨ρι⟩τικῶν καὶ περιπνευμονικῶν; ὅτι ἐπὶ μὲν
τῶν ἄλλων ἡ φύσις πέττει τοὺς χυμοὺς καὶ ἀπελαύνει τὰς αἰτίας δι' 855
οὔρων καὶ διαχωρημάτων, καὶ οὐ δεῖ παραλαμβάνειν τροφήν, ἵνα μὴ
καταλείψῃ τὰς αἰτίας ἡ φύσις καὶ πρὸς ταύτην ἐνστῇ, ἐπὶ δὲ τῶν
πλευριτικῶν ἡ φύσις πέττει μὲν τὸν χυμόν, ψυχὴ δὲ κενοῖ τὴν οὐσίαν
προσχρωμένη μυσίν. εἰκότως οὖν δεῖ τρέφειν, ἵνα ῥώσαντες τοὺς μῦς
ἐξαναστήσωμεν πρὸς ἄμυναν τοῦ λυποῦντος. 860

10 *Διὰ τί ὁ μὲν τριταῖος ἐκ θερμοῦ χυμοῦ γενόμενος καὶ κατελαύνου-*
σαν τὴν χολὴν ἔχων παρὰ μίαν κινεῖται, ὁ δὲ ἀμφημερινὸς ἔχων τὸ
βαρὺ καὶ ψυχρὸν φλέγμα καθ' ἡμέραν, ὁ δὲ τεταρταῖος διὰ δύο; ὅτι ὁ
μὲν τεταρταῖος ὀλίγον ἔχων τὸν χυμὸν διαφορεῖται διὰ ἱδρώτων, καὶ
τῇ κενώσει ἵσταται ὁ παροξυσμὸς μένων εἰς δευτέραν κίνησιν. ὁ ἀμφ- 865
ημερινὸς πλουτῶν ὕλην παχεῖαν καὶ ὑγρὰν ἐπιτείνεται· ὁ σύνοχος ἐξ
αἵματος ἔχων τὴν ὕλην ἀδιάλειπτος, ὁ ἀμφημερινὸς ὅσῳ ἐμειώθη κατὰ
ποσότητα χυμοῦ ἐμφαίνει αἰσθητὸν διάλειμμα. ὁ τριταῖος χυμὸν
θερμὸν ἔχων καὶ λεπτομερῆ ἐπλάτυνεν αὐτόν. γίνωσκε δὲ ὡς τὸ αἷμα
τρέφον τὸ σῶμα πλουτεῖ τὸ ποσόν, εἶτα τὸ φλέγμα, ὃ καὶ ἐν λιμῷ 870
τρέφει· μεμείωται ἡ ξανθὴ ὡς μὴ τρέφουσα· καὶ δριμεῖα ἐλάττων ἡ
μέλαινα ὡς ἐχθρὰ τῆς φύσεως καὶ διαβρωτικὴ τῶν μορίων. εἰ μὲν οὖν
εἷς τῶν ἄλλων χυμῶν αὐξηθῇ, κακοχυμία λέγεται τοῦτο, εἰ δὲ οἱ δ'
κατὰ ἀνάλογον τῆς οἰκείας ποσότητος, πληθώρα.

11 *Ἐπὶ τῆς παραλυθείσης γνάθου οὐ τῇ νοσούσῃ, ἀλλὰ τῇ ἑτέρᾳ* 875
προσφέρομεν τὸ βοήθημα, ὅτι δύο μυῶν ὑπαρχόντων ἀντι⟨τε⟩ταγμέ-
νων ἀλλήλοις, καθ' ἑκάστην γνάθον ποιουμένων τὴν κίνησιν, ἐὰν
συμβῇ θάτερον παραλυθῆναι, ὁ ἕτερος ἔχει τὴν οἰκείαν κίνησιν ἰσχυ-

846 *ᾖ* sec. Al. (*αὕτη*) scripsi: *ἢ* **O** | *τὸ* Al. || 849 *ἀπάγεται* Al.: *ἐπ-* **O** || 851 *περιπνευμονίας* Al.: *-ίαν* **O** || 852 *φθάνει* Al.: *-η* **O** || 854 *πλευριτικῶν* Al.: *πλευτικῶν* **O** || 869 *αὐτόν*] immo *αὐτό* || 870 *τρέφον* Al.: *τρέχον* **O** | *ἐν λιμῷ* Al.: *ἔνλιμα* aut *εὔλιμα* **O** || 876 sec. Al. supplevi

ῥὰν καὶ ἕλκει πρὸς ἑαυτὸν τὸν ἀσθενῆ. ῥωννύομεν οὖν διὰ ταῦτα τὸν
880 ὑγιαίνοντα, ἵνα δι' αὐτοῦ τὸν νοσοῦντα θεραπεύσωμεν.

Οἱ ἀδένες σώματά εἰσι σμικρά, σφαιροειδῆ, χαῦνα, μεταξὺ τῶν με- 12
γάλων φλεβῶν καὶ ἀρτηριῶν δίκην σφηνίσκων, ἵνα μὴ ὁμιλίᾳ σήπων-
ται τὰ ἀγγεῖα ὑγρὰ ὄντα τῇ περιουσίᾳ τοῦ αἵματος. οὗτοι φλεγμαίνον-
τες βουβῶνας ποιοῦσιν, ἰσχυρούμενοι δὲ χοιράδας.

885 Οἱ φαλακροὶ τὸ βρέγμα ψιλοί, τοὺς κροτάφους δασεῖς, ὅτι τὰ μετέ- 13
ωρα ἐκτὸς ὄντα ὑγρότητος οὐ τριχοῦνται, τὰ δὲ κάτω δεχόμενα τὴν ἐκ
τῶν ἄνω τροφὴν φύουσι τρίχας, ὡς τὰ ὑψηλότερα καὶ πετρώδη τῶν
χωρίων οὐ καρπογονεῖ, τὰ δὲ χθαμαλὰ καὶ νοτιώδη.

Ἐκ δ' στοιχείων γεννηθέντες πῶς τρία ἔχομεν, ὑγρά, στερεά, πνεύ- 14
890 ματα; ὅτι τοῦ πυρὸς ἡ οὐσία ὡς λεπτ⟨ομ⟩ερὴς εἰς ἀέρα περιίσταται.

Διὰ τί ἐν ταῖς ὀδύναις τῶν ἀποστημάτων προηγεῖται ῥῖγος, εἶτα πυ- 15
ρετός; ὅτι ἡ φύσις ἀνιωμένη καὶ ἀηδιζομένη ὑποδύνει τῷ βάθει, ψύχε-
ται ἡ ἐπιφάνεια, πήγνυσι τὰ ἀγγεῖα τοῦ αἵματος· χρονίσαντος δὲ τοῦ
πάθους οἷον καταγινώσκει τούτου ἡ φύσις καὶ χέει τὸ αἷμα, πληροῖ
895 τὰ ἀγγεῖα καὶ πυρετὸν γεννᾷ. διὰ γοῦν τὴν τοῦ αἵματος στάσιν ἐπεγεί-
ρεται ἡ ἀποκριτικὴ δύναμις καὶ ποιεῖ τὸ ῥῖγος, ἡ δὲ σῆψις τὸν πυ-
ρετόν.

Τινὲς τῶν ὀπωρῶν ἔχουσι τὸ ἀχρεῖον ἔνδον, τινὲς τοὐναντίον, ὅτι ἡ 16
φύσις διὰ τὴν τοῦ γένους διαδοχὴν κατέκρυψε τὰ πρὸς τὴν χρείαν
900 ἔνδον, ἐπὶ δὲ τῶν μοσχευμάτων καὶ φυτῶν οὐ κατέκρυψεν ὡς ἀχρεῖα.

Οἱ τὰ βόεια πέττοντες ἰχθῦς πετραίους οὐ πέττουσι διὰ τὴν ἄμετρον 17
θερμότητα τῆς γαστρός· ὡς γὰρ εἰς σίδηρον μὲν χρώμεθα πυρὶ ἐκ
στερεᾶς ὕλης, εἰς χρυσὸν δ' ἢ ἄργυρον ἀχύρῳ, οὕτω καὶ ἐνταῦθα σί-
δηρος τὰ βόεια κρέα, χρυσὸς οἱ πετραῖοι ἰχθύες. ἐὰν οὖν εὑρεθῇ γα-
905 στὴρ θερμή, ὑπεροπτώμενος ὁ ἰχθὺς κνισσοῦται καὶ ἀφανίζεται καὶ
ἀπεψίαν μιμεῖται.

Ἐπὶ τῶν φθισικῶν γρυποῦνται οἱ ὄνυχες, ὅτι τὰ στερεὰ δυσπαθῆ 18
ὄντα ἐκκλίνουσι τὸ πάθος καὶ φαντάζουσι τῷ σχήματι διὰ τὴν τῶν
σαρκῶν σύντηξιν. τὸ δὲ ἕλκος γίνεται διὰ τὸ ἀεικίνητον τοῦ πνεύμονος
910 καὶ τῆς καρδίας καὶ διὰ τὸν βῆχα ἀνακαθαιρόμενον τῷ πτύῳ.

Τῶν πυρετῶν μειουμένων αὔξουσι τρίχες καὶ ὄνυχες, ἐν δὲ ταῖς ἀνα- 19
λήψεσιν ἀπορρέουσιν αἱ τρίχες, αὔξει δὲ τὸ σῶμα. ἡ θρὶξ ἐκ περιττω-
μάτων· καιομένων οὖν τῶν χυμῶν γεννῶνται τὰ περιττώματα· ἐπὶ δὲ

884 ἰσχυρούμενοι] σκιρρούμενοι Al. || 890 λεπτερῆς O: correxi || 895 immo τάσιν, ut Al. || 898 ἔνδον Al.: ἔργον O || 910 immo ἀνακαθαιρομένου τοῦ πύου, ut Al.

τῶν ἀναλήψεων ἐκτεφρωθέντων τῶν χυμῶν ἵσταται καὶ οὐ τρέφεται. τὸ δὲ σῶμα ἐκ τῆς κενώσεως ἅπαν τὸ γεννώμενον εἰς αὐτὸ ἐφέλκεται 915 *διὰ τὴν τοῦ φθάσαντος δαπάνην.*

20 *Ἡ λευκὴ ὑπόστασις τῶν οὔρων ἀγαθὴ διὰ τὴν τῶν στερεῶν καὶ ἀρχῶν ὁμοιότητα· δηλοῖ γὰρ φιλίαν τῆς δυνάμεως καὶ τὸ γνώρισμα φέρει τῷ χρώματι. ἐν γὰρ τοῖς στερεοῖς ὡς ἑδραίοις ἡ φύσις θέλει μᾶλλον οἰκεῖν ἤγουν νεύροις, ὀστοῖς, φλεψίν, ἀρτηρίαις. λευκὴ τὴν* 920 *χροίαν καὶ δι' ἄλλο, ὅτι κατὰ βραχὺ ἡ δύναμις ἀσθενοῦσα πέττει τὸν χυμὸν ἐξ ἀρχῆς ὀλίγον κινούμενον σὺν τοῖς οὔροις καὶ διὰ κουφότητα ἀνωφερὲς ποιεῖ τὸ ἐναιώρημα τὸ ἐπιπολάζον τῷ ποτηρίῳ τῶν οὔρων. πλέον δὲ πέττουσα πλέον κινεῖ καὶ ποιεῖ τὸ νεφέλιον κατὰ μέσον ἱστάμενον· ὅσον γὰρ πλέον, τοσοῦτον βαρύτερον. ὅταν δὲ τελείως ἐκρῇ τὸ* 925 *οὖρον βαρὺ γινόμενον, ἱζάνει περὶ τὸν πυθμένα καὶ ποιεῖ τὴν λεγομένην ὑπόστασιν ἐν τελείᾳ ὑγείᾳ. λευκὸν οὖν τὸ οὖρον διὰ τὴν ὁμοιότητα τῶν μορίων, πλεῖον διὰ τὴν τοῦ πεφθέντος χυμοῦ ὁμοτιμίαν. τὸ ὁμαλὸν τῆς ὑποστάσεως δηλοῖ δυνάμεως τελείαν ἐνέργειαν. ἀναλογεῖ δὲ τὸ ἐν φλεγμοναῖς πύον τῇ ὑποστάσει. καὶ τὸ μὲν πύον δυσῶδες ὡς* 930 *μὴ διαπνεόμενον, ἀλλὰ ἐκτὸς ὂν περὶ τὸ δέρμα, ἡ δὲ ὑπόστασις τὰ ἐναντία ἔχουσα οὐκ ἔστι δυσώδης.*

21 *Ἀπὸ χολῆς γίνεται πυρετός, ὅταν κινηθεῖσα ἐπὶ τὸ δριμύτερον τραπῇ καὶ σαπῇ· λύεται δὲ διὰ χολῆς, ὅταν ὁρμαίνῃ τὸ ζῷον πρὸς ἄμυναν τοῦ λυποῦντος καὶ διαφορούμενος ὁ χυμὸς λύεται.* 935

22 *Τῶν λυπουμένων κοῖλοι ὀφθαλμοί, ὅτι συνιζάνει ἡ ψυχὴ ἔνδον, ἀτονοῦται τὸ σῶμα. ἐπὶ δὲ τῶν ὀργιζομένων τοὐναντίον· ὅπου γὰρ νεῦμα, ἐκεῖ ὀργάνων καὶ χυμῶν ῥοπή.*

23 *Τὰ ὀστέα ὡς στερεώτερα ἄγνυται διὰ τὴν ἀντιτυπίαν, ἡ δὲ σὰρξ οὒ διὰ τὸ εὔεικτον.* 940

24 *Οἱ εὐνοῦχοι μακροὶ καὶ βλαισοί, ὅτι ὑγρότητα ἔχοντες πλουτοῦσι πρὸς σῶμα. διὰ δὲ τὴν ἀσθένειαν γίνεται διάστροφα τὰ μόρια, ὡς ἐπὶ τῶν οἰκιῶν τῶν μὴ ἐχουσῶν ἀνάλογα θέμεθλα.*

25 *Τὰ ἄκρα ῥιγοῦμεν ὡς λεπτά, νευρώδη καὶ ὀλίγαιμα καὶ ψυχρά.*

26 *Ἐν φόβῳ ὀρθαὶ ἵστανται αἱ τρίχες, ὅτι ἡ ψῦξις πύκνωσιν ποιεῖ τῶν* 945 *πόρων· ἡ θρὶξ οὖν περισφιγγομένη ὀρθοῦται.*

29 *Οἱ πυρέττοντες διψῶσι μᾶλλον, οὐ πεινῶσι δέ, οἱ δὲ ἀναλαμβάνοντες τοὐναντίον, ὅτι ἡ δίψα δι' ὑπερβολὴν θερμότητος καὶ ξηρότητος*

920 *λευκὴ* Al.: *ἄλευκα* **O** ‖ **922** *ἐξ ἀρχῆς* Al.: *ἐξαρχῆς* **O** | *κενούμενον* Al. ‖ **938** *ῥοπή* Al.: *ῥοπῇ* **O** ‖ **945** *ἐν φόβῳ* Al.: *ἐφ' ᾧ* **O** ‖ **946–947** probl. (27) et (28) om. **O**

ἐκ τοῦ πυρετοῦ γινομένης, οὐ πεινῶσι δὲ διὰ τὴν πολλὴν ὑγρότητα
950 *τῶν ἐν τῷ στομάχῳ χυμῶν κακῶν· οἱ ἀναλαμβάνοντες πεινῶσι διὰ τὴν πολλὴν κένωσιν τῶν ὑγρῶν, οὐ διψῶσι διὰ τὸ κατεψῦχθαι τὸ σῶμα τῇ ἀπουσίᾳ τοῦ πυρετοῦ.*

Οἱ φθεῖρες τῶν νεκρῶν φεύγουσι τῇ λείψει τοῦ αἵματος, ὅθεν αὐτοῖς τροφὴ καὶ θάλψις, καὶ ζητοῦσιν ἀλλαχοῦ ἐπελθεῖν. 30

955 *Τὰ σφαζόμενα λακτίζει συνεχῶς διὰ τὴν ἀπὸ τῆς πληγῆς ὀδύνην ἢ διὰ τὸ σπᾶσθαι.* 31

Ἐπί τινων ζῴων αἱ κέρκοι πλέον κινοῦνται μετὰ ἀποκοπήν, ὅτι στενότεροι οὖσαι πλέον φυλάττουσι τὴν φυσικὴν θερμότητα, ἥτις κινήσεώς ἐστιν αἰτία. 32

960 *Σημεῖον τῶν καθαρθέντων ἀκριβῶς εἰ μετροῦσι τὰς δοκούς, ὅτι τὸ ὀπτικὸν πνεῦμα καὶ τὸ φρονοῦν σῶον ἔχουσι καὶ καθαρὸν καὶ ἀτάραχον μὴ ὄντος γνόφου χυμώδους.* 33

Οἱ ἐμπυικοὶ πολλάκις καὶ φθισικοὶ φθειριῶσιν, ὅτι τὸ πύον φθείρει τὰ ὑγρὰ καὶ σήπει. ζωοποιούμενα δὲ ἐκ τῆς φυσικῆς θερμότητος τί- 34
965 *κτει φθεῖρας, ὡς ἐν κόπρῳ σκώληκες, ἐν τοῖς ἐ⟨ν⟩τέροις ἕλμινθες.*

Ἀλγοῦμεν ἐν τοῖς ὄρχεσι πολλά, ὅτι πλείονα αἴσθησιν ἔχουσιν, ἐπειδὴ καὶ πλείονα ἡδονήν. ἔνθα γὰρ τὸ ἕν, τὸ ἕτερον, καὶ ὅπου ταῦτα, καὶ ὀδύνη σφοδρά. τὰ δὲ συμπάσχοντα συμπάσχει τριχῶς· καὶ διὰ συγγένειαν ὡς ἐγκέφαλος καὶ στόμα κοιλίας τῇ κοινωνίᾳ τῶν πλεί- 35
970 *στων νεύρων, ἢ διὰ γειτνίασιν ὡς καρδία στομάχῳ, ὅταν δριμέων χυμῶν δακνομένων μεταλαμβάνει καρδιώττουσα πρὸς ἄμυναν τοῦ λυποῦντος, ἢ δι' ἀσθένειαν καὶ κατὰ πάροδον ὡς ἐπὶ προσπταίσματι δακτύλου ποδὸς βουβών· προστ⟨ρ⟩εχούσης γὰρ τῆς φύσεως μετὰ τοῦ αἵματος πληροῦνται οἱ ἀδένες τοῦ βουβῶνος. καὶ ἡ τοῦ βίου συμπά-*
975 *θεια τριττή· ἐπὶ νεκρῷ συγγενεῖς καὶ γείτονες συναλγοῦσιν ἢ κατὰ πάροδον ἀκούοντες ἢ ἐρωτῶντες τὸ πάθος λόγῳ ἀσθενείας ψυχικῆς.*

Ἐπὶ ὀφθαλμίᾳ ξύρησις ὠφέλιμος, ὅτι διαπνεομένη | ἡ κεφαλὴ διαφορεῖ τὰ περιττώματα. 445v 36

Αἰφνιδίως ἐκ τοῦ φωτὸς εἰς σκότος καὶ ἀνάπαλιν οὐ βλέπομεν κα- 37
980 *θαρῶς, ὅτι ἡ ἀθρόα μεταβολὴ ξενίζειν ἡμᾶς ποιεῖ ἢ ὅτι τὸ σκότος παχὺ καὶ ψυχρὸν ὂν πυκνοῖ τὸ ὀπτικὸν πνεῦμα, τὸ δὲ φῶς λαμπρὸν ὂν καὶ λευκὸν διαφορεῖ αὐτό· τοῦτο δὲ γίνεται διὰ τὸ αἰφνίδιον.*

949 exspectaveris *γίνεται* || **954** fort. *ἀπελθεῖν* scribendum est || **963** *φθειρῶσιν* **O**: correxi || **965** *ἐντέροις* Al.: *ἑτέροις* **O** || **973** *προστρεχούσης* Al.: *προστεχούσης* **O** || **976** fort. *ψυχικοῦ* scr. **O** || **977** *ξύρησις* Al.: *ξύρισις* **O** || **979** *Αἰφνιδίως*] terminatio non pro certo leg. **O** || **982** *αὐτόν* **O**: correxi

38 *Ἐπὶ τῶν ἀλόγων οἱ πυρετοὶ καὶ τὰ κρυπτὰ πάθη δυσιατότερα καὶ κινδυνώδη, ὅτι τὴν φύσιν ἔχουσι βεβαπτισμένην τῷ βάθει τοῦ σώματος καὶ μὴ περιελκομένην ὑπὸ τῆς λογιστικῆς ψυχῆς ἐπὶ τὰ ἐκτὸς* 985 *ὡς ἐπὶ ἀνθρώπων. ἡ οὖν αἴσθησις ἀντιλαμβανομένη πολλῆς ὀδύνης καὶ τὴν φύσιν καταβαπτίζει καὶ τὰς δυνάμεις· ἢ ὅτι δυσπαθέστατα ὄντα τοῖς μεγάλοις ἀπόλλυνται.*

39 *Ἐν ὑετῷ πομφόλυγες σφοδρὸν ὑετὸν δηλοῦσιν, ὅτι τὴν φῦσαν πολὺ ὕδωρ καὶ πολὺ πνεῦμα ποιεῖ, κυρτοῦντος τοῦ πνεύματος τὸ ὕδωρ ὡς* 990 *ἐπὶ τῆς ὑάλου καὶ λοιπῶν. σφαιρικὴ ἡ φῦσα ὅτι οἷον τὸ ὅλον τοῦ ὕδατος καὶ τὸ μέρος, ὕδωρ δὲ καὶ ἐπὶ φυτὸν βαλλόμενον σφαιρικόν.*

40 *Οὐκ ἀλγοῦμεν τὴν κεφαλὴν διαιρούμενοι ὡς κατὰ τἆλλα, ὅτι σάρκα οὐκ ἔχει πολλὴν μυώδη.*

41 *Οἱ ἐκ τῶν νόσων λυθέντες πῶς μᾶλλον ἐκ τῶν ποδῶν λεπίδας ἀπο-* 995 *βάλλουσιν ἢ τῶν χειρῶν; ὅτι ἡ ὕλη κατωφερὴς καὶ ὅτι οἱ πόδες ψυχρότεροι καὶ περιττωματικώτεροι.*

42 *Διαδίδωσιν ὀφθαλμίαν, ὅτι ἐκ τοῦ ὀφθαλμοῦ ἀκτῖνες μετὰ πνεύματος ἐξιοῦσαι νοσώδεις μεταδιδόασι τῷ εὐπαθεῖ τοῦ πάθους. ἡ φθίσις ἀναπέμπουσα ἀέρα σεσηπότα μεταδίδωσι τῷ ὑγιαίνοντι πνεύμονι.* 1000 *ἡ ψώρα εὐχερὴς οὖσα καὶ γλίσχρον ἔχουσα τὸ ἀπορρέον μεταδίδωσιν. ὕδρωπες καὶ ἀποπληξία ⟨οὐ⟩ μεταδιδόασιν ὡς μὴ ἀναπέμποντα ἀπόρροιαν. τὸ μὴ μεταδιδόναι, εἰ μὲν ἐξ ἐπιπολῆς, διὰ γλισχρότητα, παχύτητα, ξηρότητα, ὡς λεύκη καὶ λέπρα, εἰ δὲ κατὰ βάθος, μὴ ἀπορρέοντά τινα λοιμικὴν καὶ σηπτικὴν ἀπόρροιαν, ⟨ὡς⟩ οἱ πυρετοί.* 1005

43 *Τινὲς ἐν τοῖς πυρετοῖς σπλῆνας αὔξονται ἢ διὰ τὸ πίνειν πολὺ ὕδωρ ἢ ὅτι ἀραιόπορος ὢν ὁ σπλὴν δέχεται χεομένας τὰς ὕλας.*

44 *Οἱ γέροντες καὶ παῖδες λιθιῶσι μᾶλλον τῶν νέων διὰ τὰ περιττώματα· ἐκείνων μὲν ἐκ ψυχρότητος, τῶν δὲ παίδων ἐξ ἀδηφαγίας.*

45 *Γαργαλισμὸς καὶ κνησμὸς πελμάτων ὑπνοποιεῖ, ὅτι διὰ τῶν νεύρων* 1010 *μετρία κίνησις ἀνιοῦσα τῷ ἐγκεφάλῳ ἤδει τὴν ψυχὴν καὶ εἰς ἠρεμίαν ἕλκει καὶ ὕπνον, ἢ ὅτι περιττωματικῶν ὄντων τῶν πελμάτων ἡ μετρία κίνησις διαφορεῖ τὰ περιττὰ καὶ ἀνάγει πρὸς ἐγκέφαλον καὶ πληροῖ αὐτὸν καὶ ἐντεῦθεν ὕπνος.*

46 *Αἱ σεληνιακαὶ ἐκλείψεις πλείονες τῶν ἡλιακῶν, ὅτι ἡ σελήνη πίπτει* 1015 *καὶ εἰς τοὺς ὅρους τῶν ἐκλειπτικῶν συνδέσμων καὶ εἰς τὸν κῶνον τῆς γῆς τὸν ἐκ σκιᾶς γινόμενον διὰ τὴν ὀξύρροπον κίνησιν αὐτῆς, ὁ δὲ*

991 *ὑάλου* sec. Al. scripsi: *ἀύλου* **O** ‖ **1002** fort. *ὑδρώτες* (pro *ἱδρῶτες*?) scr. **O** | *οὐ* addidi ‖ **1004** *λεύκη* Al.: *λευκὴ* **O** | *εἰ* scripsi: *ἡ* **O** ‖ **1005** *ὡς* sec. Al. (*ὥσπερ*) addidi ‖ **1011** *ἤδει* Al.: *ἔδει* **O**

ἥλιος μόνον ἐν τοῖς ἐκλειπτικοῖς σκιάζεται. ἐλάττων δὲ τυγχάνουσα τῷ μεγέθει τὸν δίσκον πάντα κρύπτειν οὐ σθένει. κινοῦσι δὲ τότε χαλκὸν 1020 καὶ σίδηρον πάντες ἄνθρωποι ἀπελαύνοντες τοὺς δαίμονας, ὅτι οὐκ ἐπιπέμπουσι τότε οἱ φωστῆρες ἀπορροίας ἀγαθὰς κωλυτικὰς τῶν δαιμόνων.

Τὰ ἑπταμηνιαῖα βρέφη ζῶσι, τὰ δ' ὀκταμηνιαῖα οὔ, ὅτι ὁ ἑπτὰ τέ- 47 λειος καὶ τὰ ἐκ τούτου τέλεια, ὁ δ' ὀκτὼ ἀτελὴς καὶ τὰ ἐκ τούτου 1025 ἀτελῆ καὶ ἑτερόμορφα καὶ οὐ παραμόνιμα. ἑπταμηνιαῖα γεννῶνται διὰ τὴν ἐξ αἵματος χρηστοῦ δύναμιν τῆς μήτρας, εἰ δὲ τοὐναντίον, δεκαμηνιαῖα. τέλειος ὁ ἑπτὰ ὅτι ὁ περίγειος κόσμος ἓξ ἄστροις διοικεῖται. ἑπταμηνιαῖα τὰ βρέφη ὀδοντοφυεῖ, ἑπταετῆ ἀποβάλλει, δὶς ἑπτὰ ἡβάσκει, τρὶς ἑπτὰ ἀνδρειοῦται· ὁ ἑπτὰ κρίσιμος, τούτῳ ἡ σελήνη σχημα- 1030 τίζεται, ἑβδομάσι μὴν διατυποῦται, ἑπτὰ τὰ φωνήεντα. ὁ δέκα τέλειος ὁ συμπεριλαμβάνων τὰ ἐν γενέσει καὶ φθορᾷ καὶ πάντα ἀριθμὸν εἰς ἑαυτὸν συνάγων· ἐφ' ᾧ καὶ οἱ παλαιοὶ τὰς δεξιὰς παρεῖχον, τὸ τέλειον τοῦ ἀριθμοῦ προβαλλόμενοι.

Ἐπὶ τῶν ἠχούντων ὤτων τὸν δάκτυλον ἐμβάλλομεν, ὅτι κινουμένου 49 1035 τοῦ ἀκουστικοῦ πόρου διαφορεῖται τὸ πνεῦμα.

Αἱ θήλειαι βραδέως λιθιῶσι διὰ τὸ εὐρύπορον τοῦ τραχήλου τῆς κύ- 50 στεως.

Τὰ ἄγρια φυτὰ εὔκομα καὶ ἰσχυρὰ ὡς ἐκ τῆς φυσικῆς δυνάμεως τε- 51 λεσιουργούμενα καὶ οὐκ ἀπὸ τέχνης καὶ ὑδάτων ὑγρότητος ἃ θηλύ- 1040 νουσι, οἷον τὸ δένδρον· ἢ ὅτι τῶν μὲν μήτηρ ἐστί, τῶν δὲ μητρυιά.

Οἱ μύες εὑρέθησαν παρὰ τῆς φύσεως εἰς σύνδεσμον τῶν ἄρθρων· 52 ὅθεν ἔνθα μόριον ἰσχυρόν, ἐκεῖ σφαιροειδὴς ὁ μῦς, ἔνθα δ' οὔ, ὑμενοειδής τις. αἱ ἐγκάρσιαι τομαὶ τῶν μυῶν δυσίατοι, ὅτι πολλαὶ ἶνες τέμνονται νευρώδεις· ἡ γὰρ φύσις τὸ νεῦρον διαξάνασα εἰς πολλὰς ἶνας 1045 παρενύφανεν καὶ τὴν σάρκα ἔθετο, ὥσπερ κρόκην στήμονι, καὶ πεποίηκε τὸν μῦν ἐοικότα τῷ ζῴῳ.

Βασκαίνονται οἱ παῖδες μᾶλλον ὡς εὐπαθέστεροι. γίνεται βασκανία, 53 ὅτι ἐκ τῶν ὀφθαλμῶν τοῦ φθονοῦντος ἐξέρχεται ἰώδης τις ἀκτὶς καὶ εἰσέρχεται εἰς τοὺς ὀφθαλμοὺς τοῦ φθονουμένου καὶ τρέπει τοὺς χυ- 1050 μοὺς εἰς δυσκρασίαν καὶ τοὺς χυμοὺς εἰς σῆψιν. διὰ τοῦτο καί τινες εὐλαβοῦνται βλέπειν νεκρούς, ὅτι ἀντιλαμβάνεται ἡ ὅρασις μολυσμοῦ τῶν νεκριμαίων τινός.

1026 *μήτρας* Al.: *μετρίας* **O** ‖ **1027** *ἓξ*] *ἑπτὰ* Al. ‖ **1030** *ἑβδομάσι μὴν* Al.: *ἑβδομὰς ἡμῖν* **O** ‖ **1033** *προβαλλόμενοι* Al.: *-α* **O** ‖ **1033–1034** probl. (48) om. **O** ‖ **1043** utrum *ἐγκάρδιαι* an *ἐγκάρσιαι* incert. **O** ‖ **1045** *στήμονι* Al.: *στιμῶνι* **O** ‖ **1050** *τοὺς χυμοὺς*] immo *τὴν φύσιν*, ut Al.

54 *Ἐπὶ τῶν σφόδρα βηχόντων ἢ ἐμούντων οἷον ἀστέρες πρὸ ὀφθαλμῶν φαίνονται, ὅτι ἡ σύντονος θλῖψις τοῦ θώρακος ἀνωθεῖται τὰ ὑγρὰ σὺν τοῖς πνεύμασιν ἐπὶ τὰ ἄνω πρὸς τοὺς ὀφθαλμοὺς καὶ ἐπιθολοῖ τὸ* 1055 *πνεῦμα τὸ ὀπτικόν. εἰ μὲν οὖν ὁ ἀτμὸς ἐπιμήκης, μακρὰ ὁρῶσιν, εἰ λεκιθώδης, χρυσίζοντα, εἰ καπνώδης, ἀπὸ φλέγματος λευκά, καὶ καθόλου πρὸς τὸ σχῆμα καὶ τὴν χρόαν τὰ φαινόμενα. ἐπὶ φρενιτικῶν ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου ἐπὶ τὸ ὀπτικὸν οἱ ἀτμοὶ παρέρχονται. καὶ οἱ ὑποχύσει πειραζόμενοι τὰ αὐτὰ ὁρῶσιν.* 1060

55 *Οἱ ὑδροποτοῦντες ὀξυωπέστεροι, ὅτι ὁ οἶνος πνεύματα ἐγείρει θολοῦντα τὸ ὀπτικόν.*

56 *Οἱ γλαυκόφθαλμοι ἐν ταῖς ὀφθαλμίαις ὀδυνῶνται πλέον καὶ οὔτε στύψιν φέρουσιν, ὅτι τὸ κρυσταλλοειδὲς καὶ τὰ ὑγρὰ τῶν ὀφθαλμῶν ἔχουσι προπετέστερα ἐπὶ τὰ ἔξω, καὶ διὰ τὴν εὐπάθειαν αἰσθητικώτερον. οἱ μελανόφθαλμοι τὸ ἐναντίον καὶ ἧττον εὐαίσθητοι.* 1065

57 *Ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἁπλῶς ἐμοῦντες φλέγμα κενοῦσιν, οἱ δ' ἐπὶ πλέον χολήν, εἶτα δ' αἷμα. τὸ φλέγμα παχὺ ὂν καὶ ὀλίγῳ ἐρεθισμῷ κινεῖται· εἰ δὲ καὶ χολὴ ἐπιπολάζει, ταχύτερον κινεῖται τοῦ φλέγματος. ἡ φύσις προειδυῖα ὡς ἐκ κακοχυμίας ἐδεῖτο καθάρσεως τὸ σῶμα, τὰς* 1070 *φλέβας ἀπετελεύτησεν εἰς τὸ κύτος τῆς κοιλίας καὶ ἐπὶ μήτρας καὶ ἐπὶ ῥινὸς καὶ ἕδρας. ταῦτα οὖν ἐν τοῖς ὀξέσι πυρετοῖς ἀπὸ τῆς ἐκκριτικῆς δυνάμεως ἀνοίγεται, ἐν δὲ τοῖς καθαρτηρίοις βίᾳ εὐρύνεται, τὸ αἷμα ὕστερον χέεται ὡς οἰκείως τῇ φύσει κατεχόμενον.*

58 *Τὰ βάρη εὐφορώτερον τοῖς ἀριστεροῖς ἀσθενέσιν οὖσι φέρονται, ὅτι* 1075 *τὰ δεξιὰ ὀχυρώτερα καὶ τὸ βάρος ἐπικουφίζει συμπάσχοντα.*

59 *Πῶς τῷ σίφωνι ἕλξιν οἴνου καὶ ἑτέρου εἴδους ποιοῦμεν; οὐχ ἡ ἕλξις τῶν χειλέων ἐπισπᾶται τὸ ὑγρόν, ἀλλ' ἡ βία τοῦ κενοῦ· πᾶν γὰρ πλῆρες ὡς ἀληθές ἐστι. διὰ τοῦ σίφωνος οὖν τὸν ἀέρα τὸν λεπτὸν ἀνάγομεν καὶ τῇ ἀπειλῇ τοῦ κενοῦ συνανέλκεται καὶ τὸ ὕδωρ τῷ ἀέρι. καὶ* 1080 *ἡ σικύα διὰ τοῦτον ἕλκει τὸν τρόπον. ἕλκεταί τι καὶ ὑπὸ θερμότητος ὡς κακίας κατάχρησις, καὶ ὑπὸ ἰσχυροῦ τὸ ἀσθενές, καὶ ἰδιότητι ὡς ὑπὸ μάγνητος σίδηρος, καὶ τὸ αἷμα ὑπὸ τῶν μορίων.*

60 *Αἱ φυσικαὶ δυνάμεις, ἤγουν ἑλκτικὴ καὶ αἱ λοιπαί, σύμφυτοι οὖσαι πρὸς αὐτὸ τὸ ζῆν τὸ ἀναγκαῖον ἔχουσιν, αἱ ψυχικαὶ ἐπίρρυτοι, ἤγουν* 1085 *κινητικαὶ καὶ θρεπτικαί, τὸ χρήσιμον. δ' εἰσὶν αἱ φυσικαὶ δυνάμεις.*

1057 *λεκιθώδης* Al.: *-κυ-* **O** ‖ **1065** *προπετέστερα* Al.: *-ον* **O** | immo *αἰσθητικώτεροι* ‖ **1067** *οἱ*[1] Al.: *ἐν* **O** ‖ **1069** *κενοῦται* Al. ‖ **1077** (et **1079**) *δίφωνι* ut vid. **O** | *εἴδη* **O**: correxi ‖ **1082** *κακίας κατάχρησις*] *θαψίας κατάχρισις* Al. ‖ **1084** *οὖσαι* scripsi: *ὄντι* **O**

πρώτη ἡ ἑλκτική, ἀναγκαία οὖσα διὰ τὴν πρώτην λῆψιν τῆς τροφῆς.
ἐπεὶ δὲ ἔμελλε γίνεσθαι ἀλλοίωσις, πᾶσα δὲ δρᾶσις πρὸς τὸ δρώμενον
χωρίον γίνεται, ἐφευρέθη ἡ καθεκτικὴ ἡ χρονίζουσα τὴν τροφήν. ἔχει
1090 οὖν γ'. ἐπεὶ δὲ τὸ μὲν χρηστὸν ἀπὸ τῆς ἀλλοιώσεως διαδίδοται, τὸ δὲ
περιττὸν ἀπομένει, ἵνα μὴ πληροῖ τὰ ἀγγεῖα, ἐκκρίνεται καὶ ἐντεῦθέν
εἰσι δ', αἳ ἔν τισι μὲν μορίοις ἐπίσης εἰσίν, ἔν τισι δ' ἔχουσι τὸ πλεῖον
δυνάμει καὶ ἐνεργείᾳ· ἐν κοιλίᾳ καὶ ἥπατι ἀλλοιωτική, ἐν σπ⟨λ⟩ηνί,
στομάχῳ, χοληδόχῳ κύστει καὶ νεφροῖς ἑλκτική, ἐν ἐντέροις καὶ οὐ-
1095 ρηδόχῳ κύστει ἀποκριτική, ἐν μήτρᾳ ἡ καθεκτική· ὡς ἐν κυνὶ ἡ
ὀσφρητικὴ μᾶλλον, ἐν ἀετῷ ὀπτική, ἐν τῷ πρωτογεύστῃ Ἰνδικῷ ζῴῳ
γευστική, ἐν ὄφεσι καί τισιν ὀρνέοις ἁπτική, ἐν χησὶν ἀκουστική.

Ε' αἰσθήσεις, ὅτι κατὰ τὸν ἀριθμὸν τῶν αἰσθητῶν καὶ τὰ αἰσθητή- 61
ρια. ἡ ἀφὴ δοκιμάζει τραχέα, λεῖα, σκληρά, μαλακά, ἅπερ εἰσὶν ἐν
1100 τοῖς στερεοῖς, γεῦσις γλυκύ, πικρόν, ἁλμυρόν, ἅπερ ἐν ὑγροῖς, ὄσφρη-
σις δυσώδη, εὐώδη, ἅπερ ἐν ἀτμοῖς, ἡ ἀκοὴ ψόφων καὶ ἤχων γνω-
στική, ἃ περὶ πληγὴν ἀέρος, ἡ ὄψις περὶ τὰ πνεύματα, ἃ ἐν τῷ λε-
πτοτάτῳ καὶ αἰθεροειδεῖ πνεύματι. τὸ γὰρ στερεὸν χεόμενον ὑγρὸν
γίνεται καὶ τοῦτο ἀτμός, ὁ δ' ἀήρ, ὁ δὲ αἰθὴρ καὶ πνεῦμα λεπτὸν καὶ
1105 ὥσπερ σειρὰ ἀπὸ γῆς εἰς οὐρανὸν φθάνει.

Ἐπὶ τῇ τοῦ ὀστέου φθορᾷ ἡ ἐπικειμένη σὰρξ πλαδαρὰ καὶ βρυώδης 62
εὑρίσκεται. ἡ φθορὰ γίνεται κατὰ δυσκρασίαν τοῦ μορίου, ἡ δυσκρα-
σία φθείρει τὴν ἀλλοιωτικὴν δύναμιν καὶ τὸ αἷμα κατὰ φύσιν οὐ με-
ταβάλλεται, ὥστε γνησίαν καὶ ῥοδίζουσαν γεννῆσαι σάρκα.

1110 Τὸ ὄξος τῇ μήτρᾳ πολέμιον, ὅτι αἰσθητική ἐστι λίαν διὰ τὴν ἄμε- 64
τρον ἡδονήν. γέγονε δὲ καὶ ἄγαν νευρώδης διὰ τὸ ἐκτείνεσθαι ἀμέ-
τρως ἐν τῇ κυοφορίᾳ, ὡς καὶ ὁ θώραξ ὑμενώδης καὶ μυώδης. φασί τι-
νες περί τινος ἰατρίνης ὡς διὰ μισθὸν πλείονα ἐτίθει τῇ μήτρᾳ ὄξος,
εἶτα τὴν ὀδύνην θεραπεύουσα ἐζήτει πλείονα μισθόν, καὶ φωραθεῖσα
1115 ἐκολάσθη. ἐν ταῖς ὑστερικαῖς πνιξὶ τὰ εὐώδη προσφέρουσι τῇ μήτρᾳ,
τὰ δὲ δυσώδη τῇ ῥινί, ὅτι τὰ εὐώδη λεπτομερῆ καὶ θερμὰ ὄντα τέμνει
τὸ γλίσχρον τοῦ χυμοῦ τοῦ νοσοποιοῦ, τὰ δὲ δυσώδη ὡς παχυμερῆ ἐμ-
φράττει τοὺς πόρους. ἐν τοῖς ἐπιληπτικοῖς κατάπτωσιν ποιεῖ τὰ δυσ-
ώδη ὡς πτερά, κέρας, λίθος γαγάτης, Θρακίας ὕδατι ἁπτόμενος
1120 ἐλαίῳ σβεννύμενος· ὁ γὰρ διὰ τῶν ῥινῶν ἀναφερόμενος παχὺς
[ἀτμὸς] | παχύνει τὸ πνεῦμα τὸ ψυχικὸν καὶ ἀνεπιτήδειον ποιεῖ τῇ 446r

1087 πρώτη Wk.: ὅτι **O** | οὖσα Wk.: οὖν **O** ‖ 1093 σπληνί Al.: σπηνί **O** ‖ 1097 γευστικόν **O**: correxi ‖ 1109–1110 probl. (63) om. **O** ‖ 1113 ἰατρίου **O**: sec. Al. correxi ‖ 1114 φυραθεῖσα **O**: sec. Al. correxi ‖ 1119 γαγάτης Al.: γαλάτης **O** | Θρακίας Al.: θρακίδ(ος) **O** ‖ 1121 sec. Al. supplevi

ψυχῇ πρὸς ἐνέργειαν· μὴ ὀχούμενον οὖν ὑπὸ τῆς ψυχῆς [τὸ σῶ]μα πίπτει.

65 *Τὰ ἐναντία τὸ αὐτὸ ποιεῖ πάθος, ὡς θερμότης καὶ ψυχρότης ῥῖγος, κατ' ἄλλην καὶ ἄλλην αἰτίαν· γίνεται γὰρ ἀπὸ ξανθῆς χολῆς ῥῖγος δριμείας οὔσης τῷ δακνόμενα τὰ μόρια ἐπεγείρεσθαι πρὸς ἀπόκρισιν. καὶ τούτου συνεχῶς γινομένου καὶ τῆς μὲν κεντούσης, τῶν δὲ μορίων ἐγειρομένων γίνεται τὸ ῥῖγος. γίνεται δὲ καὶ ἀπὸ ψύξεως, τῇ ἀμέτρῳ μεταβολῇ ξενιζομένης τῆς φύσεως τῶν μορίων καὶ πάλιν συνεχῶς ἐπανισταμένων πρὸς ἀπόκρισιν· τὸ γὰρ σύμμετρον φίλον τῇ φύσει, τὸ δὲ ἄμετρον ἀλλότριον. γίνεται δὲ πρῶτον περίψυξις ἐξ ἧς φρίκη καὶ μετὰ ταῦτα ῥῖγος.* 1125 1130

66 *Ἄρτον καὶ οἶνον ἐν πυρετῷ διδόντες πῶς οὐκ ἀνάπτομεν αὐτόν; ὅτι βραχὺν διδόαμεν, ὃς καὶ τῇ θέρμᾳ εὐκόλως ἀναδίδοται καὶ τρέφει τὰ μόρια καὶ διεγείρει πρὸς πέψιν τοῦ νοσοποιοῦ χυμοῦ. ἰστέον δὲ ὡς ταῦτα τὰ δύο πρὸς θρέψιν καὶ ῥῶσιν ἰσοδύναμά εἰσι. καὶ Ὅμηρος· 'σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή'. προτάττεται ὁ σῖτος ὡς μόνος καὶ δι' ἑαυτοῦ τρέφων. ταῦτα καὶ ὀσφραινόμενα δύνανται ῥωννύειν, ὁμοίως καὶ τὸ μῆλον τῇ ὀσφρήσει ῥώννυσιν, ἐσθιόμενον δὲ ὡς ἄρτος καὶ οὐ διὰ ποιότητα. ὄξος ἀνακτᾶται λειποθυμίαν τῷ τέμνειν τὸν ἐν τῷ στομάχῳ χυμόν. καὶ ἕλικες ἀμπέλων καὶ ῥόδα καὶ τὰ ὅμοια ἐπὶ τῶν πυρετῶν δύνανται καὶ ἐμψύχειν καὶ τονοῦν.* 1135 1140

67 *Τὸ ἔλαιον οὐδενὶ τῶν ὑγρῶν μίγνυται διὰ τὸ παχυμερὲς καὶ γλίσχρον καὶ ἄτμητον καὶ τὸ μὴ διδόναι χώραν ἑτέρῳ ὑγρῷ καταβληθῆναι εἰς αὐτό. τὰ ὁμιλοῦντα ἑαυτοῖς ὁμιλεῖ κατὰ κρᾶσιν ὡς τὰ στοιχεῖα, κατὰ παράθεσιν ὡς ὑδρέλαιον, κατὰ μῖξιν ⟨ὡς⟩ αἱ κριθαὶ πυροῖς, κατὰ κόλλησιν ὡς λίθος λίθῳ, κατὰ πρόσφυσιν ὡς αἷμα σαρκὶ ἢ μυελῷ, κατὰ γόμφωσιν ὡς τὰ ξύλα διὰ τῶν γόμφων, κατὰ ἀντοχὴν καὶ περιπλοκὴν ὡς κρίκη, κατ' ἐπιτηδειότητα ὡς ψυχὴ σώματι διὰ μέσου τινός, ὅπερ ἀμφοτέρων ἀναδεχόμενον τὴν φύσιν μίγνυσι τὸ σῶμα καὶ τὸ ἀσώματον, τὸ θεῖον καὶ τὸ γήινον. ἐν γὰρ τῷ ἥπατι τοῦ αἵματος πεττομένου ὑπὸ τῆς συμμέτρου θερμότητος καὶ ὑγρότητος γεννᾶται πνεῦμα· τοῦτο διὰ τῆς κοίλης φλεβὸς μετὰ τοῦ αἵματος ἀνιὸν πρὸς καρδίαν καὶ λεπτυνόμενον γίνεται ἀεροειδές· καὶ πάλιν ἀναπεμπόμενον διὰ τῶν καρωτίδων ἀρτηριῶν πρὸς τὴν βάσιν τοῦ ἐγκε-* 1145 1150 1155

1137 Hom. Il. 19, 161

1122 *τὸ σῶμα* Al.: partim evan. **O** ‖ 1127 *τῆς* Al.: *τῶν* **O** ‖ 1135 *χυμοῦ* Al.: *ψιμοῦ* ut vid. **O** ‖ 1146 *ὡς*[2] Al. ‖ 1153 *κοίλης* Al.: *κοιλ(ί)ας* **O**

φάλου κἀκ τῆς τούτου ψυχρότητος τὴν ἄμετρον ζέσιν ἀποβαλὸν γίνεται αἰθεροειδές, ὅπερ ὄργανόν ἐστι ψυχῆς πρὸς ἐνέργειαν, ὥσπερ ἄγριος ἵππος ὑπὸ χαλινῶν σωφρονιζόμενος, οὕτω καὶ τοῦτο χαλιναγωγούμενον ὑπό τινος ἀρρήτου φυσικῆς δυνάμεως· ἔτι γε μὴν
1160 *καὶ διὰ τῆς ἀναπνοῆς ὁ εἰσιὼν ἀὴρ ἐν τῇ καρδίᾳ λεπτυνόμενος καὶ ἀνιὼν διὰ τῶν ἀρτηριῶν πρὸς ἐγκέφαλον καὶ αὐτὸ τροφὴ καθίσταται τοῦ αἰθεροειδοῦς καὶ ψυχικοῦ πνεύματος· ὅπερ εἰ μὲν σῶμα τυγχάνει, προσῳκείωται τῷ σώματι, εἰ δὲ λεπτότατον καὶ καθαρώτατον καὶ διαυγέστατον, φιλιοῦται ψυχῇ λογικῇ, σῶμα ἀσώματόν πως ὑπάρχον,*
1165 *καὶ δεσμὸς ἔμμεσος τυγχάνει τῶν ἄκρων ἐναντίαν οὐσίαν ἐχόντων· τοῦτο τὸ πνεῦμα καλῶς μὲν εὐσταθοῦν δίδωσι ψυχῇ πάντα κατὰ λόγον ἐνεργεῖν, ἀμέτρως δὲ ψυχόμενον καὶ πιλούμενον καὶ παχυνόμενον καὶ ἀνεπιτήδειον γιγνόμενον πρὸς σύντονον ἐνέργειαν ψυχῆς ποιεῖ τὰς πράξεις ἀργοτέρας καὶ νωθροτέρας· ἀμετρότατα δὲ ψυγὲν*
1170 *καὶ παχυνθὲν καὶ σῶμα γενόμενον παρασκευάζει ταύτην ἀφίστασθαι διὰ τὸ ἀνεπιτήδειον τῆς οὐσίας, ὡς ἐπὶ ληθάργου καὶ κάρου καὶ πόσεως ψυχρῶν δηλητηρίων· πάλιν δὲ θερμανθὲν ἀμέτρως καὶ πλέον τοῦ δέοντος κινούμενον παρασκευάζει ψυχὴν ἀμετρότερον ἐνεργεῖν κατὰ τὰς ἐκστάσεις τῆς ψυχῆς ἐν ταῖς φρενίτισιν· ἔτι δὲ πλέον τοῦτο*
1175 *παθὸν καὶ ἐκδαπανηθὲν ποιήσει πάλιν ψυχὴν ἀφίστασθαι τῷ μὴ εὐπορεῖν τοῦ δεσμοῦντος ἀμφότερα. θεώρει δέ μοι καὶ ἕτερον ἔργον θεοῦ· ἐπειδὴ γὰρ ταύτην ἔμελλεν ἀπὸ σώματος οὐρανίου καὶ θείου κατακλείειν σώματι γηίνῳ, σοφίζεται τὴν κάθοδον σχήματι, κατασκευῇ, χρώματι. αὐτὴν μὲν γὰρ τὴν κεφαλὴν σφαιροειδῆ διετύπωσε*
1180 *καθάπερ μικρὸν οὐρανόν, τὸν δὲ ἐγκέφαλον λαμπρὸν καὶ ἀπέριττον ἔταξε δεδωκὼς αὐτῷ πόρους ζ' τῶν κινουμένων ἀστέρων τὸν ἀριθμὸν διατυπώσας, ὑπερέχειν δὲ τοῦ παντὸς σώματος· καὶ γὰρ ὁ οὐρανὸς ὑπερέχει πάντας τῶν ἐν γενέσει καὶ φθορᾷ.*

Τῶν ζῴων ὅσα ὀλιγοχρόνια πολυτόκα, ὅσα δὲ πολυχρόνια 68
1185 *ὀλιγοτόκα, ὡς ἐλέφας, ὄφις, τὰ δὲ μέσα μέσα. ὁ πυρὸς πολύσπορος ὡς ὀλιγοχρόνιος, τὰ δὲ φυτὰ ἀνάπαλιν.*

Εὔτακτος ἡ κίνησις τῶν παροξυσμῶν, ὅτι τόσον σήπει ἡ φύσις τοῦ 69 *νοσοποιοῦ χυμοῦ ὅσον δύναται καὶ πέψαι. ὁριζομένου οὖν τοῦ πεττομένου ἐξ ἀνάγκης καὶ ἡ δύναμις καὶ ὁ χρόνος. ἀπὸ τοῦ αἵματος ἀτμὸς*
1190 *γεννᾶται ὑγρὸς καὶ θερμός, ὡς ἐν τῷ πόματι τοῦ λέβητος θερμὸν ὕδωρ ἔχοντος· ὃς πηγνύμενος αἷμα γίνεται ὡς ἀπὸ τοῦ ὕδατος νέφος*

1156 *ἀποβαλὸν* Al.: *-ὼν* **O** ‖ **1164** *ψυχῇ λογικῇ* Al.: *-ὴ -ὴ* **O** ‖ **1175** *παθὸν* Al.: *-ὼν* **O** | *τῷ* Al.: *τὸ* **O** ‖ **1178** *κατασκευῇ* Al.: *-ὴ* **O** ‖ **1183** fort. *πάντων* scribendum

καὶ πάλιν ὕδωρ. ἀπὸ τῆς χολῆς λιγνὺς θερμὴ καὶ ξηρά, ὡς ἐπὶ λύχνων καιομένων, ἀπὸ τῆς μελαίνης αἰθάλη, ὡς ἐπὶ ξύλων, ἀπὸ φλέγματος καπνός, ὡς ἐπὶ ξύλων χλωρῶν.

70 *Τὸ μέλι παλαιούμενον καὶ ὑπερεψόμενον πικροῦται διὰ τὴν ἀποβολὴν τοῦ ὑγροῦ, οἱονεὶ τοῦ ἄνθους ἀπολλυμένου καὶ τῆς τρυγὸς ἀπομενούσης, ὡς ἐπὶ οἴνων ἡ γλ⟨υκ⟩ύτης ἐκ θερμότητος πλείονος καὶ ξηρότητος, ἡ ἁλμυρότης ἐκ ξηρότητος πλείονος καὶ ψυχρότητος, ἡ ὀξύτης ἐκ ψυχρότητος πλείονος καὶ ὑγρότητος, ἡ αὐστηρότης ἐξ ἐπιτεταμένης πλείονος ξηρότητος καὶ ψυχρότητος, ἡ πικρότης ἐκ ξηρότητος πλείονος καὶ θερμότητος, τὸ λιπῶδες ἐξ ὑγρότητος πλείονος καὶ βραχείας θερμότητος.* 1195 1200

71 *Οἱ μεθύοντες πάντα στρεφόμενα ὁρῶσιν, ὅτι πολλῆς ἀναθυμιάσεως τικτομένης καὶ μὴ δυναμένης ἐξελθεῖν διὰ τῆς κόρης τῶν ὀμμάτων πληροῦται καὶ περιδινεῖται ὁ ἐγκέφαλος. ὅθεν καὶ ἰλιγγιῶσι κατὰ μεταφορὰν τῶν ὑδάτων. τὸ σκότωμα δὲ γίνεται ἀπὸ χυμῶν πολλῶν γεννώντων ἀτμοὺς καὶ πληρούντων τὸν ἐγκέφαλον.* 1205

72 *Εἰ τὰ νεῦρα παρ' ἐγκεφάλου καὶ τοῦ νωτιαίου μυελοῦ πέμπονται, πῶς διάφορον ἔχει ἐνέργειαν; διὰ τὴν τοιάνδε κατασκευήν· τὸ γὰρ ὀπτικὸν τέτρηται νεῦρον, τὸ ἀκουστικὸν ἐξήπλωται, τὸ τοῦ στόματος τῆς κοιλίας περιειλεῖται, τὸ δὲ τῆς κοιλίας σφαιροῦται. τὸ αὐτὸ δὲ καὶ ἐπὶ κιθάρας, ἥτις τῷ διαφόρῳ τῶν νευρῶν ποιεῖ τόνον.* 1210

73 *Αἱ κυοφοροῦσαι περὶ δεύτερον καὶ τρίτον κιττῶσιν, ὅτι ἡ φύσις διὰ τὴν τοῦ ἐμβρύου διάπλασιν συνάγει τὸ καταμήνιον ἐν τῇ μήτρᾳ. τοῦτο δ' ἂν εὑρεθῇ κακόχυμον, πληροῖ τὸ στόμα τῆς γαστρός, κινούμενον δὲ ἐπεγείρει ὀρέξεις ἀλλοκότων τροφῶν, εἰ μὲν εἴη μελαγχολικός, ἀσβόλης καὶ ὀστράκων, εἰ φλέγμα, ὀξωδῶν, εἰ λεκιθώδης, κνισσωδῶν, εἰ μῖξις, ποικίλη ἡ ὄρεξις. μετὰ δὲ τρίμηνον παύεται τὸ τὸ πλασθὲν ἀναλίσκειν τὸ πλεονάζον τοῦ σώματος καὶ μηκέτι ἀναπέμπεσθαι πρὸς τὸν στόμαχον. τοῦτο πάσχουσι καὶ βουλιμιοῦντες καὶ κολικευόμενοι διὰ τὸ πληροῦσθαι τὸ στόμα τῆς γαστρὸς χυμῶν, οὓς τὸ καθαρτήριον ὠφελεῖ. 'κιττῶ' λέγεται ἀπὸ τῆς κίττης τοῦ ζῴου ἀεὶ βώλους ἐσθιούσης ἢ ἀπὸ τοῦ ποικίλου τῆς θέας καὶ τοῦ ποικίλου τῶν ὀρέξεων.* 1215 1220

74 *Διὰ τί τὸ φθινόπωρον ἀνώμαλον ἔχει θάλπος καὶ κρύος; ὅτι φύσιν ἔχει ἄρρητον μοχθηράν, ἢ ὅτι ὁ ἥλιος τὴν ζώνην κινούμενος ταύτην τοῦ ζῳδιακοῦ τὴν γῆν οὕτω τρέπει, ἢ διὰ τοὺς διαφόρως πνέοντας ἀνέμους, ἢ ὅτι ἡ γῆ ὑπεκκαεῖσα ἀπὸ τοῦ θέρους εἰς ψυχρότητα μετέ-* 1225

1192 *λύχνων* Al.: *λίθων* **O** || **1197** *γλύτης* **O**: correxi || **1217** *λεκιθώδης* Al.: *-κυ-* **O** || **1220** immo *βουλιμιῶντες* | *κολικευόμενοι* Al.: *-κεν-* **O** || **1222** *κίττα* Al.

βαλε καὶ τοιαύτην αὖραν ἀναπέμπει· ἄλλοι κἂν καὶ ψευδῶς ὅτι μέσον ἐστὶ θέρους καὶ χειμῶνος. τὸ ἀπὸ τῆς ἕω μέχρι καὶ τοῦ γεύματος
1230 *ἔοικε τῷ ἔαρι, ἡ μεσημβρία τῷ θέρει, τὸ μέχρι ἑσπέρας φθινοπώρῳ, ἡ νὺξ χειμῶνι.*

Ὁ κόπος ξηραίνει καὶ πῶς ποιεῖ ὕπνον, εἴ γε ἡ ξηρότης αἰτία ἀγρυ- 75
πνίας; οὐ κυρίως ὁ κόπος ὕπνον ποιεῖ, ἀλλὰ διὰ τῆς ψυχρότητος· ὁ γὰρ κόπος ξηρότητα ποιεῖ· ἡ δὲ τῆς ὑγρότητος ἀπώλεια καθαιρεῖ τὴν
1235 *θερμότητα· αὕτη δὲ αὔξει τὴν ψυχρότητα· ἡ οὖν φύσις ἀναπαύεται πρὸς τὸ πάλιν συνάξαι ὑγρότητα.*

Βάρος τι πῶς καθ' αὑτὸ μὲν βυθίζεται, ὑπὸ δὲ σανίσι βασταζόμενον 76
οὔ; ὅτι ὁ ἀὴρ διεισδύνων εἰς τοὺς πόρους τῶν σανίδων ἐπινήχεσθαι ποιεῖ τὰ βάρη. ὁ δὲ κίων καὶ ὁ σίδηρος πυκνότερα ὄντα καὶ μὴ δεχό-
1240 *μενα πνεῦμα οὐ νήχεται. οὕτω καὶ οἱ ἐν θαλάσσῃ βυθιζόμενοι μεθ' ἡμέρας, ἅτε τῇ σήψει τοῦ σώματος πνεύματος γεννηθέντος τοῖς βρογχίοις καὶ τῷ πνεύμονι κοῦφον γίνεται καὶ ἐπινήχεται. ὅθεν καὶ πειράτης τις κτείνων ἄνδρας ἀνελάμβανε τὸν πνεύμονα. καὶ τὰ ἀπαθῆ τῶν ᾠῶν εἰς ὕδωρ βυθίζεται, τὰ δὲ ἐμπνευματωθέντα τῇ ἐξυδαρώσει*
1245 *τοῦ ὑγροῦ ἐπινήχεται.*

Ὕες καὶ κύνες τυπτόμενοι τῶν βοῶν μᾶλλον βοῶσιν, ὅτι καὶ πλεῖον 161
λυποῦντα καὶ θυμοῦντα· δηλοῖ δὲ ἥ τε τῶν ἀγρίων ὁρμὴ καὶ ἡ τῶν κυνῶν ὑλάκτισις.

Οἱ μὲν πλεῖστοι τῶν παλαιοτέρων ἰατρῶν σποράδην ἐξεῦρόν τινα
1250 *τῆς ἰατρικῆς ἐκ κληδόνων ἢ τριόδων συνάγοντες καὶ ἀπὸ τύχης ἢ μαντείας ἢ κλήσεως δαιμόνων ἢ ἄλλων τινῶν τρόπων, Ἱπποκράτης δὲ ὁ τῶν Ἀσκληπιαδῶν ἡγεμὼν ταύτην, ὡς ἂν εἴποι τις, πλαζομένην καὶ συνάξας καὶ τελείως ὑφάνας πλήρη καὶ ἀρτίαν εἰργάσατο κεφαλὴν ἐπιθείς. καὶ οὐκ ἄν τις ἁμάρτοι λέγων ὡς ὁ προνοητικὸς θεὸς ἐλεήσας*
1255 *τὸ ἀνθρώπινον γένος ἀλλεπαλλήλοις νόσοις ἀπολλύμενον αὐτὴν τὴν φύσιν σαρκώσας Ἱπποκράτην κατήγαγεν πρὸς ἀρτίαν ταύτης παράδοσιν. ἴσως γὰρ καὶ τοῦτο αἰνίττεται κατὰ τὸ προοίμιον τῶν Ἀφορισμῶν*

1246–1248 Al. Probl. IV 161 || **1249–1288** Al. Probl. III praef. || **1257** sqq. respicit ad Hipp. Aph. I 1

1230 *ἔαρι* Al.: *ἀέρι* **O** || **1239** *πυκνότερα*] *πυκνοπόρος* Al. || **1241** post *ἡμέρας* habet *ἀναπλέουσιν* Al. || **1247** *ἥ τε … ὁρμὴ* Al.: *ἤτοι … ὁρμῇ* **O** || **1248** leg. *ὑλάκτησις*? || **1254** *λέγων* Al.: *λόγων* **O**

λέγων ὡς ʽἐπειδὴ κατὰ τὴν πεῖραν ἰατρικὴ σχεδὸν ἀκατάληπτός ἐστιν – οὔτε γὰρ ὅτε βουλόμεθα τοῖς πάθεσι τῶν ἀνθρώπων ἐντυγχάνουσιν οἱ ἰατροί· τύχῃ γὰρ καὶ τῷ σπανίῳ τῆς γενέσεως δουλεύει 1260 *ταῦτα –, ἔτι μὴν καὶ ἐπικίνδυνος τῷ ἐν σώματι, ῥευστῷ μὲν διὰ τὴν ὕλην καὶ ἀβεβαίῳ, κεκτημένῳ δὲ καὶ θείαν δύναμιν ψυχικήν, γυμνάζεσθαι τὴν ἰατρικὴν τέχνην καὶ οὐκ ἀψύχῳ καὶ ἀτίμῳ καθάπερ τὰς ἄλλας τέχνας· πρὸς δὲ τούτοις καὶ τὰ πάθη ὑπὸ πολλῶν αἰτίων γεννᾶσθαί τε καὶ αὔξάνεσθαι καὶ διὰ τοῦτο δυσχεραίνειν τὴν πεῖραν ἐν τῷ* 1265 *διακρίνειν τὸ ποιητικὸν αἴτιον· φέρε τῷ λόγῳ ψιλῷ χωρὶς ὑποκειμένης ὕλης ἀσωμάτως πᾶσαν περιλαβὼν ἐν ὀλίγῳ χρόνῳ διδάξω καὶ διὰ τοῦτο καὶ ἐπιστημονικὸν λόγον ποιήσω καὶ τὰς αἰτίας πάσας ὑποθήσομαι σὺν ταῖς διαγνώσεσι πρὸς τὸ σὲ λοιπὸν τῇ πείρᾳ γυμνάζειν τὸν λόγον, [τότε δ'] ἄν σοι κατὰ τύχην περιπέσῃ τι πάθος, ἐφαρμόζων τὸν* 1270 *λόγον καὶ γυμνάζων καὶ ἀληθῆ τοῦτον εὑρίσκων.ʼ τὸ δὲ μέγιστον τοῦ ἀνδρὸς ὅτι οἱ παρ' αὐτοῦ λεγόμενοι Ἀφορισμοὶ [οὐχ] ἁρμόζουσι μόνῃ ἰατρικῇ ἀλλὰ καὶ κοινῶς παντὶ τῷ βίῳ· νόμοι γάρ εἰσι καθολικοὶ θεσπίζοντες καὶ κανονίζοντες τὰ γινόμενα. ὅταν λέγῃ ʽἐν τοῖσι γυμνα-*
446ᵛ *στικοῖσιν ἐπ' ἄκρον εὐεξίαι σφαλεραίʼ | καὶ ʽπᾶν τὸ πολὺ τῇ φύσει* 1275 *πολέμιονʼ καὶ ʽὕπνος ἀγρυπνίη μᾶλλον γιγνόμενα τοῦ μετρίου κακόνʼ, καθολικὸν δίδωσιν ἡμῖν κανόνα καὶ νόμον ἐπὶ παντὸς πράγματος, ὡς πᾶν μέτρον ἄριστον, καὶ πάλιν ʽτὰ μὴ καθαρὰ σώματα ὅσα ἂν θρέψῃς μᾶλλον βλάψῃςʼ, ὃ δύναται καὶ περὶ ψυχὴν μεταφέρεσθαι· οὕτω γὰρ ὁ θεῖος Πλάτων ἔφη· ʽτὰς μὴ καθαρὰς ψυχὰς ὅσῳ ἂν παιδεύσῃς μᾶλλον* 1280 *βλάψῃςʼ· τῆς γὰρ ἀσωμάτου ψυχῆς ἀσώματος τροφὴ παίδευσις. καὶ ἐπὶ ἄλλων δὲ ἀφορισμῶν τὸ εἰρημένον κρίνων εὑρήσεις. ἔχουσι δὲ καὶ τὸ διωρισμένον καὶ τὸ συνεχές, ὃ καὶ αὐτὸ τελείας ἀρετῆς ἐστι σύμβολον· ὡς γὰρ ἐπὶ τῶν γραμμικῶν καὶ ἐπ' αὐτῶν, εἰ οὕτως ἔτυχεν, ὁ πέμπτος τὸν τέταρτον σαφηνίζει καὶ ὁ τέταρτος τὸν τρίτον καὶ ὁ* 1285 *τρίτος τὸν δεύτερον καὶ ὁ ἐφεξῆς ὡσαύτως, καὶ προβαίνων σαφῶς τοῦτο ποιεῖται τὴν τάξιν φυλάττων τοῦ λόγου καὶ τὸ ἀκόλουθον τῆς αἰτίας ἐπὶ ἡλικιῶν ἢ ὡρῶν καὶ παθῶν καὶ τῶν παραπλησίων.*

1274 sq. Aph. I 3 || **1275** sq. Aph. II 51 || **1276** Aph. II 3 || **1278** sq. Aph. II 10 || **1280** cf. Pl. Phaed. 67 b 2; Hipp. Aph. II 10; Pall. Sect. 71, 21–72, 4

1258 *ἰατρικὴ* Al.: *-ῆς* **O** || **1270** *τότε δ'* Al.: evan. **O** || **1272** *οὐχ* Al.: evan. **O** || **1275** ante *ἐπ'* habent *αἱ* Al., Hipp. | *εὐεξίαι* Al., Hipp.: *-ίας* **O** || **1279** *βλάψῃς*] term. non pro certo leg. **O**, potius *-ῃς* || **1283** *αὐτὸ* Al.: *-ὸς* **O**

Οἱ ἵπποι ὅταν ἐκφεύγωσιν οὐ κινοῦσι τὰς οὐράς, ἀλλ' ὅταν γυμνά- 164
1290 *ζωνται, ὅτι ἡ κίνησις τῆς οὐρᾶς διὰ πόνον ἢ διὰ κακίαν τῆς ψυχῆς. συμβαίνει δὲ τοῦτο τοῖς μαλακοῖς· οἱ γὰρ εὐγενεῖς εὐκινήτους καὶ ὀρθὰς ἔχουσιν αὐτάς.*

Διὰ τί οἱ μακρὰν ἔχοντες τὴν οὐρὰν ἀσθενῆ καὶ μὴ δασεῖαν κακοὶ 165–166 *τὰς ψυχὰς ὡς ἐπὶ τὸ πολύ; ὅτι σημαντικὸν ἡ οὐρὰ ἀρετῆς καὶ κακίας,*
1295 *ὀρθὴ οὖσα ἢ ἀνέσιμος ἢ κινουμένη ἢ ἑστῶσα· τῶν θαρρούντων γὰρ ὀρθή, τῶν φοβουμένων καὶ ἀπεστραμμένων ὑπειλημμένη. αἴτιον δὲ ὅτι συνέχειά τις ἀπὸ τῶν κυρίων τόπων τοῦ ζῆν, ἐν οἷς ὁ θυμός, εἰς ταύτην συνάπτει.*

Ἡ ἵππος ὀλιγοχρόνιος οὖσα πλείω χρόνον φέρει ἐν γαστρί, ὅτι πολὺ 167
1300 *λείπεται τῶν μακροβίων καὶ ὅτι ἀτονώτατον· μονοτόκον γάρ.*

Τῶν ἵππων οἱ ἄρρενες μᾶλλον χρεμετίζουσι, τῶν δὲ προβάτων καὶ 168 *αἰγῶν τὰ θήλεα μᾶλλον βληχᾶται, ὅτι τῶν φωνῶν αἱ μὲν θυμικαί, αἱ δὲ ἄθυμοι· τὰς μὲν οὖν θυμικὰς οἱ ἄρρενες ἀφιᾶσι, τὰς δ' ἀθυμοτέρας τὰ θήλεα. ὁ οὖν χρεμετισμὸς θυμοῦ, ἡ δὲ βλήχησις ἀσθενείας.*

1305 *Τῶν ἵππων ἐὰν μίαν ἢ δύο σπάσῃ τρίχας, πονοῦσιν, ὅτι οὐκ ἀκο-* 169 *λουθεῖ τῇ ἀντισπάσει τὸ δέρμα. ἐὰν δὲ ἀθρόας ἑλκύσῃ τις, οὐ γίνεται σπασμός· τὸ γὰρ δέρμα συνακολουθεῖ.*

Αἱ ἵπποι ὅταν σκυζῶσιν ἐκτομάζουσαι πρὸς ἄρκτον καὶ πρὸς μεσημ- 170 *βρίαν θέουσιν, ὅτι δέονται καταψύξεως· ἐκ θερμότητος γὰρ τὸ πάθος,*
1310 *βορρᾶς δὲ καὶ νότος ὡς ἐπὶ τὸ πλεῖστον πνέουσιν.*

Αἱ ἵπποι ἐὰν ὀχευθεῖσαι βρεχθῶσιν ἀνοχεύονται, ὅτι ψύχονται τὰ 171 *σώματα καὶ κωλύονται συλλαμβάνειν τὸ σπέρμα. διὰ τοῦτο καὶ πάλιν δεῖται ὀχείας.*

Τοῖς ἵπποις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δ' ἀνθρώποις οὔ, 172
1315 *τοῖς μὲν διὰ τὴν ἀσθένειαν τῆς τριχός, τοῖς δ' ἵπποις οὐ κεκώλυκεν ἀλλ' ἔφθειρε· διὸ καὶ λευκαὶ φύονται τούτοις· διὰ τὸ δέρμα ἀσθενέστερον γεγονέναι καὶ ἡ λευκὴ θρὶξ ἀσθενεστέρα.*

Οἱ ὄνοι δύσριγοι καὶ ψυχροὶ καὶ διὰ τοῦτο οὐ γίνονται ἐν τῇ Σκυθίᾳ. 173

1320 *Τῶν ἵππων οἱ ὀρθὰ τὰ σκέλη ἔχοντες καὶ ἐπισκύνιον μέγα λίαν* 174 *χωλοὶ γίνονται ταχέως, εἰ δὲ μέσον, ἀσφαλέστατοι· ἢ ὅτι μικρὸς μὲν*

1289–1367 Al. Probl. IV 164–192

1289 *γυμνάζωνται* Al.: *-ονται* **O** ‖ **1293** *κακοὶ* Al.: *κοντοι* ut vid. **O** ‖ **1295** *ἑστῶσα* Al.: praeter *ῶσα* non facile leg. **O** ‖ **1296** *ὑπειλημμένη* Al.: *-οι* **O** ‖ **1299** *χρόνον* Al.: *χρόνω* **O** ‖ **1303** *ἀφιᾶσι* Al.: *ἀφίασι* **O** ‖ **1306** *ἑλκύσῃ* Al.: *-σει* **O** ‖ **1320** *μέγα* Al.: *μέγας* **O** ‖ **1321** *χωλοὶ* Al.: *χαλοὶ* **O** ‖ **1321** sq. immo *μικρὸν μὲν ὄν*, ut Al.

ὢν οὐ παρέχει ἔνδοσιν, ἀλλ' οἷον πληγὴ γίνεται. ὅταν δὲ σύμμετροι, ἐνδίδωσι καὶ γίνεται βάσις, οὐ πληγή. ἐὰν δ' αὖ μείζω τοῦ καιροῦ, καταρρήγνυται πλείονος τοῦ βάρους ἐμπίπτοντος διὰ τὴν ἔνδοσιν. διὸ καὶ αἱ χελῶναι ἀνόμοιοι· τῶν μὲν γὰρ μικρὸν ἐχόντων παραπίμπλαν- 1325
ται τὰ σκέλη καὶ ἀνοιδεῖ, τῶν δὲ μέγα καταρρήγνυται καὶ ἀφελκοῦται ὁ τόπος.

175 *Ἵππος ἐὰν ἐμέσῃ, θνήσκει, ὅτι παρὰ φύσιν· ἢ οὐ τούτου αἴτιον, ἀλλὰ σημεῖον ἑτέρου μείζονος, ὅτι ἐν τοῖς εἰλεοῖς ἂν ἐμῶσι κόπρον.*

176 *Ἐὰν διαρροίᾳ πέσωσι, θνήσκουσιν, ὅτι μανὴ καὶ πυκνὴ ἡ σὰρξ αὐ-* 1330
τῶν· σημεῖον δὲ τὸ εὐίδρωτα καὶ εὐκίνητα εἶναι.

177 *Οἱ γηραίτεροι τὸ κάτω χεῖλος προτείνουσι, ὅτι ἀνίεται αὐτῶν ἡ φύσις, τὸ δὲ κάτω χεῖλος μεῖζον καὶ σαρκωδέστερον καὶ ἧττον πρὸς τῷ ὀστῷ.*

178 *Θᾶττον οὐροῦσιν ἐν τοῖς μαλακοῖς χωρίοις ἢ τοῖς στερεοῖς, ὅτι* 1335
ῥαίνονται ἧττον· φεύγει δὲ τοῦτο σφόδρα. καὶ ὅταν ὑποστρωννύωνται ἐπὶ τῷ καθεύδειν οὐροῦσιν· ἡ ἄνεσις δὲ τοῦ σώματος αἰτία ἐστί. τὸ δὲ στερεὸν ἀντίτυπον ὂν συντονίαν τινά. ἡ διαγωγὴ τῶν σκελῶν καὶ ἡ πρόσνευσις τῆς ὀσφύος εἰς τὴν πρόθεσιν.

179 *Ἵπποι καὶ ὄρνεις ἥκιστα δύνανται πεινᾶν, ὅτι ἔχουσι θηρίδια ἐν τῇ* 1340
ἄνω κοιλίᾳ παραπλήσια πρὸς τοὺς ἕλμινθας, ἃ ἐξαναλίσκει τὴν τροφήν.

180 *Αἱ ἵπποι ῥᾷον φέρουσιν ἐν τῇ κυήσει ἡμιόνων καθάπερ καὶ αἱ γυναῖκες τὰ ἄρρενα τῶν θηλείων· ἰσχυρότερα γὰρ ὄντα μᾶλλον ἐξαναλίσκει τὰ περιττώματα.* 1345

182 *Ἐκτιτρώσκει ῥᾳδίως ἵππος, ὅτι σφοδρότατον καὶ συντονώτατον.*

184 *Οἱ ποικίλοι ἵπποι ὡς ἐπίπαν ἀγεννεῖς, τῶν δὲ φαλίων καί τινες γενναῖοι, καίτοι ἡ φαλιότης ποικιλότης, ὅτι ἐπ' ἔλαττον ἡ ἐξαλλαγὴ τοῦ φαλίου· ἡ ποικιλία δὲ διὰ τὸ ἀνώμαλον ἀγεννεῖς ποιεῖ.*

185 *Οἱ πῶλοι κατακλίνονται μᾶλλον τῶν γηραιοτέρων, ὅτι τοῖς μὲν πολὺ* 1350
τὸ βάρος, τοῖς δὲ ὀλίγον· τὰ μὲν γὰρ κῶλα οὐκ ἐπαυξάνεται τοῖς ἵπποις, τὸ δὲ σῶμα.

186 *Τοῖς ἵπποις τὸ περίττωμα ἐν γυμνασίᾳ δυσωδέστερον, ὅτι ⟨***⟩ καὶ τοῖς καθαιρομένοις κάτω ὑπὸ φαρμάκων, ἢ ὅτι τότε ἧττον πέττουσι, τὰ δὲ ἄπεπτα δυσωδέστερα.* 1355

1325 *μικρὸν* Al.: *-ῶν* **O** ‖ 1326 *ἀνοιδεῖ* Al.: *-οῖ* **O** ‖ 1328 *τούτου* ut codd. quidam Al.: *τοῦτο* Al. ‖ 1329 *εἰλεοῖς* Al.: *ἠλ-* **O** | *ἂν ἐμῶσι* Al.: *ἀνιμῶσι* **O** ‖ 1330 *πυκνὴ*] immo *οὐ πυκνὴ* ‖ 1336 *ὑποστρωννύονται* **O**: correxi ‖ 1343 *ἡμιόνων* ut codd. Al. ‖ 1345–1346 probl. (181) om. **O** ‖ 1346–1347 probl. (183) om. **O** ‖ 1349 *ἀγεννεῖς* ex *ἀσθενεῖς* corr. **O** ‖ 1353 exciderunt aliqua, cf. Al.

Ἵππος καὶ ὄνος οὐρεῖ μετὰ τὴν ὀχείαν, ὅτι πονοῦσι διὰ τὸ μέγεθος, 187
βοῦς δὲ διὰ τὴν συντονίαν.

Ἵππος καὶ ὄνος ἐξουρεῖ τὸ σπέρμα, βοῦς δὲ οὔ, ὅτι τοῖς μὲν πόρρω 188
ἐξακοντίζεται τὸ σπέρμα διὰ τὴν συντονίαν, τοῖς δὲ ἐγγύς.

1360 Ἐπὶ τὰ τῶν ἵππων ἕλκη κριθὰς κεκαυμένας ἐπιπάττοντες οὐ λευκαὶ 190
φαίνονται αἱ οὐλαί, ἀλλ' ὅμοιαι τῷ λοιπῷ δέρματι, ὅτι τὸ τῆς κριθῆς
κατάκαυμα ξηρὸν ὂν ἀναλαμβάνει τὴν ὑγρότητα καὶ ἐξομοιοῖ τὸ
δέρμα τῷ ἄλλῳ.

Οἱ ἵπποι κατὰ τὴν ἕδραν ποταμοῖς ἀποπνίγονται, ὅτι εὐρὺ τὸ ἔν- 191
1365 τερον ἔχουσιν, ἐπεὶ καὶ εὐμαρῶς ἀφοδεύουσιν.

Τὰς ἵππους καὶ τὰς ὄνους, ὅταν ὀχευθῶσι, μετὰ τὴν ὀχείαν διώκου- 192
σιν, ὅτι οὐροῦσι καὶ συνεξουροῦσι τὴν γονήν.

Τὰ στρογγύλα ἕλκη δυσαχθέστερα τῶν ἄλλων, ὅτι τὰ κυκλικὰ σχή- 1
ματα κἂν καὶ μικρὰ τῇ περιοχῇ μείζονα τῷ ἐμβαδῷ. Ἡρόφιλος λέγει
1370 ὅτι ἐν πᾶσι τῷ μέσῳ πλεῖον κίνησις, ὡς ἐν ποταμῷ καὶ πυρί· ἐπεὶ οὖν
τὰ στρογγύλα ἕλκη συνῆκται εἰς τὸ μέσον κατὰ πᾶν μέρος,
σφοδροτέρα γίνεται ἡ κίνησις. ἢ ὅτι ἐν τοῖς ἄλλοις σχήμασι τῶν ἑλ-
κῶν συμβαίνει ἡ ἐπούλωσις θᾶττον διὰ τὸ τὰ ὑγιῆ σώματα συμβαίνειν
εἶναι πλησίον, ἐπὶ δὲ τῶν στρογγύλων ἐπίσης ἀφέστηκε τῶν ἑλκῶν.

1375 Τὰ ἄκρα τοῦ σώματος ἐπιτήδεια πρὸς σῆψιν ὡς ἐμπερίψυκτα, καὶ 2
πλέον τὰ κοῖλα διὰ τὸ πλεονάζειν τῆς σηψοποιοῦ ὑγρότητος.

Μετὰ ὑγείαν ἑλκῶν καὶ φλεγμονῶν κνησμοὶ γίνονται, ὅτι ἐπικρα- 3
τοῦντος τοῦ οἰκείου ἀπελαύνεται ἐκ βάθους τὸ ἀλλότριον.

Οἱ ὑδρωπικοὶ διψῶσιν ὡς ζητοῦντες τοῦ παρὰ φύσιν ὑγροῦ τὸ κατὰ 4
1380 φύσιν, ἢ ὅτι οὐκ εἰς τοὺς δεομένους πόρους τὸ κατὰ φύσιν ὑγρὸν με-
ρίζεται, ἀλλ' ἔξω διωθεῖται. διψῶσιν οὖν ὡς μὴ πίνοντες.

Εἰ διψῶντες παραβάλοιμεν εἰς τὸ λοετρόν, τὸ σῶμα οἱονεὶ ἐπισπᾶ- 5
ται διὰ τῶν τῆς ἐπιφανείας πόρων τὸ ὑγρὸν καὶ γίνεται ἄδιψον, ἐπὶ
δὲ τῶν μὴ διψώντων διψητικόν, ὅτι τὸ μὴ προκείμενον ὑγρὸν ἐν τῷ
1385 σώματι προΐεται διὰ τῶν ἱδρώτων.

Ἧπαρ ἢ σπλῆνα ἢ πνεύμονα πασχόντων ἐπὶ τῶν πεπονθότων ῥάων 6

1368–1432 Cass. Probl. 1–18 ‖ 1369 *Ἡρόφιλος*] immo Asclepiades sec. Cass. p. 144, 18–145, 9

1358 *τοῖς*] immo *τῷ*, ut Al. ‖ 1359–1360 probl. (189) om. **O** ‖ 1360 *οὐ* Al.: *αἱ* **O** ‖ 1375 *εὐπερίψυκτα* Cass. ‖ 1379 post *ζητοῦντες* sc. *πρὸ* vel sim. ‖ 1383 *τὸ ὑγρὸν* Cass.: *τῶν ὑγρῶν* **O** ‖ 1384 *διψητικῶν* **O**: correxi | *μή*[2] delendum est ut vid.

ἡ κατάκλισις, ἐπὶ δὲ τῶν ⟨μὴ⟩ πεπονθότων δύσκολος, ὅτι ἐκκρεμασμός τις γίνεται τῶν πασχόντων μορίων.

7 *Ἐν τοῖς παροξυσμοῖς τὰ ἄκρα περιψύχεται, ὅτι ὅπου ἡ ἀρχὴ τῆς κινήσεως, ἐκεῖ καὶ ἡ ὕλη· ἡ δὲ ἀρχὴ ἐν τῷ βάθει, ἐν τούτῳ καὶ ἡ ὕλη·* 1390 *καὶ διὰ τοῦτο τὰ ἄκρα ψυχρά.*

8 *Ἡ δίψα κατὰ ξηρότητα γίνεται, ἥτις πύκνωσιν ποιεῖ. διψῶντες οὖν εἰ προσενέγκοιμεν ὕδωρ ψυχρόν, ἡδόμεθα, καίτοι τῆς πυκνότητος ἐπιτεινομένης τῷ ψυχρῷ. καὶ ὥσπερ τὸν ὕπνον οὐ λέγομεν χαλαστικὸν ἐν τοῖς σώμασιν, οὕτως οὐδὲ τὸ ὕδωρ, ἐπειδὴ ἡδονῆς παρεκτικόν ἐστιν. ἡ* 1395 *διὰ τοῦ σκάφους αἰώρα διαφορητικὴ τῶν παχυμερῶν σωμάτων, τοῦ δὲ αἰσθητικοῦ πνεύματος πυκνωτικὴ καὶ διὰ τοῦτο ὕπνου ποιητική.*

9 *Ἐπὶ τὴν μήνιγγα εἰ γένηται ἕλκος, θανάσιμον διὰ τὸ τὴν συλλεχθεῖσαν ἐκ τῆς ἑλκώσεως ὕλην ἐπὶ τὰ κύρια μέρη τοῦ ἐγκεφάλου θλῖψιν ἀπεργάζεσθαι καὶ σπασμόν, μὴ δυνηθεισῶν τῶν ὑλῶν διαπνεῦσαι.* 1400

10 *Ἰστέον ὅτι κυριώτατα τὰ περὶ τὸ βρέγμα μέρη ὄντα λεπτὴν ἔχει τὴν ὑποκειμένην μήνιγγα καὶ διὰ τοῦτο ἐπικίνδυνον. πρὸς δὲ τὴν συνούλωσιν ἐλθόντα εὐιατότερα, ὅτι σφοδροτέρα γίνεται ἡ συνέργεια τῶν κυριωτέρων μερῶν. τὰ περὶ τὸ ἰνίον ἀκινδυνωδέστερα διὰ τὸ τὴν μήνιγγα αὐτῶν σαρκώδη εἶναι, δυσιατότερα διὰ τὸ μὴ ἔχειν συνέργειαν* 1405 *πολλήν.*

11 *Ἐφ' ὧν τοιαῦτα τραύματα περὶ τὴν κεφαλήν ἐστιν, εἰ αὐτομάτως λυθείη ἡ κοιλία, θάνατος, εἰ δ' οὖν, σωτηρίαν ὑποφαίνει· ὅτι, εἰ ἡ γαστὴρ λυθῇ ἐκ τῆς κεφαλῆς τὴν ὑπόστασιν ἔχουσα, κίνδυνον ἀπειλεῖ, εἰ δὲ τῷ λόγῳ τῆς διαίτης ἐξυγρανθεῖσα τὴν λεπτοποιηθεῖσαν ὕλην ἐπὶ* 1410 *τὰ κάτω μέρη δίδωσι, τὴν κεφαλὴν ἀνενόχλητον ποιεῖ.*

12 *Ἡ ἐκ τῆς ἀνθρακιᾶς θέρμη κεφαλαργική {δέ}, ὅτι πολλή ἐστι καὶ πυκνωτική, ἡ δ' ἐκ τῶν ξύλων ἔχει καὶ ἰκμάδα καὶ δῆλον ἐκ τοῦ καπνοῦ. δεῖ δὲ τοὺς ἄνθρακας σβεννύειν οἴνῳ ὀλίγῳ, ἵνα μὴ παρακολουθήσῃ ἐξ αὐτῶν βλάβη.* 1415

13 *Τοῖς θαλαττουργοῖς ἐπιπολάζει τὰ πτερύγια, ὅτι ἐκ τῶν θαλαττίων ἀτμῶν δριμυτέρων ὄντων ἀναβιβρωσκόμενα τύλωσιν μετὰ φλεγμονῆς ἀναδέχεται. δύο δὲ εἴδη τούτων, τὰ μὲν προσηρτημένα, τὰ δὲ συμφυῆ.*

15 *Ὁ πυρετὸς πολλάκις λύει τὴν ὀφθαλμίαν, πολλάκις ἀπεργάζεται, ὅτι ὁ πυρετὸς λόγῳ τινὶ μετασυγκρίσεως· καὶ εἰ μὲν ᾖ μέτριος, ὠφελεῖ, εἰ* 1420

1387 *κατάκλισις* Cass.: *κατάκλασις, υ* super *α* scr., **O** | *μὴ* addidi ‖ **1397** *πυκνωτικὴ* Cass.: *ὑπνοτικὴ* **O** ‖ **1402** immo *ἐπικειμένην* | *μήνιγκα* **O** ‖ **1403** *εὐιατότερα* Cass.: *εὐιαστάτερα* **O** ‖ **1412** *ἀνθρακιᾶς* Cass.: *-ίας* **O** | *δὲ* seclusi ‖ **1418–1419** probl. (14) om. **O** ‖ **1419** ante *ἀπεργάζεται* exciderit *πήρωσιν* vel sim. (cf. Cass.) ‖ **1420** *μετασυγκρίσεως* Cass.: *μετὰ συγκρίσεως* **O**

δὲ σφοδρός, βλάπτει. καὶ ὅτε ξηραντικός ἐστιν, ὠφελεῖ, ὅταν δὲ ἐναποσκηπτικός, ὡς ἀνάπαλιν.

Ἐν τῷ θέρει μᾶλλον αἱ ὀφθαλμίαι ἐκ τοῦ ξηροῦ καὶ θερμοῦ ὄντος. 16 *τοῦτο δὲ ἀπὸ ῥεύματος, ὅτι τὸ φαιδρὸν πολὺ ὂν βλάπτει τὰς ὄψεις· τὸ* 1425 *γὰρ ὑπὲρ τὸ δέον λευκὸν συγχυτικόν. ἐν γοῦν τῷ θέρει αἴτιον τῆς ὀφθαλμίας τὸ φαιδρὸν τοῦ ἡλίου.*

Ὁμοιότης ἐστὶν ὀφθαλμῶν καὶ ὤτων· πῶς γοῦν συμπάσχοντος 17 *ὀφθαλμοῦ συμπάσχει καὶ ὁ ἕτερος, οὐ μὴν καὶ ἐπὶ τῶν ὤτων; ὅτι ἐπὶ τῶν ὀφθαλμῶν πολλὴ ἐγγύτης καὶ ὅτι τὰ ἐπὶ τῶν ὀφθαλμῶν συγκινη-* 1430 *τικὰ ἔνδοθεν, τὰ δὲ τῶν ἀκοῶν ἔξωθεν.*

Τινὲς ὀφθαλμιάσαντες ὀξύτερον ὁρῶσιν, ὅτι καθαίρονται τῇ ἀποδα- 18 *κρύσει ὡς ἀπό τινων διακρουστικῶν κολλυρίων.*

1421 *σφοδρός* Cass.: *-ῶς* **O** || **1423** *αἱ ὀφθαλμίαι* Cass.: *οἱ ὀφθαλμοὶ* **O**

INDICES

INDEX LOCORVM

SEPTVAGINTA

NOVVM TESTAMENTVM

INDEX NOMINVM

INDEX VERBORVM

stellula (*) distinguuntur vocabula quae in lexicis Liddell-Scott-Jones et Lampe desiderantur

APPARATVS FIGVRARVM I–XII

(quae ad op. 51 pertinent)

Figura I

B, tota fig.] cf. Ps.-El. in Isag. 25, 7–17; Dav. in Isag. 83, 13–86, 11

A] partem b cum a sub *ἔναρθρος* collocat **b**⁸: transposui ‖ a **6** *τράγου* **b**⁸: correxi ‖ b **3** *ἀσήμαντος* Neoph.: om. **b**⁸

Figura II

tota fig.] Neoph. 18ᵛ–19ʳ ‖ b **9** *φησί*] cf. (?) Her. Alex. Deff. 25 ‖ c, d, e] cf. Porph. Isag. 1, 23–2, 1 ‖ f, g, h, i] cf. Dav. in Isag. 124, 1–7; El. in Isag. 52, 12–22 ‖ k **1–2** Porph. Isag. 2, 11 ‖ l **5–8** Pl. Phaed. 82 a ‖ l **9–13** 82 b ‖ m **11–12** Arist. Phys. 184 b 20–21 ‖ m **14–15** Pl. Soph. 254 d 4–255 e 1

b **2** *καθολικὸν* ut vid. **b**⁸: correxi ‖ **10** *παρὰ* **b**⁸: correxi ‖ g **3** *Πηλείδης* Neoph.: *πηλιεύς* **b**⁸ ‖ h **11** *Μακεδονία* Neoph.: *μακεδών* **b**⁸ ‖ **13** *οἴκει* **b**⁸: correxi ‖ i **3** *Πελαῖος* Neoph.: *πηλ-* **b**⁸ ‖ **5** *Πέλη* Neoph.: *πηλῆς* **b**⁸ ‖ l **4** *Φαίδωνι* Neoph.: *σινδῶνι* **b**⁸ ‖ **5** *τοὺς* Plat.: *τὰς* **b**⁸ ‖ **6** *προτετιμηκότας* Plat.: *-τες* **b**⁸ ‖ **13** *ἄλλα γε πλεῖστα* scripsi: *ἄλλοι γε πλεῖστοι* **b**⁸ ‖ m **3** *καθ' ὃ σημαινόμενον* scripsi: *κατὰ ση(')ων* comp. **b**⁸

Figura III

cf. Ioh. Damasc. Dial. p. 111

Figura IV

tota fig.] Neoph. 19ʳ ‖ a **2–4** Arist. Top. 106 a 9 ‖ a **5–7** 106 a 11–12 | a **8–13** 106 a 23–24 ‖ b, c] cf. Dav. in Isag. 143, 21–25 ‖ b **3–5** Hom. Il. 3, 45 ‖ d **1–2** cf. Porph. Isag. 4, 10–11 ‖ e **7–9** Arist. Phys. 194 a 12–13 ‖ f **4–5** Pl. Parm. e. g. 135 a–b

a **2** *ἀριστοτέλους* **b**⁸: correxi ‖ **8** *ἐπ' ἐνίων* Arist.: *πενίων* **g**: *π* tantum leg. **b**⁸ ‖ **10** *οὐδαμῶς* Arist., **g**: **b**⁸ non leg. ‖ **13** *πολλή*] *πάλιν* **b**⁸: corr. **g** ‖ b **3** *εἶδος* Hom.: *ἦ* **b**⁸ ‖ c **1** *τὸ* Neoph.: *τοῦ* **b**⁸ ‖ e **9** *φησὶν Ἀριστοτέλης*] *φησί· κατὰ τοῦτο καὶ* Neoph. (fort. legendum) ‖ f **4** *παρμενίδι* **b**⁸ ‖ g **1** *σημαίνειν δύναται* Neoph.: *συμβαίνειν δύνασθαι* **b**⁸ ‖ h **1** *ἢ γὰρ λογικὸν τὸ* Neoph.: *εἰ γὰρ λογικῶ* **b**⁸ ‖ **2** post *γένει* add. *ἀφωρισμένως* Neoph. ‖ **5** *ὄνομα* Neoph.: *ὁ νόμος* **b**⁸ ‖ **6** post *φυσικῶν* add. *εἰδῶν* Neoph. | an *παρακολουθοῦν* legendum? ‖ i **1** *ἢ* Neoph.: *εἰ* **b**⁸ | *ἀφωρισμένως* Neoph.: *ἀφορισμένον* **b**⁸ ‖ **4** *αὐτὸ ἀτόμων* Neoph.: *αὐτατόμων* **b**⁸ (mg. *παντάτό*) ‖ **5** *κατηγορουμένων* **b**⁸: correxi

Figura V

cf. Ps.-El. in Isag. 39, 22–29; Dav. in Isag. 174, 9–26

b *ἄλλο ἀσύστατον χωριστόν* scripsi: *ἄ. συνίσταται χ.* **b**⁸

APPARATVS FIGVRARVM I–XII

Figura VI

tota fig.] Neoph. 18^v ‖ a 8–13 Hdt. I 1 ‖ c, d] cf. El. in Cat. 78,21–25 ‖ g, h] cf. 86, 27–28 ‖ i, j] 78,25–27

a 7 ἡρώδοτος b^8 ‖ 10 λόγιοι Hdt.: λόγοι b^8 (et Neoph.) ‖ 12 τῆς διαφορῆς Hdt.: τοῖς διαφόροις b^8 ‖ 14 τῇ πρώτῃ Neoph.: τῶ πρώτω b^8 ‖ c 4 μεθηλικιώσεσιν Neoph.: -ώδεσιν b^8 ‖ d 1 οὐ Neoph.: om. b^8 ‖ 4 ὑπόκειται] ὑπάρχει Neoph., El. ‖ 5 καθεῖσθαι b^8: correxi ‖ e 2 αὐτὸ Neoph.: αὐτὴν b^8 ‖ i pro textu corrupto legas e.g. ἣ συντίκτεται τῷ πράγματι ὡς ἡ σιμότης καὶ ἡ γρυπότης (cf. Neoph. et El.) ‖ j immo ἣ οὐ συντίκτεται ὡς ἡ λεγομένη οὐλή

Figura VII

tota fig.] Neoph. 19^v ‖ a, b, c, d] cf. Dav. in Isag. 201,8–15; El. in Isag. 89,14–28; Ps.-El. in Isag. 44,3–6 ‖ e 5–9 Plot. I 1,9,15–18 ‖ f 10–13 Thuc.I 141,4 ‖ g] cf. El. in Isag. 89,14–17 ‖ h, i, j] cf. Ioh. Damasc. p. 84 (ιδ' 17–21); [Niceph. Blemm. Epit. log. PG 142, 780 C]

e 3 εἶναι bis scr. b^8 ‖ 4 τοῦ Neoph.: τὸ b^8 ‖ f 6 ἀλλότριον Neoph.: ἄλλο ὅτι b^8 ‖ 7–8 τῆς τεκτονικῆς Neoph., fort. recte ‖ 9 ἄλλο] immo ἄλλου (ἄλλης ἐπιστήμης Neoph.) ‖ 11 ἀπῶντες b^8 ‖ h 1–11 locum corruptum sanare temptavi; exspectaveris potius e. g. ἢ ἀπὸ τῆς διοργανώσεως ὡς τὸ πλατυώνυχον ἢ ἀπὸ τῆς διαρθρώσεως ὡς τὸ ἑξαδάκτυλον ‖ 5 τὸ addidi ‖ 7 ἢ – 10 πλατ. huc. transposui: sub d collocavit b^8 ‖ i 3 ὀρθοπ. Neoph.: περιπατητικόν b^8 ‖ j 4–6 γραμματικὸν καὶ ἠρεμοῦντι g: aliquid quod nunc non leg. (fort. comp.) ante καὶ habet b^8: γραμματικῆς δεκτικόν Neoph.

Figura VIII

tota fig.] Neoph. 19^v ‖ e 15–20 Arist. Cat. 7 a 25–29 ‖ f 4–8 cf. Arist. An. 425 a 25–27

a 1–5 ut commentum recte scr. Neoph.: ut partem divisionis distinxit b^8 ‖ 2–3 κατὰ τοῦτο scripsi: καὶ τοῦτο Neoph.: ἐν τούτω b^8 ‖ c 1 ἐν Neoph. ‖ 2 ὑφισταμένη ποσότης Neoph.: ὑφισταμένω ποσότητος b^8 ‖ d 1 ἢ^2 Neoph.: ἡ b^8 ‖ 3 ἐξ] τῶν ἐξ Neoph. ‖ 4 εἰ ὀρύττοντί Neoph.: ἀνωρύττοντι b^8 ‖ e 1 ὅτ' ἐν Neoph.: ὅταν b^8 ‖ 3 ἐχούσης Neoph.: ἔχουσα b^8 ‖ 4 σχέσει Neoph.: χύσει b^8 ‖ 7 ζητοῦμεν Neoph.: ζητῶμεν b^8 | φύσιν Neoph.: φησιν b^8 ‖ 10 φροντίσομεν Neoph.: φροντίσωμεν b^8 ‖ 11 αὐτὴν – 12 ἐξετάσομεν e Neoph. supplevi ‖ 17–18 ἐὰν πρός τι Arist., Neoph.: ἐάνπερ ut vid. b^8 (ἐὰν περὶ g) ‖ 18 ἀποδιδῶται Arist., Neoph.: ἀποδίδοται b^8 ‖ 20 post δίποδος add. οὐκ ἀντιστρέφει Neoph. (cf. Arist.) ‖ f 1 καὶ Neoph. ‖ 1 πρός – 4 ὑπάρχειν] text. incert. (λέγεται^2 om. Neoph.) ‖ 5 λευκὸς e Neoph. (qui -ὸν habet) addidi ‖ 6 ἢ Κλέωνος] Neoph.: κλέων b^8 | ὁρᾶται Neoph.: ὁρᾶσθαι b^8 ‖ 7 λευκός Neoph. (s.l.) | ὁ τοῦ Κλέωνος υἱός scripsi: ὁ τῶ κλέωνος υἱῶ Neoph.: ὁ τὸ κλέωνος ὡς b^8 ‖ 8 ἐπ' seclusi (ἐν ταὐτῶ Neoph.) ‖ 13 αὐτὸ b^8 ‖ 15 ἢ μουσικῷ sec. Neoph. (qui μουσικὸς habet) scripsi: ἤκωσι b^8 ‖ 16 γὰρ ταῦτα corruptum: ταύτῃ ut vid. Neoph. ‖ 16–17 ἢ γεωμέτρης b^8: correxi ‖ g 6 ὑφίστανται Neoph.: -το b^8 ‖ h 6 τοῦ Αἰθίοπος Neoph. ‖ 8 κατατέμνοιτο Neoph.: κατετέμνετο b^8 ‖ i 3 βουληθείη Neoph. ‖ 5 οὐκέτι Neoph.: οὐκ ἔστι b^8 | ὁρισμὸν Neoph.: -ὸς b^8 ‖ 6 ἐφαρμόζειν scripsi: ἐφαρμόσει Neoph.: ὑφαρμόζειν b^8 ‖ j 1 καὶ^1 scripsi: μὲν b^8 ‖ 2 ἡ Neoph. ‖ 5 οὐ μὴν δὲ] μηδὲν Neoph. ‖ l 1 καὶ^1 scripsi: ἐν b^8 | ἐν delevi

Figura IX

tota fig.] Neoph. 20^r; cf. Ps.-El. in Isag. 20, 1–9; Dav. Prol. 65, 10–66, 23; Ioh. Damasc. pp. 65–67 (ϛ´ 45–124) ‖ b 1–7 cf. Ps.-El. in Isag. 20, 8

a 2 *ὡς* Neoph. ‖ 6 *οὐσίαι* Neoph.: *οὐσία* **b**^{8} ‖ 7 *τῷ* Neoph. ‖ b 1 *εἰς*] *ὡς* **b**^{8}: correxi ‖ 5 *ἄσβεστον* **b**^{8}: correxi ‖ 7 *κρύσταλος* **b**^{8} ‖ c 2 *τῶν*] *τὰ* **b**^{8}: correxi ‖ e *ἄτομα* **g** post corr., Neoph.: *-ον* **b**^{8} ‖ f 2 *ἀπὸ* Neoph. ‖ 4 *σμιλίον* Neoph.: *σμηλίον* **b**^{8} ‖ 7 post *ἓν* add. *τέλος* Neoph. ‖ g 5 *ἀφορᾷ* Neoph. (*ἀφορῶντες* Dav. Prol. 66, 22) ‖ h 4 an *ὁμωνύμως* legendum? (cf. Dav. Prol. 65, 28) ‖ i 2 *εἰς* – 3 *ῥῖνα* scripsi: *ἢ ὡς ὀφθαλμός, εἰς κεφαλήν, ῥίνας* **b**^{8} ‖ 6 *τῷ ὅλῳ* Neoph.: *τὸ ὅλον* **b**^{8} ‖ 7 *ὁμωνύμως* Neoph. (cf. Dav. Prol. 66, 3): *συνωνύμως* **b**^{8}

Figura X

a 5–7 Arist. Cat. 1 a 1 ‖ c 3–7 Pl. Tim. 18 c 2–4 ‖ g 6–9 Arist. Cat. 3 a 7–8 ‖ k 5–8 Arist. Top. 105 a 16–18 ‖ l 3–8 Pl. Cri. 50 a 6–8 ‖ m, n, o, p] cf. El. in Cat. 138, 12–15

a 4 *μετέχει* **b**^{8}: correxi ‖ b 1 fort. in *πράγμασι* corrigendum ‖ 5 an *λέγεται* scribendum? ‖ c 12 *κοινὰ* scripsi: *ἐκεῖνος* **b**^{8} ‖ e 2 *κοινή*] an *καὶ γὰρ* (cf. g 1–2) scribendum? ‖ g 6 *δὲ* Arist. 3 a 7: *καὶ* **b**^{8} ‖ h 8 *ὁ* addidi ‖ i 6 *μετέχειν* **b**^{8}: correxi ‖ 8–9 *τῆς ἄνθρωπος φωνῆς* scripsi: *τις ἄνθρωπος φω( )* **b**^{8} ‖ 11 *ἡ* addidi ‖ j, k sic separavit **b**^{8}; immo cum b 3 *ἢ* – 4 *μηθέν* coniugenda ‖ k 1 *ὃ ἂν* scripsi: *ωσᾶν* **b**^{8} ‖ 6 *πιθανώτερον καὶ* Arist.: *πυθανωτέρα* **b**^{8} ‖ 7 *καὶ* Arist. ‖ 9 *πολλοῖς* Arist.: *παλαιοῖς* **b**^{8} ‖ l 3 *κρείττονι* **b**^{8}: correxi ‖ 4 *ὧδε* Plat.: *ὧ* **b**^{8} ‖ 5 *ἐνθέδε* **b**^{8}

Figura XI

cf. Ps.-El. in Isag. 35, 1–9

a 8 *αἰσθητικόν* Neoph. 17^r: *αἰσθητόν* **b**^{8} ‖ d 4 *ἤ* scripsi: *ὡς* **b**^{8} ‖ f 2 *συμβεβηκὸς* **b**^{8}: correxi

Figura XII


tota fig. praeter *λογικόν*] cf. Ps.-El. in Isag. 18–22; El. Prol. 26, 6–34, 25; Dav. Prol. 54,28–76,28 ‖ *λογικόν*] cf. El. in Anal. prior. 139,6–11; in Cat. 116,35–117,8

a *πραγματικόν* scripsi: *πρακτικόν* **b**^{8} ‖ c 2 *παρμενίδου* **b**^{8}: correxi ‖ d 1 *πάντα* **b**^{8}: correxi ‖ f 1 *πάντα* **b**^{8}: correxi | *περὶ ὧν* scripsi: *ὑπὲρ* **b**^{8} ‖ 3–4 *ὡς ἐν τοῖς* scripsi: *οἷς τοὺς* **b**^{8} ‖ 4–5 *τοὺς φυσικοὺς καλουμένους* **b**^{8}: correxi ‖ g 6 *κανόνια*] *κα(′)* comp. **b**^{8} ‖ h 8 *κωμικά* **b**^{8}: correxi ‖ i 8 *καὶ* addidi ‖ j 3 *συλλογιστική* **b**^{8}: correxi ‖ 4 *διοφάνους* **b**^{8}: correxi ‖ 6 *μοριστικά* **b**^{8}: correxi ‖ k 4–5 *συμφωνιῶν* conieci, conferens Pachym. Quadr. 97, 3–7: *δ( )φ(′)ων* **b**^{8}, quod, si non e *συμφ.* corruptum, pro *διφθόγγων* scriptum est: potes et *φθόγγων* scribere (cf. Dav. Prol. 60, 27–28; El. Prol. 29, 18–22) ‖ l *καὶ λογικόν* scripsi: *θεολογικόν* **b**^{8} ‖ m 1 *πάντα* **b**^{8}: correxi ‖ 2 *ἀποδεικτικόν* **b**^{8}: correxi ‖ n 1 *ἀληθῆ* scripsi: *ἀληθεύει* **b**^{8} ‖ o si textus sanus, *ψεύδεται* post *πλέον* addendum esse vid. ‖ p 1 *ἐδόκει* non sanum. an *ἡδονῆς* legendum? ‖ 3 *ποιητικόν* **b**^{8}: correxi | *παρ’* **b**^{8}: correxi ‖ q 1 *τῶν* scripsi: *τούτων* **b**^{8} ‖ 3 *ἣ* **b**^{8}: correxi ‖ 6 *καὶ* delevi ‖ 7 *τῇ δυνάμει* **b**^{8}: correxi ‖ 10 *λόγοις*] an *ἐλέγχοις* restaurandum? ‖ r 1–2 *περὶ οὗ ἔγραψε* scripsi: *οὗ προεγράψατο* **b**^{8} ‖ 2 *διδασκάλοις* suspectum ‖ 7 *νικομάχια* **b**^{8} ‖ s 4 *ὁμώνυμον* **b**^{8}: correxi ‖ 5 *οἰκονομικῶς* **b**^{8}: correxi ‖ t 10 *ἀπομνημονεύων* scripsi: *ἀπὸ μνημονικοῦ* **b**^{8}

FIGVRAE


(quae ad op. 51 pertinent)

Figura I




(A)
ἡ φωνή
ἔναρθρος
ἄναρθρος
(a)
εἰς ἔναρθρον ση-
μαντικόν, ὡς ἡ
τοῦ ἀνθρώπου,
ἔναρθρος ἀσή-
5
μαντος ἡ τοῦ
τραγ⟨ελάφ⟩ου
(b)
καὶ ἄναρθρος
σημαντικὴ ἡ τοῦ
κυνὸς καὶ ⟨ἀσή-
μαντος⟩ ὁ ἁπλῶς
ψόφος
(B)
ἡ φωνή
σημαντική
ἀσήμαντος
ἔναρθρος ὡς
ἀνθρώπου
ἄναρθρος ὡς
κυνός
ἄναρθρος ὡς
ὁ ψόφος
ἔναρθρος ὡς
σκινδαψός,
βλίτυρον
καθόλου ὡς
ἄνθρωπος
μερικὴ ὡς
Σωκράτης
ἡ οὐσιώδης
ἡ ἐπουσιώδης
ἐν τῷ τί ἐστιν
ἐν τῷ ὁποῖόν τί
ἐστιν
ἡ ἐνὶ εἴδει θεω-
ρεῖται καὶ ποιεῖ
τὸ ἴδιον, οἷον τὸ
γελαστικόν
ἡ ἐν πολλοῖς καὶ
ποιεῖ τὸ συμβε-
βηκός, οἷον τὸ
λευκόν, τὸ μέλαν
ἡ κατὰ πλειόνων
καὶ διαφερόντων
τῷ εἴδει καὶ
ποιεῖ τὸ γένος
ἡ κατὰ πλειόνων
καὶ διαφερόντων
τῷ ἀριθμῷ καὶ
ποιεῖ τὸ εἶδος
καὶ ποιεῖ τὴν
διαφοράν

Figura II




τὸ γένος
(a)
ἢ λογικὸν ὡς τὸ πᾶσι περιπολοῦν καὶ μηδενὸς συνωνύμως κατηγορούμενον
(j)
ἢ τὸ περὶ τῆς γραμματικῆς λεγόμενον
(k)
ἢ τὸ ᾧ ὑποτάσσεται τὸ εἶδος περὶ οὗ ὁ σκοπὸς τοῖς φιλοσόφοις
(n)
ἢ φυσικὸν ὡς τὸ μὴ πᾶσι παρὸν πλὴν τοῖς οἰκείοις εἴδεσιν, οἷς δ' ἂν παρῇ συνωνύμως κατηγορούμενον
(b)
ἢ ἁπλῶς ἅπαν τὸ καθολικὴν ἐπέχον τάξιν, καθό φαμεν καὶ γενικῶς εἰρῆσθαι τοῦτο. οὕτω καὶ γενικὰς διαφορὰς λέγομεν· φησὶ γὰρ ἐν τῷ Περὶ τῶν γεωμετρουμένων· 'αἱ μὲν οὖν τῶν σχημάτων γενικαὶ διαφοραὶ αὗται'
(c)
ἢ τὸ ἀπὸ γενέσεως, καὶ τοῦτο
(l)
ἢ τὸ προσεχὲς ἑκάστῳ γένει καθὸ ὁμογενὴς μὲν λέγεται ἄνθρωπος ἀνθρώπῳ, ἑτερογενὴς δὲ ἵππῳ. καὶ Πλάτων ἐν Φαίδωνι περὶ τῆς μετεμψυχώσεως φάσκων λέγει· 'τοὺς δὲ ἀδικίας καὶ τὰς ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη', καὶ μετ' ὀλίγον 'ὅτι τούτους εἰκός ἐστιν πάλιν ἀφικνεῖσθαι εἰς πολιτικὸν καὶ ἥμερον γένος ἢ μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων καὶ εἰς αὐτό γε πάλιν τὸ ἀνθρώπινον γένος', καὶ ἄλλα γε πλεῖστα
(m)
ἢ τὸ ὑποκείμενον ἑκάστη τέχνῃ ᾗ ὑπόκειται, καθ' ὃ σημαινόμενον Ἀριστοτέλης ἐν ἀρχῇ τῆς Φυσικῆς ἀκροάσεως περὶ τῆς τῶν παλαιῶν διαλαμβάνων δόξης φησὶ τῆς περὶ τὰς ἀρχὰς καὶ ἀπείρους 'ὥσπερ Δημόκριτος τὸ γένος' ἀντὶ τοῦ 'ὑποκείμενον'· ἢ παρὰ Πλάτωνι ὅς φησι ε' γένη τοῦ ὄντος, οὐσίαν, ταυτότητα, ἑτερότητα, κίνησιν καὶ στάσιν, ὃ σημαινόμενον τοῦ γένους ὡς ἐν εἴδει ἐστὶ τὸ παρὰ φιλοσόφοις
(d)
ἢ ἔμψυχον ἀπὸ τοῦ τεκόντος
(e)
ἢ ἄψυχον ἀπὸ τοῦ τόπου
(f)
ἢ πόρρω· καὶ πόρρω ὡς ὅταν εἴπωμεν 'Ἀχιλλεὺς Αἰακίδης'
(g)
ἢ προσεχὲς ἔμψυχον, ὡς 'Ἀχιλλεὺς ὁ Πηλείδης'· ὁ μὲν γὰρ Πηλεὺς πατὴρ Ἀχιλλέως, ὁ δὲ Αἰακὸς πατὴρ μὲν Πηλέως, πάππος δὲ Ἀχιλλέως
(h)
ἢ πόρρω ἄψυχον, ὡς 'Ἀλέξανδρος Μακεδών'· ἰδοὺ γὰρ τὸ μὲν εἰπεῖν αὐτὸν Μακεδόνα πόρρω γένος τὸ ἄψυχον· πᾶν γὰρ τὸ θέμα Μακεδονία, ὁ δὲ οὐκ ἐν παντὶ τῷ θέματι ᾤκει
(i)
ἢ προσεχὲς ἄψυχον ὡς 'Ἀλέξανδρος Πελαῖος'· πολίχνιον δὲ ἡ Πέλη Μακεδονίας ἀφ' ἧς Ἀλέξανδρος ὥρμητο

Figura III



ἡ οὐσία
εἰς σῶμα
καὶ ἀσώματον
ἔμψυχον
ἄψυχον
εἰς αἰσθητικὸν
ἀναίσθητον
εἰς ζῷον
εἰς ζωόφυτον
λογικὸν
ἄλογον
θνητὸν
ἀθάνατον
ἄνθρωπος
Πέτρον
Παῦλον
Ἰωάννην

Figura


(a)
λέγεται εἶδος ὁ ὁρισμός· Ἀριστοτέλης· 'πότερον δὲ μοναχῶς ἢ πολλαχῶς τῷ εἴδει λέγεται'· καὶ μετ' ὀλίγον 'ἐάν τε τῷ εἴδει ἐάν τε τῷ ὀνόματι διαφωνῇ'· καὶ πάλιν 'καὶ ἐπ' ἐνίων δέ', φησί, 'τοῖς μὲν ὀνόμασιν οὐδαμῶς διαφωνεῖ, τῷ δ' εἴδει κατάδηλος ἐν αὐτοῖς εὐθέως ἡ διαφορά ἐστι'· καὶ πολλὴ ἡ τοιαύτη χρῆσις παρ' Ἀριστοτέλει
(b)
λέγεται εἶδος τὸ ἐπὶ τῆς μορφῆς τασσόμενον· καὶ Ὅμηρος 'εἶδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή'
(c)
ἢ τὸ ἐπὶ τοῦ σχήματος λεγόμενον, καθό φαμεν τὸν ἀνδριάντα καλὸν ἢ κακὸν ἔχειν εἶδος
(d)
ἢ τὸ οὗ
γένος, ὃ καὶ
φιλοσόφοις
μενον.
τοῦτο
(h)
ἢ γὰρ λογικὸν ⟨τὸ⟩ ἐν οὐδενὶ γένει ὑποταττόμενον, ὃ καὶ τῶν ἀτόμων οὐδενὸς κατηγορεῖται, ὃ καὶ ὡς ὄνομά ἐστι πάντων τῶν φυσικῶν παρακόλουθον

IV

ς

ρεῖται τὸ
ρὰ τοῖς
λον λεγό-
ὲ καὶ

(e)

λέγεται εἶδος καὶ τὸ ἐν
ἑκάστῳ διὰ βάθους
διῆκον, περὶ οὗ καὶ Ἀρι-
στοτέλης ἐν τῷ δευτέρῳ
5 τῆς Φυσικῆς ἀκροάσεως
διαλαμβάνει, ὃ καὶ φύσις
καλεῖται. 'ἐπεὶ ἡ φύσις
διχῶς, τό τε εἶδος καὶ ἡ
ὕλη', φησὶν Ἀριστοτέλης,
10 ἕκαστον τῶν συνθέτων ἐξ
ὕλης καὶ εἴδους λέγεται
συγκεῖσθαι

(f)

λέγεται καὶ ἕτερον εἶδος
αἱ παρὰ Πλάτωνι λεγό-
μεναι ἰδέαι περὶ ὧν
ἀκριβῶς ἐν τῷ Παρμε-
5 νίδῃ διέξεισιν

(g)

σημαίνειν δύναται τὸ εἶδος καὶ
ὅλως πᾶσαν ποιότητα, οὐ μόνον
τὴν κατὰ σχῆμα ἀλλ' ἁπλῶς τὴν
κατὰ πᾶσαν ἰδιότητα ἢ καὶ ὡς ἐν
5 γένει ἐστὶ τὸ ἐπὶ τοῦ σχήματος
καὶ τὸ ἐπὶ τῆς μορφῆς τιθέμενον
εἶδος· κατὰ τοῦτο καὶ ἄλλο μὲν
εἶδος Πλατωνικοῦ λόγου φαμέν,
Δημοσθενικοῦ δὲ ἄλλο, ὃ καὶ χα-
10 ρακτὴρ λέγεται, ὃ δὴ καὶ οἱ ῥή-
τορες τὰς ἰδέας τοῦ λόγου ἐκάλε-
σαν


(i)

ὶ φυσικὸν τὸ ἀφωρισμέ-
ως τινὶ τῶν γενῶν ὑπο-
ιείμενον καὶ τῶν ὑπ'
ιὐτὸ ἀτόμων συνωνύμως
ιατηγορούμενον

Figura V


	(a)			(b)	
λογικόν	ἀσύστατον	ἄλογον	ἄλλο	ἀσύστατον	ἀλλοῖον
συν-	συνί ἀσύστατον	συν-	ἀσύ-	συνί συνίσταται	συν-
ίστα-		ίστα-	στα-		ίστα-
ται	σταται	ται	τον	σταται	ται
ἀθάνατον	ἀσύστατον	θνητόν	χωριστόν	ἀσύστατον	ἀχώριστον

Figura VI



ἡ διαφορά
(a)
λέγεται ἡ δια-
φορὰ παρὰ τοῖς
λογοποιοῖς καὶ
ἱστορικοῖς ἥτις
5 καὶ κυρίως ἔχ-
θρα ἢ μάχη κα-
λεῖται· Ἡρό-
δοτος 'Περσέων
μὲν οὖν οἱ
10 λόγ⟨ι⟩οι Φοίνι-
κάς φασιν αἰτί-
ους τῆς δια-
φορῆς γενέσθαι'
ἐν τῇ πρώτῃ
15 φησὶ τῶν
ἱστοριῶν καὶ ἀλ-
λαχοῦ πλειστά-
κις
(b)
λέγεται καὶ
παρὰ τοῖς φιλο-
σόφοις
ἡ μὲν χωριστή
ἡ δὲ ἀχώριστος
(c)
καὶ ἡ μὲν χωρι-
στὴ ἣ συμ-
παραμετρεῖται
ταῖς μεθηλικιώ-
5 σεσιν, ὡς τὸ
ἡβάσκειν
(d)
ἣ ⟨οὐ⟩ συμ-
παραμετρεῖται,
ἀλλὰ ἀορίστως
ὑπόκειται, ὡς τὸ
5 ἑστάναι ἢ καθῆ-
σθαι
(e)
ἡ δὲ ἀχώριστος
ἢ καθ' αὑτὸ καὶ
οὐσιώδης, ἡ
λεγομένη ἰδιαί-
5 τατα
(f)
ἢ κατὰ συμβε-
βηκὸς καὶ ἐπου-
σιώδης, ἡ λεγο-
μένη ἰδίως
(g)
καθολικω-
τέρα τοῦ
εἴδους
(h)
ἐξισάζουσα
τῷ εἴδει
(i)
ἐντίκτεται
τῷ πράγ-
ματι, ἡ
λεγομένη
5 οὐλή
(j)
οὐ συν-
τίκτεται

Figura V



τὸ ἴδιοι
(a)
ἢ οὐ μόνῳ μέν,
παντὶ δέ, ὡς
ἀνθρώπῳ τὸ
δίπουν καὶ τὸ
5 πεζόν
(b)
ἢ μόνῳ μέν,
οὐ παντὶ δέ
(c)
ἢ μόνῳ καὶ
παντὶ οὐχ
ἀεὶ δέ, ὡς
ἀνθρώπῳ
5 τὸ πολιοῦ-
σθαι ἐν
γήρᾳ
(d)
ἢ καὶ μόνῳ κα
παντὶ καὶ ἀεί,
ὃ σημαινόμενο
τὸ παντὶ συνω
5 λέγεται ἴδιον ε
ὡς τὸ γελαστι
ἢ ἀεὶ
(g)
ἢ οὐκ ἀεὶ ὡς
ἀνθρώπῳ τὸ
γεωμετρεῖν ἐν-
εργείᾳ
(h)
ἢ ἀπὸ τῆς
διοργανώ-
σεως ὡς τὸ
φαλακροῦ-
5 σθαι ἢ ⟨τὸ⟩
ἑξαδάκτυλον
ἢ ἀπὸ τῆς
διαρθρώ-
σεως
10 ὡς τὸ πλα-
τυώνυχον
(i)
ἢ ἀπὸ τῆς ἐνερ-
γείας ὡς τὸ
⟨ὀρθο⟩περιπατη-
τικόν
(j)
ἢ ἀπὸ τῆς
δυνάμεως
ὡς ἀνθρώπῳ
τὸ γραμματι-
5 κὸν [....] καὶ
ἠρεμοῦντι

VII

ν


ιὶ
καθ'
ν καὶ
νύμως
ἰναι,
κόν

(e)

λέγεται ἴδιον καὶ τὸ ἀντιδιαιρούμενον τῷ κοινῷ, ὃ δὴ ἐνίοτε καὶ οὐσία δύναται εἶναι οὗ ἂν λέγῃ ἴδιον Πλωτῖνος ἐν τῷ Περὶ τοῦ τί τὸ ζῷον καὶ τίς ὁ ἄνθρωπος· 'διείλομεν δὴ τὰ κοινὰ καὶ τὰ ἴδια τῷ τὰ μὲν σωματικὰ καὶ οὐκ ἄνευ σώματος εἶναι, ὅσα δ' οὐ δεῖται σώματος εἰς ἐνέργειαν, ταῦτα ἴδια ψυχῆς εἶναι' καὶ ἑξῆς. οὕτω φαμὲν καὶ τὸ λογικὸν ἴδιον ἀνθρώπου εἶναι ὅτι οὐ κοινὸν καὶ τῶν ἄλλων ζῴων. καὶ τὸν ὁρισμὸν οὕτω φαμὲν ἴδιον εἶναι τοῦ Ἀριστοτέλους τό τε τί ἐστιν ἴδιον καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται


(f)

λέγεται ἴδιον καὶ τὸ πρὸς τὸ ἀλλότριον ἀντιδιαστελλόμενον· ἴδιον γάρ φαμεν τόδε τὸ παιδίον, ἀλλ' οὐκ ἀλλότριον, καὶ τὸ σκέπαρνον τοῦ τεκτονικοῦ ἴδιον, ἀλλ' οὐκ ἄλλο. Θουκυδίδης 'ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες' ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φησι



ἢ χωρ
σει, ὡ
μῆκος
μένου
5 ται π
ὑποκε
ὁμοίω

Figura VIII



τὸ συμβεβηκός
(c)
ἢ ⟨ἐν⟩ ὑποκειμένῳ τινὶ
ὑφισταμένη ποσότης
(d)
ἢ ἁπλῶς ὅπερ ποιότης
ποσότης ἐν ὑποκειμένῳ
οὔτε δὲ τῶν ὡς ἐπὶ τὸ
γινομένων ἐστίν· οἷον εἰ
5 συνέβη θησαυρὸν εὑρεῖν
τινος σεισμὸς γενέσθαι
τοιαῦτα ἢ τὰ τέρατα οὐ
ἀνάγκης καὶ τὸ ὡς ἐπὶ
ται γὰρ αὐτοῖς ταῦτα
(i)
ἢ ἀχώριστον καὶ τῇ ἐπινοίᾳ καὶ τῇ αἰ-
σθήσει, ὡς ἡ τοῦ πυρὸς θερμότης· κἂν
γὰρ ἐπινοίᾳ χωρίσαι τις βουληθῇ τοῦ
πυρὸς τὴν θερμότητα, φθείρει τὴν φύσιν·
5 οὐκέτι γὰρ οὐδ' ὁρισμὸν τῆς φύσεως
αὐτοῦ ἐφαρμόζειν ἐπ' αὐτὸ δύναιτο ἄν·
ληρεῖν γάρ μοι δοκοῦσιν οἱ λέγοντες μὴ
φθείρεσθαι τὸ ὑποκείμενον διὰ τὸ μὴ χω-
ρεῖν εἰς τὸ μὴ ὄν
(j)
ριστὸν καὶ τῇ ἐπινοίᾳ καὶ τῇ αἰσθή-
ὡς ⟨ἡ⟩ ἐν τῷ κηρῷ, εἰ τύχοι, κατὰ
ς πηχυαία ποσότης· μεταπλαττο-
γὰρ τοῦ κηροῦ ἡ πηχυαία χωρίζε-
οσότης, οὐ μὴν δὲ βλαπτομένου τοῦ
ειμένου. ὡσαύτως καὶ ἐπὶ τῶν
ων
(k)
ἢ χωριστὸν μὲν τῇ ἐπινοίᾳ, ἀχώριστον δὲ
τῇ αἰσθήσει, ὡς τὸ δίπηχυ καὶ τρίπηχυ ἐν
τῷ ἀνθρώπῳ· ἐπινοίᾳ γὰρ ἀπὸ τοῦδε τοῦ
ἀνθρώπου χωρίσαι ταῦτα δυνατὸν
5 μένοντος τοῦ ὑποκειμένου
ἢ ἀχώριστον κα
αἰσθήσει, ὡς ἀ
τῷ σώματι· οὔτ
ἐπινοίᾳ χωρίζεσ
5 τοῦ σώματος· ο
καταλειπόμενον

ιὲν οὐκ ἔστιν ἢ
τινὶ ἱδρυμένη,
τολὺ ἢ ἐξ ἀνάγκης
ὀρύττοντί τινι
ἢ εἰ βαδίζοντός
τυμβῇ· τὰ γὰρ
κ ἔχουσι τὸ ἐξ
τὸ πολύ· ἀντίκει-

(e)

λέγεται καὶ οὐσία συμβεβηκὸς ὅτ' ἐν σχέσει τινὶ εὑρεθῇ τῆς σχέσεως προηγούμενον ἐχούσης λόγον καὶ μηδαμῶς τῆς παρούσης τῇ σχέσει οὐσίας εἰς κατάληψιν 5 τοῦ ζητουμένου συντελούσης· οἷον εἰ ἄρα τὸ ἥμισυ καὶ τὸ διπλάσιον ἅμα τῇ φύσει ἐστὶ ζητοῦμεν, οὐ τὴν τοῦ ἀριθμοῦ φύσιν σκοπήσομεν ἢ τὴν τοῦ ξύλου, εἰ τύχοι, ἀλλὰ τούτων μὲν ὡς συμβεβηκότων τῷ δι- 10 πλασίῳ καὶ τῷ ἡμίσει οὐ φροντίσομεν, ⟨αὐτὴν δὲ καθ' αὑτὴν τὴν τοῦ διπλασίου καὶ τοῦ ἡμίσεος φύσιν ἐξετάσομεν⟩· οὕτω δὴ καὶ Ἀριστοτέλης τὸν ἄνθρωπον τῷ δεσπότῃ συμβεβηκέναι φησίν· καὶ πάλιν δὲ 15 λέγει 'οὐ τῶν ὁμολογουμένως πρὸς ἀντιστρέφοντα λεγομένων καὶ ὀνομάτων αὐτοῖς κειμένων οὐκ ἀντιστρέφει, ἐὰν πρός τι τῶν συμβεβηκότων ἀποδιδῶται· οἷον ὁ δοῦλος ἐὰν μὴ δεσπότου ἀλλ' ἀνθρώπου ἢ 20 δίποδος'

(f)

λέγεται συμβεβηκὸς ⟨καὶ⟩ ὃ μὴ πρὸς τὸ ἐν ᾧ μὲν λέγεται ὑφέστηκε· λέγεται δὲ συμβεβηκέναι αὐτῷ διὰ τὸ μετ' αὐτοῦ ἐν ἑτέρῳ ὑποκειμένῳ ὑπάρχειν· οἷον ὡς τῷ 5 υἱῷ τοῦ Κλέωνος τὸ ⟨λευκὸς⟩ ὁρᾶσθαι· οὐ γὰρ ᾗ Κλέωνος υἱός ἐστιν ὁρᾶται ⟨λευκός⟩, ἀλλ' ᾗ λευκὸς ὁ τοῦ Κλέωνος υἱός, ὃ συμβεβήκει {ἐπ'} αὐτῷ καὶ ὑπῆρχον ἄμφω. οὕτω δὴ καὶ τῷ μουσικῷ 10 τὸ γεωμετρεῖν συμβεβηκέναι φαμέν, εἴπερ τύχοι τις ἔχων ἀμφότερα, ὅτι ἐν αὐτῷ ἀμφότεραι ὑφεστήκεισαν αἱ τέχναι. τούτῳ δὴ τῷ συμβεβηκότι τὸ καθ' αὑτὸ ἀντίκειται· καὶ γὰρ διὰ τοῦτο λέγομεν συμβεβη- 15 κέναι θάτερον θατέρῳ ὅτι οὐχ ᾗ μουσικῷ †γὰρ ταῦτα† αὐτῷ τὸ γεωμετρεῖν ἀλλ' ᾗ γεωμέτρῃ

(l)

ὶ τῇ ἐπινοίᾳ καὶ {ἐν} τῇ
λῶς ἡ τριχῇ διάστασις ἐν
ε γὰρ τῇ αἰσθήσει οὔτε τῇ
θαι δυνατὸν ταῦτα ἀπὸ
ὐκέτι γὰρ εἶναι δύναται τὸ
σῶμα

ἢ κατὰ συμβεβηκός

(a)
ἢ ὡς οὐσία εἰς συμβεβηκότα,
⟨ὡς⟩ τῶν ἀνθρώπων οἱ μὲν δί-
καιοι, οἱ δὲ ἄδικοι· εἰς συμβε-
βηκότα δὲ λέγεται διαιρεθῆναι
5 οὐχ ὅτι ὁ δίκαιος καὶ ὁ ἄδικος
συμβεβηκότα – οὐσίαι γάρ –,
ἀλλ' ὅτι ⟨τῷ⟩ τοῦ συμβεβηκότος
ὀνόματι τὰς ὑποκειμένας οὐσίας
παρονομάζομεν


(b)
ἢ ὡς συμβεβηκότα εἰς
συμβεβηκότα, οἷον τῶν
λευκῶν τὰ μὲν ψυχρά,
τὰ δὲ θερμά· καὶ θερμὰ
5 μὲν ὡς ἄσβεστος καὶ ῥε-
φανίς, ψυχρὰ δὲ χιών,
κρύσταλλος καὶ τὰ τοι-
αῦτα

(c)
ἢ ὡς συμβεβηκότα εἰς
οὐσίαν, οἷον τῶν βαρέων
τὰ μέν εἰσι γῆ, τὰ δὲ
ὕδωρ, τὰ δὲ μίγμα, οἷον
5 λίθος, ὀστοῦν καὶ τὰ τοι-
αῦτα


ὡς ἀπὸ τοί
φυκέναι κα
λογίζεσθαι,
τὸ
ζῷον

λογικόν

Figura IX



πᾶν τὸ διαιρεῖσθαι ἐπινοούμενον
ἢ καθ' αὑτό
ὡς φωνὴ ὁμώ-
νυμος εἰς διά-
φορα σημαινό-
μενα
(d)
ὡς γένος εἰς
εἴδη
ὡς ἀπὸ τῆς
ὑπάρξεως, ὡς τὸ
ζῷον
ἢ ἀπὸ τῆς δι-
οργανώσεως, ὡς
τὸ
ζῷον
ἢ ἀπὸ τοῦ
εἴδους τῆς ζωῆς,
ὡς τὸ
ζῷον
ἄλογον
θνητόν
ἀθάνατον
τετράπουν
δίπουν
χερσαῖον πεζόν
ἔνυδρον νηκτόν


ὡς πρᾶγμα
(e)
ς εἰς ἄτομα
ὡς ὅλον
(f)
ὡς τὰ ἀφ' ἑνός, οἷον
⟨ἀπὸ⟩ τῆς ἰατρικῆς
ἰατρικὸν βιβλίον ἢ
σμιλίον· ταῦτα γὰρ
5 ἀπὸ ἑνός μέν εἰσι
τῆς ἰατρικῆς, εἰ καὶ
μὴ πρὸς ἕν. τὸ μὲν
γάρ ἐστι, εἰ τύχοι,
προγνωστικὸν
10 ὑγείας, τὸ δὲ ποιη-
τικόν
(g)
ὡς τὰ πρὸς ἕν, οἷον
ὑγιεινὸν φάρμακον
καὶ κατάστημα·
πρὸς ἓν γὰρ τέλος
5 ⟨ἀφορᾷ⟩ ἀμφότερα,
τὸ ποιῆσαι ὑγίειαν.
καὶ ἐπὶ τῶν ὁμοίων
ὡσαύτως
(h)
ὁμοιομερῆ, θρὶξ εἰς τρί-
χας· ὁμοιομερῆ γὰρ λέ-
γεται τὰ ἀλλήλοις τε καὶ
τῷ ὅλῳ συνωνύμως λεγό-
5 μενα
(i)
ἀνομοιομερῆ, ὡς κε-
φαλὴ εἰς ὀφθαλμούς,
ῥῖνα καὶ στόμα·
ἀνομοιομερῆ γὰρ λέ-
5 γεται τὰ μήτε ἀλ-
λήλοις μήτε τῷ ὅλῳ
ὁμωνύμως λεγόμενα

ν πτηνόν

(a)
ἢ ἐν λέξεσι μόνον ἤτοι
ὅταν τῆς αὐτῆς λέξεως
δύο τινὰ ἢ καὶ πλείονα
τῶν ἀνθρώπων μετέχῃ·
5 Ἀριστοτέλης· 'ὁμώνυμα
λέγεται ὧν ὄνομα μόνον
κοινόν'· διττὸν δὲ καὶ
τοῦτο

(h)
ἢ γὰρ ἐπίσης μετ-
έχουσί τινα τῆς αὐτῆς
λέξεως καὶ λέγεται
κυρίως αὕτη ὁμώνυ-
5 μος ὅ φασιν· ἐπίσης
γὰρ ὅ τε θαλάσσιος
καὶ ὁ χερσαῖος καὶ
⟨ὁ⟩ οὐράνιος κύων
φωνῆς μετέχουσι

(i)
ἢ τὸ μὲν μᾶλλον τὸ
δ' ἧττον μετέχει καὶ
λέγεται τῶν ἀφ'
ἑνός· ἐν τοῖς ἀφ'
5 ἑνὸς γὰρ τὸ μὲν
μᾶλλον μετέχει τῆς
λέξεως, τὸ δὲ ἧττον·
οἷον τῆς 'ἄνθρωπος'
φωνῆς ὅ τε ἄν-
10 θρωπος μετέχει καὶ
⟨ἡ⟩ εἰκών, ἀλλ' ὁ
μὲν μᾶλλον, ἧττον
δὲ ἡ εἰκών


ἢ τὸ
κατά
5 λεγό

σῶμα

(m)
διαιρετόν, ἀγρός,
οἶκος

(n)
ἀδιαίρετον, οἷον
δοῦλος καὶ δεσπότης

Figura X



τὸ κοινόν
(b)
ἢ ἐν πράγματι
ἢ πολιτικώτερον
ἢ λογικώτερον
μετέχεσθαι
τινα τρόπον
μενον κοινόν
ἢ τὸ μὴ μετέχεσθαι
κατὰ μηθέν
ἀσώματον
(c)
καὶ τὸ συμβεβηκὸς
ται εἶναι κοινόν·
ἐν τῷ Τιμαίῳ· 'και
ἐπιτηδεύματα πάντ
5 κοινὰ κατά τε πόλ
καὶ κατὰ τὴν ἄλλη
ταν δοτέον πάσαις
δῆλον γὰρ ὅτι τὰ
πόλεμον ἐπιτηδεύμ
10 καὶ κατὰ τὴν ἄλλη
ταν συμβεβηκότα
κοινὰ εἶναι οἷς ἂν
δεύηται
(j)
κοινὸν λέγεται καὶ
ἁπλῶς πᾶν τὸ κατ
μηθέν
(o)
τὸ ἐπίσης μετεχό-
μενον ὑφ' ὧν ἂν
μετέχηται, ὡς ἡ
τοῦ κήρυκος φωνὴ
5 καὶ οἱ νόμοι
(p)
ἢ καὶ τοῦ προκατα-
λαβόντος ἴδιον γίνε-
ται, ὡς ὁ ἐν τῷ θεά-
τρῳ τόπος
(q)
ἢ τὸ μᾶλλον καὶ τὸ
ἧττον μετεχόμενον,
ὡς αἱ κοιναὶ ἀνα-
φοραὶ καὶ τὰ πάθη

; λέγε-
Πλάτων
ὶ τὰ
τα
εμον
ην δίαι-
?.
πρὸς
ιατα
ην δίαι-
λέγεται
ἐπιτη-

(d)

λέγεται γὰρ καὶ τὸ
γένος κοινὸν τῶν εἰ-
δῶν ὧν ἐστι γένος

(e)

καὶ ἡ διαφορὰ
κοινή, ὧν ἂν ᾖ συ-
στατική, κοινὴ λέγε-
ται

(f)

τὸ εἶδος κοινὸν τῶν
ὑπ' αὐτὸ ἀτόμων

(g)

καὶ τὸ ἴδιον· καὶ
γὰρ ὧν ἂν ᾖ ἴδιον
κοινὸν εἶναι λέγεται.
Ἀριστοτέλης τῆς οὐ-
5 σίας ἴδιον ἀποδιδούς
φησι· 'κοινὸν δὲ
κατὰ πάσης οὐσίας
τὸ μὴ ἐν ὑποκειμένῳ
εἶναι'

ὶ
τὰ


(k)

τὸ σύνηθες καὶ ὃ ἂν τύχῃ προσ-
αγόμενον, καθό φαμεν κοινό-
τερον εἰρῆσθαι τόνδε τὸν λόγον ἢ
τόδε τι κοινότερον πεπρᾶχθαι·
5 Ἀριστοτέλης 'ἔστι δέ' φησίν
'ἡ μὲν ἐπαγωγὴ πιθανώτερον
⟨καὶ⟩ σαφέστερον ⟨καὶ⟩ κατὰ
τὴν αἴσθησιν γνωριμώτερον καὶ
τοῖς πολλοῖς κοινόν', τουτέστι
10 σύνηθες

(l)


ἢ ἁπλῶς τὸ ἐν πόλει πλῆθος ἢ ἐν
πολιτείᾳ κοινὸν λέγεται· Πλάτων
ἐν τῷ Κρίτωνί φησιν· 'ἀλλ'
ὧ⟨δε⟩ σκόπει. εἰ μέλλουσιν ἡμῖν
5 ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴτε
ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόν-
τες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς
πόλεως ἐπιστάντες ἔροιντο'

Figur




ἡ οὐ
(a)
εἰς σῶμα
κύκλῳ φερό-
μενον ὡς τὰ οὐ-
ράνια
ἐπ' εὐθείας
σύνθετον
5 ἄνω
πῦρ,
ἀήρ
κάτω
ὕδωρ,
γῆ
ἄψυχον
λίθον
ἔμψυχο
αἰσθητικόν
κινούμενον
10 ζῷον
ἀκίνητον
ζωόφυτον
λογικόν
ἄλογον

a XI




σία
(b)
καὶ ἀσώματον
(c)
ἀμετάβλητον
κατ' οὐσίαν καὶ
κατ' ἐνέργειαν,
τὸ θεῖον
(d)
ἀμετάβλητον
κατ' οὐσίαν, με-
ταβλητὸν κατ'
ἐνέργειαν, ἡ
5 λογικὴ ψυχή
(e)
πάντῃ μετα-
βλητὸν καὶ κατ'
οὐσίαν καὶ κατ'
ἐνέργειαν, ἡ
5 ἄλογος ψυχή
(f)
τὸ αὐτὸ ὑποκείμενον τῆς οὐσίας ἐν
ἑτέρῳ συμβεβηκότι γενέσθαι οὐ δύνα-
ται
ν
ἀναίσθητον
φυτόν




(a)
εἰς πραγματικόν
κατὰ Πλάτωνα
κατ' Ἀριστοτέλην
(b)
φυσιολογικόν, περὶ οὗ ἐν τῷ Τιμαίῳ καὶ ἐν ἄλλοις τισὶ διαλαμβάνει
(c)
θεολογικόν, περὶ οὗ ἐν τῷ Παρμενίδῃ καὶ ἐν ἄλλοις πλείστοις καταγίνεται
(d)
πάντῃ ἔνυλα, περὶ ὧν τὸ φυσιολογικὸν καταγίνεται, ὡς τὰ τῆς Φυσικῆς ἀκροά-
5 σεως Ἀριστοτέλους ὀκτὼ βιβλία, τὰ ἐφεξῆς τούτων Περὶ οὐρανοῦ τέσσαρα καὶ τὰ λοιπά
(e)
πῇ μὲν ἔνυλα, πῇ δὲ ἄυλα, ἐν οἷς τὸ μαθηματικὸν ὑφίσταται
τὸ συνεχὲς ποσόν
καθ' αὑτό
(g)
ἢ κινούμενον, περὶ ὃ ἡ ἀστρονομία καταγίνεται, οἷον τά τε Πτολεμαίου
5 Πρόχειρα ὀνομαζόμενα κανόνια καὶ τοῦ αὐτοῦ ιγ' βιβλία τῆς Μεγάλης συντάξεως καὶ τὰ ὅμοια
(h)
ἢ ἀκίνητον, περὶ ὃ καταγίνεται ἡ καλουμένη γεωμετρία, ὡς ἡ Εὐκλείδου
5 Στοιχείωσις ἥ τε Σφαιρικὴ Θεοδοσίου Ἀπολλωνίου τε τὰ Κωνικά, καὶ τὰ τούτων συγγενῆ
(i)
συνθετικὴ ἥτις καὶ κυρίως ἀριθμητικὴ καλεῖται, ἣ συνέστηκεν ἐκ τῶν στοιχειωτικῶν Εὐ-
5 κλείδου τριῶν βιβλίων ἔν τε ταῖς ἀριθμητικαῖς εἰσαγωγαῖς Νικομάχου ⟨καὶ⟩ ἐν ἄλλοις βιβλίοις

Figura XII



Διαίρεσις τῆς φιλοσοφίας
ἐν ᾗ θεωρεῖται καὶ ἡ τοῦ ποσοῦ διαίρεσις ἀκριβῶς
ἡ φιλοσοφία διαιρεῖται
εἰς θεωρητικόν
(l)
καὶ λογικόν
f)
υλα περὶ
θεολογικὸν
αι, ὡς ἐν
τὰ τὰ φυσικὰ
νοις ιγ΄ βι-
αί τισιν ἑτέ-
(m)
ἢ πάντῃ ἀληθεύει καὶ λέγεται
ἀποδεικτική, ὡς τὰ ἔσχατα τῶν
Ἀναλυτικῶν, ἢ ἐπίσης ἀληθεύει
καὶ ψεύδεται ἐν πολιτικοῖς ζητή-
5 μασιν ὑφισταμένη καὶ ἔστι ῥη-
τορική, ἣν ἐν τρισὶ βιβλίοις Ἀρι-
στοτέλης παραδίδωσι καὶ μετ'
αὐτὸν Ἑρμογένης ἀκριβέστερον
(n)
ἢ μᾶλλον ἀληθῆ διδά-
σκει καὶ καλεῖται ἰδίᾳ
διαλεκτική, ὡς τὰ ἐπι-
γραφόμενα βιβλία Τόποι
5 ἤγουν καθολικοὶ κανόνες
(o)
ἐπὶ πλέον
ιωρισμένον
πρός τι
(p)
ἢ †ἐδόκει† ἕνεκα τῶν
ἀκουόντων καὶ λέγεται
ποιητική, περὶ ἧς καὶ
Ἀριστοτέλης ἐν μονο-
5 βίβλῳ διέξεισιν
ἢ ὠφ
νων ἐ
στική
χρητι
5 σύμπ
καὶ λ
στική
τῆς π
στοτέ
10 λόγοι
(j)
ἢ καὶ Αἰγυ-
άλυσις καλεῖ-
{συλ}λογιστικὴ
ς ἐν βιβλίοις
λεγόμενα τοῦ
ρι⟨α⟩στικά, καὶ
(k)
περὶ οὗ ἡ μουσική· καὶ
γὰρ καταγίνεται περὶ
λόγους ἡ μουσικὴ τοὺς
ἐν σχέσει, τῶν συμφω-
5 νιῶν ἐν λόγοις ἀριθμη-
τικοῖς θεωρουμένων. δι-
αιρεῖται δὲ καὶ αὕτη εἰς
τρία
ἁρμονικόν
μετρικόν
ῥυθμικόν



(q)

ελείας τῶν προσδιαλεγομέ-
ἕνεκα καὶ λέγεται πειρα-
, ἣ Πλάτων ἐν πολλοῖς κέ-
ι διαλόγοις καὶ σχεδὸν ἐν
ασιν, ἢ νίκης ἰδίας χάριν
έγεται σοφιστική, {καὶ} ἐρι-
οὖσα τὴν δύναμιν καὶ τὴν
ανουργίας εὕρεσιν, ὡς Ἀρι-
λης ἐν τοῖς Σοφιστικοῖς
ς ἐξέθετο